

ANTIPHONTIS
ORATIONES ET FRAGMENTA

ADIUNCTIS

GORGIAE ANTISTHENIS ALCIDAMANTIS

QUAE FERUNTUR DECLAMATIONIBUS

EDIDIT

FRIDERICUS BLASS.



LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI
MDCCCLXXI

LIPSIAE: TYPIS B. G. TEUBNERI

PRAEFATIO.

Antiphontis codices, quibus editores adhuc usi sunt, sex sunt numero, quorum nullus vel antiquitate vel bonitate inter Graecos libros excellit. Eorum qui Imm. Bekkero praesto fuerunt longe optimus est Crippsianus (A), sive Burneianus 95, membranaceus, saec. ut perhibetur XIII, qui Londinii in museo Britannico asservatur. Correctus est multis locis, saepe ab ipso librario, saepius ab alia manu, quae atramenti praesertim colore distinguitur. Contulerunt hunc librum Bekkerus et Dobsonus; ipse quoque nuper inspexi et quaedam quae ambigue relata erant denuo enotavi, quae iam in unum collecta proponam.

Or. I, 1 *ἔχοι μοι* pr. m.; corrector alterum o xpunxit. — 28 *παρασκευάζουσιν* iam a pr. m. — I α 4 *ἔχοντες γὰρ ἂν τὰ ἱμάτια εὑρέθησαν* in A uoque exstant. — β 4 *ἐγώ δ' εἰκότως*. — V, 19 λοσ *σωθεὶς*, sed pro o alia littera primo fuisse vi- etur. *ἐλασσωθεὶς* igitur (*ἔλασ σωθεὶς*) A quoque abuerit. — 28 *δὲ μὲν ῷ* pr. m.; secunda *μ* delevit t ante *ῷ* addidit *μὲν*. — 39 . . . *ενθεὶς*. — 66 *εὐ-ορροῖτε*. — 69 *ἀποθανόντες* pr. m., *ἀπέθανον* corr. - 91 *ἀπωλωλέναι*, non *ἀπολωλεκέναι*. — VI, 15 γάγω corr. — 23 *ἕτοιμος εἶεν* pr. m.; *ἕτοιμοι εἶεν* orr. — 26 *πυνθάνεσθαι καὶ προ* in litura scripta int. — 29 *μὴ παρευχόμην*. — 40 *ἐπειδή . . . ἐπύ-* ετο *προειρημένον εἴργεσθαι τῶν νομίμων* pr. m.; rr. *μοι* ante *εἴργ*. addidit.

Inter ceteros Bekkeri codices praestat B Laurentianus (plut. 4 cod. 11), chartaceus, saec. XV; quuntur Marcianus L (append. class. 8 cod. 6) embranaceus, a Bekkero non ultra orationem tertm collatus, et Vratislaviensis Z, chartaceus, saec.

XIV. Dobsonus praeterea et Burneianum 96 (M) a Bekkero spretum respexit, chartaceum, saec. XV, qui interdum cum A, multo saepius cum L et Z conspirat. Adde Aldi editionem, quae codicis instar est — neque enim ullo nostrorum librorum editorem usum esse patet —; denique codicem Oxoniensem N, qui in Maetzneri demum usum collatus novum huic editori atque gravissimum adiumentum attulit. Chartaceus est, saec. ut Cramero videtur XIV vel XIII, continens praeter Antiphontem etiam Dinarchum et ab alia manu Libanii fragmentum.

Iam cum in Andocide, Isaeo, Lycurgo ceterisque oratoribus quos cum Antiphonte et Dinarcho codices ABLZM complexi sunt, Crippsiani auctoritas haud ambigue maxima sit, in his duobus aemulum de principatu Oxoniensem nactus est. Maetznerus etiam in Antiphonte hunc potissimum secutus permultos locos ex illius lectionibus refinxit; adstipulatus est Maetznero Frid. Frankius, etiam pressius Oxoniensem sequendum esse contendens: contra Sauppius, cui assentiuntur Spengelius et Brieglebius, Crippsiano patrocinatus Oxoniensis auctoritatem prorsus deprimere studuit. Et initio quidem Oxoniensem e Crippsiano eo tempore quo nondum correctus fuisset descriptum esse, ea autem quae praeter ceteros egregia habet librarii docti hominis coniecturis debere contendit; nuper autem in dissertatione cui inscripsit: „Quaestiones Antiphonteae" (Gotting. 1861) interpolatione contaminatum esse tenuit, descriptum censuit ex eodem libro atque Crippsianum. Cuius disceptationis summa mihi quoque iam exponenda erit.

Ex uno exemplo omnes qui exstant Antiphontis codices originem traxisse Sauppius bene docuit. Neque minus id certum Sauppioque concedendum est, Oxoniensem cum A affinitate arctissima coniunctum esse, cum permultis in locis, quos diligentissime congessit Sauppius, A pr. et N praeter ce-

teros libros eandem vel rectam vel pravam lectionem praebeant. Nam correctiones quidem, nisi quarum ipse librarius auctor fuit, ceterorum plerumque librorum exemplum referunt. Sed sunt non minus multi loci, in quibus longe alter ab altero discedant, atque id vel maxime in collocatione verborum, ita quidem ut minus saepe A, saepissime N a ceterorum se librorum communione segreget. Inter eas autem lectiones, quas N solus praebet, pravae bonas numero excedunt: numeravi circiter nonaginta quae vulgatis praestare viderentur, sed centum decem quae aperte falsae essent. Itaque librarius ille ingeniosus et graece doctus, qui Sauppio videtur,non solum plurima corrupta quae facile emendari potuerint intacta reliquisse, sed etiam tot novas corruptelas addidisse putandus erit[1]). Hoc equidem ne Sauppio quidem affirmante credere possum, et recte Frankius mihi contra disputare videtur, qui illud quoque bene demonstravit, eas lectiones Oxoniensis codicis quae re vera interpolationis quandam speciem praeferant, sicut *ἀραῖς τῶν δέ τοι* omissum 5, 95, etiam aliam explicationem habere. Nam illud quidem non modo non mirum sed etiam prorsus necessarium est, multa librarium imprudenter committere quae etiam cum ratione aliqua facere potuerit. Contra multa insunt quae hanc suspicionem nequaquam patiantur, ut 1, 10 *βάσανον τοι αὐτήν*, ubi *βάσανον* omissis reliquis ceteri codices praebent: ipsum quippe librarium vera lectio *βάσανον τοιαύτην* effugit, pro qua scripsit quod sensu prorsus cassum esset. Sed singula persequi hoc loco non conceditur[2]).

1) Brieglebius (zur Kritik des A., Anclam 1861) alteram difficultatem ita evitare studet, ut non ex ipso archetypo Oxoniensem descriptum statuat, sed intermedium faciat tertium codicem: ad huius librarium interpolationes, ad eum qui Oxoniensem confecit vitia redire.

2) Adeant studiosi Sauppii Frankiique scripta haec: Ed. Turr. praef. fasc. I et III. Sauppii Epistola critica p.

Itaque si interpolationis suspicione Oxoniensis liber absolvendus est, iam ceteroquin non dubitandum ad utrum principatus deferendus sit. Si haberemus Oxoniensem ceterosque praeter Crippsianum, duodecim fortasse locis vera lectio coniectura demum indaganda esset. Contra si periisset Oxoniensis, Crippsianus cum reliquis maneret, nonaginta forent loci in quibus meliore lectione careremus. Hoc uno sane inferior Oxoniensis, quod multa omisit quae vel in omnibus reliquis vel in uno Crippsiano leguntur, et omnino non ea est utriusque auctoritas, quae ceteros pretio omni destituat. Multa B, quaedam LZM rectius exhibent; interdum etiam ex Aldina vera lectio repetenda est. Sane Sauppius omnia quae illa editio probanda habet ad coniecturam editoris rettulit, exemplisque allatis probavit permulta ibi interpolata esse; sed sunt alia quae talem explicationem haud facile admittant. Or. II α 4 verba *οὔτε γὰρ κακούργους εἰκὸς ἀποκτεῖναι τὸν ἄνθρωπον* in sola Aldina, quae sequuntur *ἔχοντες γὰρ ἂν τὰ ἱμάτια εὑρέθησαν* et in hac et in AN leguntur, absunt a reliquis. Itaque haec certe postrema non suapte coniectura editor sed in codice invenit, isque codex ea praebebat quibus plerique nostri carent. Quidni igitur etiam prima illa idem codex praebuerit? Nam coniectura quidem nemo addere poterat nisi qui intellexisset omnia quae adscripsi verba non suo loco posita et ante *οὐδεὶς γὰρ ἂν* transponenda esse: id quod ante Bekkerum nemo perspexit. Quare utrumque tenendum erit, et interpolavisse Aldum non pauca et codice usum esse qui quamvis plerumque cum deterioribus nostris consentiret, interdum tamen solus veram lectionem servaverit.

Ad hanc igitur normam ego recensionem meam

26, Eiusd. Quaestiones Antiphonteae Gotting. 1861. — Fr. Frankii recensio editionis Maetznerianae, Annalium Iahnii XXVIII p. 52. Eiusdem recensio epist. crit. Sauppianae, Zeitschr. f. d. Alterthumswissenschaft 1843 p. 259.

constitui. Primum id codici Oxoniensi tamquam *γέρας* detuli, ut in collocatione verborum, in adhibenda spernendave crasi et elisione, in addendo *ν ἐφελκυστικῷ* similibusque omnibus quoad fieri posset eius auctoritatem sequerer. Nam ut recte observavit Maetznerus, persaepe ea quam N praebet collocatio alteri praestat, numquam deterior est, ita ut hac in re vel maxima fide dignus esse Oxoniensis videatur. Utrum autem *ταῦτ' ἴσως* an *ταῦτα ἴσως*, *τἆλλα* an *τὰ ἄλλα* scribatur, nihil refert Graecisque ipsis curae non fuit; quare et in adnotatione critica talem ceterorum codicum varietatem silentio praeterii. Orthographica quoque quaedam vel dialectica, de quibus statim dicetur, in commentarios non recepi, neque magis notandum esse duxi, sicubi *ταὐτὰ* pro *ταῦτα* vel *ὅρκος* pro *ὅρκος* (quod in Oxoniensi persaepe accidit) vel denique *τοιοῦτος* pro *τοι οὗτος* in codice scriptum erat, multoque minus, sicubi in interpunctione librarius peccaverat. Ceterum lectiones codicum A et N integrae enotatae sunt, pariterque quas reliqui communes habent; omissae autem quas soli deteriores vel etiam Aldina praebet, nisi quae alicuius momenti esse viderentur. Ita huic editioni convenire videbatur, quae magnam commentariorum molem minime patitur.

Dicendum autem hoc loco de eis quoque, quae in dialecto orthographiaque constituenda secutus sum. Antiquissimum oratorum etiam dialecto antiquae Atthidi propiore usum esse consentaneum est, et in libris ipsis multa vetustioris formae vestigia servata sunt. Primum *σσ* pro *ττ* in verbis *πράσσω*, *ἔλασσον* similibusque plerumque scriptum reperitur. Scimus Thucydidem his formis usum esse, sed id quoque scimus, tempore illo recentiores formas in foro vitaque cotidiana dudum receptas fuisse. Quare *πράττω* similiaque neque prorsus expellenda videbantur, neque vero ibi servanda, ubi in libris ipsis vetustioribus formis raro intermixta erant, id quod pertinet

ad omnes orationes una sexta excepta. Itaque mutavi II *α* 1 *πράττωσι*, *β* 11 *πράττω*, V, 91 *ἔλαττον*, neque in his orationibus tale quicquam reliqui nisi *σφαττόμενον* II *β* 8, pro quo *σφαζόμενον* reponere nolui. In sexta autem oratione cum § 14 *ἄττα*, 20 *πράττωσι*, 39 *διήλλαττον*, 45 *πράττων* sine ulla varietate scriptum sit, contra nusquam *σσ* in talibus vocabulis reperiatur, et in universum haec oratio a ceterarum vetusto colore aliquantum abhorreat et re vera recentissima omnium esse videatur, introducenda non putavi quae neque auctoritas neque ratio ulla commendaret. In fragmentis Antiphontis sophistae *σσ* uno loco, ubi traditum non erat, procul dubio reducendum erat, in eis quae ad oratorem pertinent *ττ* sexies, *σσ* semel in quintae orationis sententia (§ 5), quae a Stobaeo laudatur, reperimus: quare hic quoque mutationibus abstinui.

Alia antiquae dialecti vestigia ita raro occurrunt, ut cum prioribus editoribus servanda tantum ubi tradita erant, non interpolanda duxerim. *Ξὺν* pro *σὺν* in *ξυμβόλων* 5, 78, porro *ξυνειδώς* 5, 87 et § 93 deinceps *ξυνῄδειν ξυνειδέναι ξυνειδότι ξυνειδώς*, quamquam ibidem non solum *συναγωνίζεσθαι*, sed etiam *συνειδότι*, quod nescio an casu mutarunt Turicenses. — *Ἐς* pro *εἰς* VI, 45 l. d. (*εἰςιόντ' εἰς* N, *εἰςιόντ' ἐς* A, *εἰςιόντες* v.), et III *γ* 7 e Bk. coniectura satis incerta *ἐς τίν'* pro eo quod traditum est *ἐστίν*. Ipse *ἐς* non recepi. — *Αἰεὶ* V, 50 in omnibus libris et VI, 2 in NABZ; *εἵνεκα* V, 88 N, III *β* 10 NABLM; *οἴδαμεν* II *α* 3 NABL, sed *ἴσμεν* ZM. In his vetustiorem vel ionicam formam ubicunque praetuli, notavi autem, sicubi libri variarent.

Γίνομαι et *γινώσκω* ab Antiphontis aetate prorsus aliena sunt, sed nihilominus in libris vel saepius quam *γίγνομαι* et *γιγνώσκω* et in quattuor primis orationibus fere sola occurrunt. Ego exemplum editorum Platonis, Isocratis, Thucydidis secutus ve-

tustas ubique formas vel cum libris vel sine libris tacite restitui. Cum Bekkero γραμματείδιον V, 53 ff. pro eo quod in libris est γραμματίδιον reducendum erat: perversa enim illa scriptura et eo demum tempore nata quo ει et ι pronuntiando iam non distinguebantur. In ceteris autem eiusmodi rebus optimorum librorum auctoritatem secutus sum; multaque toleravi, quae Cobetianis decretis dudum condemnata erant. Itaque τεθνηκότας, ἅξαι, καθᾶραι, alia id genus sicut in prioribus ita in mea quoque editione subinde invenientur.

Quamvis autem multa priores inde ab Aldo editores: Stephanus, Reiskius (R.), Bekkerus (Bk.), Turicenses, Maetznerus (Mr.) in emendandis his orationibus praestiterint, longe tamen aberat ut illorum inventis contentus vel ea quae postea prolata sunt neglegere vel ipse a novis coniecturis abstinere possem. Sauppii (S.) Frankiique (Fr.) scripta, quibus multa egregia continentur, item Brieglebii (Br.) iam commemorata sunt: nomino praeterea Emperium (Emp.), qui Sauppii epistolam criticam recensens Antiphonti quoque subinde operam navavit (Emperii Opusc. philol. p. 269); Kayserum (K.), cuius in tetralogiis praesertim bonae frugis plena opera exstitit (v. Rh. M. XII, 224 et XVI, 72) Spengelium porro, qui et easdem iterum tractavit (Rh. Mus. XVII p. 161) et Maetzneri editionem recensuit (Münch. Gel. Anz. 1838 2 p. 367); deinde Scheibium, P. R. Müllerum, Linderum. Cobetus quoque sicut ceteris scriptoribus fere omnibus ita etiam Antiphonti hic illic manum, non lenem illam quidem, adhibuit, et ex eius disciplina profectus G. A. Hirschigius (Hi.) in multis quos tractavit locis semper cum laude, saepe egregio cum fructu versatus est (Philol. 1854 p. 728). Denique quum iam typis haec editio mandaretur, A. Weidnerus collega (W.) gratissimam mihi atque amicissimam opem attulit. Itaque permultis in locis novae a me lectiones in Antiphontem introductae

sunt, quarum auctores in commentariis nominavi; ibidem aliae quoque coniecturae invenientur, quae mihi non satis certae neque tamen prorsus improbandae visae sunt. Omnes autem quae mihi innotuerunt apponere non huius editionis erat, editoresque ipsos ibi tantum nominavi ubi lectionem vel invenissent vel primi recepissent: quare, sicubi editio nulla nominata sit, in hac prima eam lectionem exstare putandum erit.

In fragmentis Antiphontis edendis Sauppii editione Turicensi pro fundamento usus sum: a qua in eo maxime discessi, quod sophistae Antiphontis reliquias, quoad eius fieri potuit, ab eis quae oratoris sunt segregavi [1]). Nova fragmenta perpauca ex Bekkeriana Pollucis editione, quae post Sauppii curas prodiit, ascivi: rursus alia delenda visa sunt, de quibus in adnotatione explicavi.

Adieci autem Gorgiae Antisthenis Alcidamantis quae feruntur declamationes, quas quod editores Turicenses ex oratorum Atticorum operibus seclusos inter fragmenta ablegarunt, id mihi non prorsus recte fecisse videntur. Quamquam enim non satis dignas quae proprium in hac collectione volumen efficerent, multo minus tamen prorsus omittendas putavi, Antiphonti autem, cuius et ipsius declamationes quasdam habemus quique idem antiquum dicendi genus praefert atque illarum maxima pars, aptissime inter ceteros oratores adiunctum iri. Quibus de causis ita sentiam quaeque mea sit de origine dignitateque earum opinio, statim explicabo, postquam primum de codicibus, sicut in Antiphonte feci, pauca praefatus ero.

Sex harum orationum non eidem omnium codices exstant, aliaeque aliis magis minusve iniurias tem-

1) Doleo quod Sauppii dissertatio de Antiphonte sophista (Gotting. 1867) sero in manus meas pervenit, quare quae illa nova praebet in appendicem referenda erant.

poris expertae sunt. Atque miro modo factum est, ut quae optima est omnium oratio, Alcidamantis altera, non magis bonitate ceteras quam integritate praecellat. In libris A et B, qui plerumque inter se consentiunt, Gorgiae utraque et Alcidamantis Ulixes servatae sunt, in aliis compluribus, inter quos praestant Palatinus X et Laurentianus C, Antisthenes, Alcidamas, Helena Gorgiae. Huius generis praeterea sunt IKMN et Mosquensis (b), quem contulit Vater (N. Jahrb. Suppl. IX p. 25 sqq.), illius LZ et Antiphontis M, quem hic quoque sprevit Bekkerus. Tertium genus est eorum, qui solam Helenam habent: ad quod pertinent EHRVWY et praeterea Paris. Reg. 2955 (a) a Schenklio collatus (v. Philol. XXVI p. 566). Huius igitur orationis plurimi libri sunt, omnes scilicet quos enumeravi excepto L, in quo casu intercidisse videtur. — Itaque hoc primum tenendum arbitror, fuisse aliquod archetypum ex quo omnes nostri codices derivati sint: id quod lacunis corruptelisque multis quae omnibus communes sunt evincitur[1]). Deinde ubi praesto sunt codices A et B, eos potissimum duces habendos esse consentaneum erat: neque enim Oxoniensis N, diversus ab illo qui in his eadem littera notatur, opem suam ulterius nobis praestat. Bekkerus autem praeterea Laurentiano C plurimum tribuit, cuius sane sunt praeter ceteros multae egregiae lectiones: sed hand immerito Sauppius aliter de eo sensit. Etenim in Lysia, quem et ipsum continet, dudum a Sauppio probatum est e Palatino X Laurentianum descriptum esse, ea autem quae aliter atque ille exhibet coniecturis librarii sagacis hominis deberi. Quod cum sit certissimum, quoniam videmus harum quoque declamationum easdem in utroque codice inesse, vix dubitare possis quin in eis quoque Pala-

1) V. Helen. § 2. 12; Palamed. 2. 9 etc.; Alcid. I, 2. 3; II, 4 (γράψαι ἂν). 10 (ἀπολλυμένους) etc.

tinus Laurentiani fons putandus sit. Atque tenemus et interpolationis manifestum hominem multis locis, in Alcidamantis orationibus maxime[1]), et ita cum Palatino plerumque consentire videmus ut consentaneum est eum qui ex illo sit descriptus. Tamen ego aliquanto plus quam Sauppius fecit illi codici concessi, cum quaedam lectiones eius non tam ex coniectura profectae quam ex aliis fontibus repetitae videantur[2]): quos non mirum si librarius ad manum habuit in his orationibus, quae passim ceteris oratoribus admixtae circumferebantur. De Aldina quoque non aliter iudico: cuius cum in Lysia et ipsius Palatinus fons sit, in Gorgiae Helena fere semper cum codice I consentit, in Antisthene et Alcidamante saepissime a Palatino discedit, in Palamede denique ne potuit quidem eius ope uti: quare si alium codicem Aldus in hac oratione habuit, mirum ni eodem, quoad potuit, ad ceteras quoque emendatius exhibendas usus sit. Non temere tamen huic editioni fidem praestandam esse non est quod moneam.

In formis verborum his sophistis librisve eorum satis multa concessi. *Πράσσω* quaeque similia sunt in Helena ubique scripta exstabant, in ceteris recentioribus formis intermixta: ego utrasque reliqui praeterquam in Alcidamantis altera, cui optimae aetatis orationi *θάττοσιν* et *πράττοντα* singulis locis restituenda duxi[3]). Non mutavi *ἐσακοντίζοι* et *ἐς Μυσίαν*, quae Alcidamantis Ulixi optimi codices vindicant[4]), multoque minus *ξύνοιδε* et *ξυνίετε*, quae apud Antisthenem et in Gorgiae Palamede passim

1) V. Alcid. 1, 8. 12. 26; 2, 10. 15. 23.

2) V. Antisth. 2, 5. 13; Alc. 1, 24 (*ψολόεντι βαλὼν* C et in margine *κεραυνῷ*, quae est Palatini lectio; *βέλει* Ald.); Gorg. 1, 6 (*θεοὶ* CÉHKRY). 7 (*οἰκτεῖραι* etiam C, non X). 14 (*χυμούς*, quod si coniectura librarius invenit, sane ingeniosissimus idem et felicissimus fuit).

3) §§ 7. 16.

4) §§ 9. 16.

leguntur[1]). *Γίνεσθαι* tantum et *γινώσκω* etiam ubi sola tradita erant undecumque expuli. — Denique cum Alcidamantis altera hiatus evitandi studium manifesto prae se ferat, paucos illos qui traditi erant tolerare non potui, nisi quod *τοῦ ὕδατος* § 11 et *ἀκριβῆ. ἐνθυμήματα* § 18 etiamnunc reliqui, illud excusans, hoc damnans quidem sed medelam non inveniens.

De origine harum orationum — id enim solum nunc restat — alii virorum doctorum aliter iudicarunt; in universum tamen ea nunc opinio praevalet, quam et Sauppius tutatus est, omnes illas a recentioribus sophistis compositas esse. Sed nimirum singulatim singularum causa expendenda et diiudicanda est.

Itaque Alcidamantis altera, quae est de sophistis sive de scriptarum orationum auctoribus, et defensores acres Spengelium et Vahlenium[2]) nacta est et omnibus rebus ita excellere videtur, ut nullum mihi dubium sit optima aetate, hoc est Isocratea, eam scriptam esse. Magis dubitationi id obnoxium est, num Alcidamanti recte adscribatur: cuius rei testem praeter codices neminem habemus. Primum igitur id bene cum Alcidamante convenit, quod Isocrates et secta eius hac oratione impugnatur: nam illius adversarium Elaitam rhetorem fuisse aliunde cognitum habemus. Non obstat, id quod et ipsum Spengelius bene docuit, dicendi genus diversum a poëtico illo quod Aristoteles Alcidamanti adscribit. Nimirum ineptus scriptor fuerit, si grandibus et poëticis verbis invectus sit in istum morem scribendi orationes. At vestigia sane, si quidem Alcidamas auctor est, illius generis dicendi comparere debent: quae re vera sunt conspicua. Quattuor modis Alcidamas, Aristotele teste, terminos pedestri orationi

1) *ξύνοιδε* Palam. 11. Antisth. 2, 2; *ξυνίετε* Ant. 1, 8.
2) Spengel *Συναγωγὴ τεχνῶν* p. 173 sqq. Vahlen der Rhetor Alkidamas p. 21.

constitutos egressus est: quod composita verba adhibuit, quod obsoletis usus est, quod epithetis supra omnem modum orationem exornavit, denique translationum usu parum moderato. Itaque si alibi *πυρίχρων* dixit et *τελεσφόρον* et *κυανόχρων*, hic occurrunt *ποδώκης*, *ὁμοδρομεῖν*, *ἰσόθεος*, *δυςανάληπτος*, *δυςεπικούρητος*, alia non pauca. Glossarum exempla Aristoteles *ἄθυρμα*, *ἀτασθαλία*, *τεθηγμένον* affert: num *συνερείπειν* (§ 25) minus poëticum? Idem vocabulum de verborum structura adhibitum translatio quoque est; cuius tropi praeterea multa sunt exempla: *συνεξεσμένων τῶν ὀνομάτων*, *δεσμῶτιν τὴν ψυχήν*, *ἀντίτυπος καὶ προςάντης ἡ ἐπιμέλεια*. Maxime autem Alcidamas in epithetis et circumlocutionibus peccavit, atque id ipsum huic quoque orationi ceteroquin egregie scriptae vitio dare possis, quod verborum copiam ostentat ambagibusque utitur ubi singula verba sufficiebant. Legas quaeso exempla ab Aristotele allata: non *δρόμῳ* eum dixisse sed *δρομαίᾳ τῇ τῆς ψυχῆς ὁρμῇ*, non *χάριτος* sed *πανδήμου χάριτος δημιουργός*, non *κλάδοις* et *αἰσχύνην* sed *τοῖς τῆς ὕλης κλάδοις ἀπέκρυψε τὴν τοῦ σώματος αἰσχύνην*, cum eisque compares quae in hac oratione subinde inveniuntur: non *βραδέως* dicit sed *βραδείᾳ τῇ τῆς διανοίας κινήσει χρώμενον* (§ 16), neque *τοῖς ἀνθρώποις* sed *τῷ τῶν ἀνθρώπων βίῳ* (§ 26 sq.), neque *μιμήσασθαι τὰ εὖ λεγόμενα* sed *μιμήσασθαι τὰς τῶν εὖ λεγομένων ἐπιτυχίας* (§ 4). Quibus exemplis qui volet sexcenta alia addere poterit. Itaque hoc ipso probatur Alcidamantem ipsum auctorem esse, quo quidam argumento usi librorum auctoritatem infirmare conati sunt. Quod autem vocalium concursum auctor evitavit, id omnino nullum argumentum praebet, quamvis Benselero ita visum sit[1]): neque enim scimus ab

1) De hiatu p. 170. In Alcidamantis fragmentis, ubicunque ipsa verba oratoris afferuntur, concursus vocalium fere nusquam reperitur. V. fr. 10—28 S.

Alcidamante hoc studium alienum fuisse, neque Isocratis adversarius non potuit in hac re illius exemplum sequi. Unum addo, quod singula quae auctor affert argumenta coacervantur magis quam certo ordine se invicem excipiunt: id quod et in Lysiae amatorio Plato vituperavit quodque omnino vetustae rudiorisque eloquentiae proprium fuit.

Si autem haec oratio Alcidamantem auctorem habet, non potest eiusdem esse Palamedis accusatio, quae omnibus eis rebus destituta est quibus altera vel excellit vel distinguitur. In illa verborum lectissimorum copia, in hac summa exilitas et vulgaris elocutio; in illa periodi Isocrate ipso dignae, numeri laeti, compositio diligentissima, in hac et compositio neglegens et numerorum nihil et sententiarum structura antiquae *λέξεως εἰρομένης* vestigia servans satis conspicua. Quodque his etiam maius: Alcidamas, qualem ex illa oratione cognoscimus, homo fuit ingeniosus minimeque ineptus; contra huius auctor insulsissimus sophista necessario putandus est. Etenim sive vanae criminationis exemplum edere voluit, ipse conatus ineptum eum prodit: sive accusationis orationisque iudicialis, tantum abest ut quod voluerit consecutus sit, ut non possimus non stolidum eum iudicare. Recte igitur Fossius[1]), Sauppius, alii hanc orationem ab Alcidamante abiudicarunt. Sed quod eidem eam sophistae recentioris aevi vindicant, ea opinio neque his quae attuli probatur neque aliunde argumentis satis firmata est[2]). Num enim illa aetas, Isocrateam dico, adeo praeter omnes felix fuit, ut nemo existeret qui

1) Fossius de Gorgia p. 81 sqq. Contra Benseler, qui alteram damnat, hanc genuinam esse posse autumat (de hiatu p. 169).

2) Parum ad probandum valet, quod de Telepho narratio cum Diodori relatione vel in verbis quibusdam consentit (Foss p. 85 sqq.): quidni idem utriusque auctor fuerit?

inepti aliquid componeret? minime vero: exemplum praesto est Polycratis, qui Isocrate ipso teste et Busiridem collaudare conatus est et conatum ineptum ineptius etiam exsecutus. Nihil est in hac oratione, quod non Polycrateis illis quae Isocrates affert plane condignum sit. At argumentum ipsum obiectant: seriore aetate, Macedonica magisque etiam Romana, talia argumenta sophistarum ineptiis inserviisse; Atticum nos novisse neminem, qui vel Palamedis accusationem defensionemve vel Aiaci et Ulixi orationes in armorum certamine habendas conscripsisset. Quasi vero eadem sint, fuisse nescire et scire non fuisse, vel permagnum intersit inter Penelopes vituperationem, laudationem Clytaemnestrae aliaque quae re vera Polycrates scripsit, et orationes eisdem illis antiquis heroibus tanquam in forensem usum compositas, vel denique illi sophistae qui ad lyricorum poëtarum exemplum encomia conscriberent, prorsus abhorrere debuissent a conatu armorum certamen, Palamedis iudicium ad tragicorum imitationem orationibus illustrandi. Pauca e multis de illius aetatis sophistis e scriptoribus comperta habemus: qua nostra scientia non tantum debemus confidere, ut quae praeter eam in codicibus tradita sunt eis fidem omnem derogemus. Sed ut redeam unde profectus sum, ita equidem de Palamedis accusatione iudico, Alcidamantis quidem eam esse non posse, si quidem alterius ille orationis auctor, sed nihil obstare quominus illa aetate conscriptam putemus cui librorum inscriptio eam vindicat. Oratione contra sophistas, si non ipsa, certe dicendi genus eius aliquanto antiquius, ceteris autem quattuor idem recentius est.

De Gorgiae quae feruntur declamationibus nolo ea nunc repetere quae alibi uberius a me exposita sunt[1]): quibus id satis mihi probasse videor, utriusque auctorem aut fuisse Gorgiam aut voluisse videri.

1) Attische Beredsamkeit p. 64—72.

Quam meam sententiam non muto: id tantum paenitet quod iniquius de his scriptionibus iudicavi, quarum alteram, Palamedem dico, Reiskius non sine causa valde collaudavit et inter archetypa eloquentiae graecae forensis habuit[1]). Sed praeter hunc fructum, quem ex his orationibus percipimus, etiam alius est profecto non exiguus, quod etiamsi non Gorgiae haec sint opera sed ad illius imitationem sedulo composita, antiquissimi oratoris eloquentiam ex eis pari modo possumus cognoscere atque artem statuariam eam quae archaica dicitur non solum ex illius temporis monumentis sed etiam e Romanae aetatis imitationibus cognoscimus. Satis autem difficile ubique est imitationem ab archetypo discernere, maxime ubi nulla eiusdem auctoris genuina opera praesto sint. Quare cancellos, sicut in Alcidamante feci, Gorgiae nomini addere nolui.

Idem autem de eis orationibus dicendum videtur, quibus Antisthenis nomen iam temporibus Diogenis Laërtii Demetriique Magnetis, qui illius auctor est, inditum erat[2]). En habemus antiqui auctoris testimonium, iam Attica aetate talia argumenta a sophistis tractata esse: quod tamen non prohibuit Fossium, quominus has quoque declamationes seriori alicui sophistae tribueret. Winckelmannus[3]) contra eis patrocinatus est, neque quicquam, me iudice, afferri potest quo ea sententia refellatur. Haud inficete scriptae sunt, philosophico quodam et Socratico colore imbutae, rhetoris arte cum in aliis tum in rerum dispositione destitutae, rudis eloquentiae incultaeque monumenta. Utrum autem vera Antisthenis opera legamus an ab im-

1) Reisk. Orat. Gr. t. VIII praef.

2) Diogen. Laert. VI, 15: *Φέρονται δ᾽ αὐτοῦ συγγράμματα τόμοι δέκα. Πρῶτος ἐν ᾧ περὶ λέξεως ἢ περὶ χαρακτήρων, Αἴας ἢ Αἴαντος λόγος, Ὀδυσσεὺς ἢ ὑπὲρ Ὀδυσσέως, Ὀρέστου ἀπολογία κτέ.*

3) Winckelmann Antisthenis fragmenta p. 40.

postore aliquo nobis fraus fiat, equidem disceptare nolo, diiudicandumque eis relinquo qui Antisthenis imaginem expressam intuentes certa ea norma uti poterunt. Si autem ea quae fraudis convincere nequeamus genuina habenda sunt, haec quoque Antisthenis esse putemus, donec existat qui contrarium demonstret.

Scr. Numburgi mense Septembri CIƆIƆCCCLXX.

Fridericus Blass.

1.

VITA ANTIPHONTIS

EX VITIS X ORATORUM PLUTARCHO ADSCRIPTIS.

Ἀντιφῶν Σωφίλου μὲν ἦν πατρός, τῶν δὲ δήμων 1
Ῥαμνούσιος. — μαθητεύσας δὲ τῷ πατρί (ἦν γὰρ 2
σοφιστής, ᾧ καὶ Ἀλκιβιάδην φασὶν ἔτι παῖδα ὄντα
φοιτῆσαι) καὶ δύναμιν λόγων κτησάμενος, (ἢ) ὥς
τινες νομίζουσιν, ἀπ᾽ οἰκείας φύσεως, ὤκνησε μὲν
πολιτεύεσθαι, διατριβὴν δὲ συνέστησε, καὶ Σωκράτει 3
τῷ φιλοσόφῳ διεφέρετο τὴν ὑπὲρ τῶν λόγων διαφο-
ράν, οὐ φιλονείκως ἀλλ᾽ ἐλεγκτικῶς, ὡς Ξενοφῶν
ἱστόρηκεν ἐν τοῖς ἀπομνημονεύμασιν. — καί τινας 4

Scripserunt de Antiphontis vita Caecilius Calactinus (τὸ περὶ Ἀ. σύνταγμα § 7 cf. 15. 22) et Didymus (Hermogen. π. ἰδ. p. 414 Sp.); nobis praeter hanc Plutarcheam vitam et eam quae in libris Antiphontis praemittitur Philostrati Photii Suidae Eudociae de oratoris rebus scripta servata sunt, qui tamen omnes vel e Plutarcho sua hauserunt vel certe nihil novi afferunt.

§. 1. Patris nomen etiam Σόφιλος scribitur.

2. ἢ ὥς τινες Reiskius. — ὤκνησε] ὥρμησε v., sed παρέπεμψε cod. B.

3. E Xenophonte Memor. I, 6; istud οὐ φιλονείκως contra Aristotelem dictum videtur (ap. Diog. L. II, 46; v. Sauppe de Antiph. soph. p. 7). Alius autem est Ἀ. ὁ σοφιστής, de quo cf. Diog. l. c.; Suid.; Hermog. l. c.

4. cf. Thuc. 8, 68. — πρῶτος Meziriacus: πρῶτον. — Idem referunt Hermog. l. c., Quintilianus III, 1, 11 *(primus*

λόγους τοῖς δεομένοις τῶν πολιτῶν συνέγραφεν εἰς
τοὺς ἐν τοῖς δικαστηρίοις ἀγῶνας, πρῶτος ἐπὶ τοῦτο
5 τραπείς, ὥσπερ τινές φασιν. τῶν γοῦν πρὸ αὐτοῦ
γενομένων οὐδενὸς φέρεται δικανικὸς λόγος, ἀλλ'
οὐδὲ τῶν κατ' αὐτόν, διὰ τὸ μηδέπω ἐν ἔθει τὸ συγ-
γράφειν εἶναι, οὐ Θεμιστοκλέους, οὐκ Ἀριστείδου, οὐ
Περικλέους, καίτοι πολλὰς ἀφορμὰς καὶ ἀνάγκας πα-
ρασχόντων αὐτοῖς τῶν καιρῶν· καὶ γὰρ οὐ δι' ἀσθέ-
νειαν ἀπελείποντο τοῦ συγγράφειν, ὡς δῆλον ἐκ τῶν
εἰρημένων παρὰ τοῖς συγγραφεῦσι περὶ ἑνὸς ἑκάστου
τῶν προειρημένων ἀνδρῶν. ὅσους μέντοι ἔχομεν ἐπὶ τὸ
παλαιότατον ἀναφέροντες ἀπομνημονεῦσαι τὴν ἰδέαν
τῶν λόγων ταύτην μεταχειρισαμένους, τούτους εὕροι
τις ἂν ἐπιβεβληκότας Ἀντιφῶντι πρεσβύτῃ ἤδη ὄντι,
οἷον Ἀλκιβιάδην, Κριτίαν, Λυσίαν, Ἀρχῖνον. —
6 πρῶτος δὲ καὶ ῥητορικὰς τέχνας ἐξήνεγκε γενόμενος
7 ἀγχίνους, διὸ καὶ Νέστωρ ἐπεκαλεῖτο. — Καικίλιος δ'
ἐν τῷ περὶ αὐτοῦ συντάγματι Θουκυδίδου τοῦ συγγρα-

omnium orationem scripsit), Diodorus ap. Clem. Alex. Strom. I, 365 (πρῶτον δικανικὸν λόγον εἰς ἔκδοσιν γραψάμενον).

5. γοῦν] γὰρ Westerm. e Photio. — τὸ συγγρ. εἶναι Meziriacus: τοῦ συγγρ. εἶναι.

6. cf. Quint. l. c.: „*artem et ipse composuit:*" primum fuisse in arte scribenda nemo praeterea dicit. Ceterum quae exstabat Antiphontis nomine τέχνη ῥητορική spuria a quibusdam putabatur, cf. Polluc. 6, 143. — Nestorem appellatum fuisse alii quoque biographi tradunt; at Plato (Phaedr. 261 C) Gorgiam potius eo nomine ornat.

7. καθηγητὴν Wyttenbach: μαθητὴν v. et Photius, διδάσκαλον TVx. Incertum est Plutarchusne an librarii eius in culpa sint. Res a multis traditur: cf. Hermog. l. c., [Tryphon.] Sp. Rh. Gr. III p. 201, Vitt. Thucyd.; ἑταῖρον dicit Aristides (ὑπ. τῶν τεττ. II p. 176 Dd.). Platonis quoque verba (Menex. 236 A): ὅστις ἐμοῦ κάκιον ἐπαιδεύθη, μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθείς, ῥητορικὴν δὲ ὑπ' Ἀ. τοῦ Ῥαμν., vulgo ita interpretati sunt: v. Hermog. — Thuc. 8, 68.

φέως καθηγητὴν τεκμαίρεται γεγονέναι, ἐξ ὧν ἐπαινεῖ-
ται παρ' αὐτῷ ὁ Ἀντιφῶν. — ἔστι δ' ἐν τοῖς λόγοις 8
ἀκριβὴς καὶ πιθανὸς καὶ δεινὸς περὶ τὴν εὕρεσιν καὶ
ἐν τοῖς ἀπόροις τεχνικὸς καὶ ἐπιχειρῶν ἐξ ἀδήλου καὶ
ἐπὶ τοὺς νόμους καὶ τὰ πάθη τρέπων τοὺς λόγους,
τοῦ εὐπρεποῦς μάλιστα στοχαζόμενος. — γέγονε δὲ 9
κατὰ τὰ Περσικὰ καὶ Γοργίαν τὸν σοφιστήν, ὀλίγῳ
νεώτερος αὐτοῦ, καὶ παρατέτακεν ἕως καταλύσεως
τῆς δημοκρατίας ὑπὸ τῶν υ' γενομένης, ἣν αὐτὸς
δοκεῖ συγκατασκευάσαι, ὁτὲ μὲν δυσὶ τριηραρχῶν 10
ναυσίν, ὁτὲ δὲ στρατηγῶν καὶ πολλαῖς μάχαις νικῶν
καὶ συμμαχίας αὐτοῖς μεγάλας προσαγόμενος καὶ
τοὺς ἀκμάζοντας ὁπλίζων καὶ τριήρεις πληρῶν ξ',
καὶ πρεσβεύων ἑκάστοτε ὑπὲρ αὐτῶν, (καὶ) εἰς Λακε-
δαίμονα ἡνίκα ἐτετείχιστο Ἠετιώνεια. μετὰ δὲ τὴν 11
κατάλυσιν τῶν υ' εἰσαγγελθεὶς σὺν Ἀρχεπτολέμῳ ἑνὶ
τῶν υ' ἑάλω, καὶ τοῖς περὶ τῶν προδοτῶν ἐπιτιμίοις

8. Iudicium de Antiphonte Caecilii sit; sed parum integrum nobis traditum est.

9. *κατὰ τὰ Π.*] *μετὰ* Reiskius; sed cf. alteram vitam. Secundum Photium Gorgias minor natu fuit; itaque vel *νεώτερον* in libro suo legit, vel ipsius verba emendanda sunt (*ὀλίγῳ πρότερον Γοργίου — γεγονότος* cum Dryandro pro *γεγονώς*). — *ὀλίγῳ* scripsi: *ὀλίγου*.

10. *δυσὶ τριηραρχῶν ναυσίν*] haec e Xenophonte petita sunt (Hell. 2, 3, 40), qui de alio Antiphonte, eo qui a XXX viris occisus est, non de oratore loquitur. Cetera aeque falsa unde provenerint ignoro; nisi quod de Theopompo cogitare possis, quem alterum illum Antiphontem commemoravisse infra (§ 13) legitur. De legatione Spartana e Thucydide constat. — *ὑπὲρ αὐτῶν* Reisk.: *ὑπ' αὐτῶν*. — *καὶ* ante *εἰς Λ.* add. Westermann.

11. *ἀνεγράφη* Westermann.: *ἐνεγρ.*. Damnationem Antiphontis cum non commemoret Thucydides, id quoque de familiaritate utriusque argumento fuit, cf. Vit. Thucyd. p. 190 Westerm.

ὑπαχθεὶς ἄταφος ἐρρίφη καὶ σὺν τοῖς ἐκγόνοις
12 ἄτιμος ἀνεγράφη. — οἱ δ' ὑπὸ τῶν λ' ἀνῃρῆσθαι
αὐτὸν ἱστοροῦσιν, ὥσπερ Λυσίας ἐν τῷ ὑπὲρ τῆς
Ἀντιφῶντος θυγατρὸς λόγῳ· ἐγένετο γὰρ αὐτῷ
13 θυγάτριον, οὗ Κάλλαισχρος ἐπεδικάσατο. — ὅτι δ'
ὑπὸ τῶν λ' ἀπέθανεν ἱστορεῖ καὶ Θεόπομπος ἐν τῇ
ιε' τῶν Φιλιππικῶν. ἀλλ' οὗτός γ' ἂν εἴη ἕτερος,
Λυσωνίδου πατρός, οὗ καὶ Κρατῖνος ἐν Πυτίνῃ ὡς
πονηροῦ μνημονεύει. πῶς γὰρ ἂν ὁ προτεθνεὼς καὶ
14 ἀναιρεθεὶς ἐπὶ τῶν υ' πάλιν ἐπὶ τῶν λ' εἴη; — ἔστι
δὲ καὶ ἄλλος λόγος περὶ τῆς τελευτῆς αὐτοῦ· πρε-
σβύτην γὰρ ὄντα αὐτὸν εἰς Συρακούσας πλεῦσαι,
ἡνίκα ἤκμαζεν ἡ τοῦ προτέρου Διονυσίου τυραννίς·
γενομένης δὲ παρὰ πότον ζητήσεως, τίς ἄριστός ἐστι
χαλκός, καὶ τῶν πολλῶν διαφερομένων, αὐτὸν εἰπεῖν
ἄριστον εἶναι ἐξ οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων
πεποίηνται· τοῦτο δ' ἀκούσαντα τὸν Διονύσιον καὶ
ὑπονοήσαντα προτροπὴν εἰς ἐπίθεσιν εἶναι τὸ ῥηθὲν
προστάξαι ἀναιρεθῆναι αὐτόν· οἱ δ' ὅτι τὰς τραγῳ-
15 δίας αὐτοῦ διέσυρε χαλεπήναντα. — φέρονται δὲ

12. λ'] υ' ex Photio Frankius, qui in proximis καὶ ante Θεοπ. deleri iubet. Sed cf. Saupp. O. A. II p. 175.

13. Theopomp. fr. 130 Müll. — οὗτός γ' ἂν εἴη ἕτερος Taylor.: οὗτός τε ἂν ἡμέτερος. — Λυσωνίδου cum EH Saupp. l. c.: al. libri Λυσιδωνίδου vel Λυσωδωνίδου (Μειδωνίδου ci. Keil.). — οὗ καὶ Saupp.: οὗ Taylor., καὶ libr. — ὡς πονηροῦ Taylor.: ὡς οὐ πονηροῦ Meierus; οὐ πον. libr. — γὰρ add. Meziriacus (cum H); καὶ ante ἀναιρ. om. codd. praeter EH. — ἐπὶ τῶν τετρ. Saupp. cum E: ὑπὸ τ. τ. relicui; tria haec verba et praeterea καὶ deleri vult Frankius.

14. Jam Antiphontis tragici res auctor admiscet. — πρεσβύτην Xylander (cf. Vitam alteram): πρεσβευτὴν codd. et Phot. — Facete dictum huius Antiphontis ante ipsam mortem refert Aristoteles Rhet. II, 6 p. 78 Sp.

τοῦ ῥήτορος λόγοι ξ', ὧν κατεψευσμένους φησὶ Και-
κίλιος εἶναι τοὺς κε'. — κεκωμῴδηται δ' εἰς φιλαρ- 16
γυρίαν ὑπὸ Πλάτωνος ἐν Πεισάνδρῳ. — λέγεται δὲ 17
(καὶ) τραγῳδίας συνθεῖναι καὶ ἰδίᾳ καὶ σὺν Διονυ-
σίῳ τῷ τυράννῳ. — ἔτι δ' ὢν πρὸς τῇ ποιήσει 18
τέχνην ἀλυπίας συνεστήσατο, ὥσπερ τοῖς νοσοῦσιν ἡ
παρὰ τῶν ἰατρῶν θεραπεία ὑπάρχει, ἐν Κορίνθῳ τε
κατεσκευασμένος οἴκημά τι παρὰ τὴν ἀγορὰν προ-
έγραψεν ὅτι δύναται τοὺς λυπουμένους διὰ λόγων
θεραπεύειν, καὶ πυνθανόμενος τὰς αἰτίας παρεμυ-
θεῖτο τοὺς κάμνοντας. νομίζων δὲ τὴν τέχνην ἐλάτ-
τω ἢ καθ' αὑτὸν εἶναι ἐπὶ ῥητορικὴν ἀπετράπη. —
εἰσὶ δ' οἳ καὶ τὸ Γλαύκου τοῦ Ῥηγίνου περὶ ποιη- 19
τῶν βιβλίον εἰς Ἀντιφῶντα ἀναφέρουσιν. — ἐπαι- 20
νεῖται δ' αὐτοῦ μάλιστα ὁ περὶ Ἡρώδου καὶ ὁ πρὸς

15. Auctor indicis eius quem restituit Studemund (Hermes II, 434) L orationes Antiphonti tribuit. Sane huic indici optimo iure omnem fidem deroges.

16. ἐν Πεισ. ex Photio Casaubonus: σπεισάνδρῳ vel σὺν πεισάνδρῳ. Cf. Philostr. p. 17: καθάπτεται δ' ἡ κωμῳδία τοῦ Ἀ. ὡς δεινοῦ τὰ δικανικὰ καὶ λόγους κατὰ τοῦ δικαίου συγκειμένους ἀποδιδομένου πολλῶν χρημάτων αὐτοῖς μάλιστα τοῖς κινδυνεύουσιν. Hinc etiam φιλαργυρίας crimen, quo cum omnibus sophistis Antiphon petebatur. Mercedem primum pro orationibus eum accepisse perhibent Diodorus l. c. et Ammian. Marc. XXX, 4.

17. δὲ καὶ Frankius ex Photio: δέ.

18. Haec si quam fidem habent, de sophista A. valent, non de oratore.

19 cf. Müller Hist. Gr. II, p. 23.

20. Ἡρώδου Palmer: Ἡροδότου. — ταῶν Ruhnkenius: ἰδεῶν. — Orationem quam in sua causa orator habuit insigni laude praedicat Thucydides (8, 68): ἄριστα φαίνεται τῶν μέχρι ἐμοῦ ὑπὲρ αὐτῶν τούτων, αἰτιαθεὶς ὡς ξυγκατέστησε, θανάτου δίκην ἀπολογησάμενος. Quod historici iudicium et a Cicerone (Brut. § 47) et a Quintiliano (III, 1, 11) commemoratur. Agathoni quoque tragico oratio illa valde placuit: cf. quae narrantur ap. Aristot. Eth. Eud. 3, 5:

Ἐρασίστρατον περὶ τῶν ταῶν καὶ ὁ περὶ τῆς εἰςαγγελίας, ὃν ὑπὲρ ἑαυτοῦ γέγραφε, καὶ ὁ πρὸς
21 *Δημοσθένην τὸν στρατηγὸν παρανόμων. — ἔγραψε δὲ καὶ κατὰ Ἱπποκράτους τοῖ ἰατροῦ λόγον καὶ εἷλεν αὐτὸν ἐξ ἐρήμου.*

22 *Ψήφισμα ἐπὶ Θεοπόμπου ἄρχοντος, ἐφ' οὗ οἱ υ' κατελύθησαν, καθ' ὃ ἔδοξεν Ἀντιφῶντα κριθῆναι, ὃ Καικίλιος παρατέθειται. „Ἔδοξε τῇ βουλῇ, μιᾷ καὶ*
23 *εἰκοστῇ τῆς πρυτανείας, Δημόνικος Ἀλωπεκῆθεν ἐγραμμάτευε, Φιλόστρατος Παλληνεὺς ἐπεστάτει, Ἄνδρων εἶπε· περὶ τῶν ἀνδρῶν οὓς ἀποφαίνουσιν οἱ στρατηγοὶ πρεσβευομένους εἰς Λακεδαίμονα ἐπὶ κακῷ τῆς πόλεως τῆς Ἀθηναίων, καὶ ἐκ τοῦ στρατοπέδου πλεῖν ἐπὶ πολεμίας νεὼς καὶ πεζεῦσαι διὰ Δεκελείας, Ἀρχεπτόλεμον καὶ Ὀνομακλέα καὶ Ἀντι-*

καὶ μᾶλλον ἂν φροντίσειεν ἀνὴρ μεγαλόψυχος τί δοκεῖ ἑνὶ σπουδαίῳ ἢ πολλοῖς τοῖς τυγχάνουσιν, ὥσπερ Ἀντιφῶν ἔφη πρὸς Ἀγάθωνα κατεψηφισμένος τὴν ἀπολογίαν ἐπαινέσαντα.

21. *ἰατροῦ στρατηγῶν* E, *ἰατροῦ στρατηγοῦ* cett., *ἰατροῦ* Photius. Contra *ἰατροῦ* delent Westermann et Sauppe (O. A. II, 139).

22. Psephisma e Crateri *συναγωγῇ ψηφισμάτων* Caecilius desumpsit, cf. Harpocrat. s. v. *Ἄνδρων*: *Ἄνδρωνά φησιν εἶναι Κρατερὸς ἐν θ' τῶν ψηφισμάτων τὸν γράψαντα τὸ ψήφισμα τὸ περὶ Ἀ. τοῦ ῥήτορος.* — Vocabulum *ψήφισμα* iterant libri post *κατελύθησαν*; em. Duebner.

23. Decretum initio mutilum est; tribus nomen deesse monuit Schoemannus de comit. Athen. p. 132 (Westerm.). — *πρεσβευσομένους* vel *πρεσβευσαμένους* Reiskius, qui etiam *ἐκ* ante *τοῦ στρ.* deleri vult, de exercitu Atheniensi qui apud Samum erat intellegens. — *δοκῇ* Frankius ex H: *δοκοῖ*. — *προςελομένοις* Reisk.: *προςελομένους*. — *ᾑρημένους* T: *εἰρ.* cett., unde Reiskius: *κατηγ. τῶν εἰρημένων τοὺς ᾑρημένους κατηγόρους.* Inter praetores eius anni eosdemque in illo iudicio accusatores Theramenes quoque fuit, de quo Lysias (in Erat. § 67): *Ἀντιφῶντα καὶ Ἀρχεπτόλεμον φιλτάτους ὄντας αὐτῷ κατηγορῶν ἀπέκτεινε.* — *ἄλλος*] *ἄλλους* T.

φῶντα συλλαβεῖν καὶ ἀποδοῦναι εἰς τὸ δικαστήριον· ὅπως δῶσι δίκην· παρασχόντων δ᾽ αὐτοὺς οἱ στρατηγοὶ καὶ ἐκ τῆς βουλῆς οὕςτινας ἂν δοκῇ τοῖς στρατηγοῖς προςελομένοις μέχρι δέκα, ὅπως ἂν περὶ παρόντων γένηται ἡ κρίσις· προςκαλεσάσθωσαν δ᾽ αὐτοὺς οἱ θεσμοθέται ἐν τῇ αὔριον ἡμέρᾳ, καὶ εἰςαγόντων, ἐπειδὰν αἱ κλήσεις ἐξήκωσιν, εἰς τὸ δικαστήριον περὶ προδοσίας. κατηγορεῖν (δὲ) τοὺς ᾑρημένους συνηγόρους καὶ τοὺς στρατηγοὺς καὶ ἄλλος ἄν τις βούληται· ὅτου δ᾽ ἂν καταψηφίσηται τὸ δικαστήριον, περὶ αὐτοῦ ποιεῖν κατὰ τὸν νόμον ὃς κεῖται περὶ τῶν προδόντων." Τούτῳ ὑπογέγραπται τῷ δόγματι ἡ 24 καταδίκη. „Προδοσίας ὦφλον Ἀρχεπτόλεμος Ἱπποδάμου Ἀγρυλῆθεν παρών, Ἀντιφῶν Σωφίλου Ῥαμνούσιος παρών. τούτοιν ἐτιμήθη τοῖς ἕνδεκα παραδοθῆναι καὶ τὰ χρήματα δημόσια εἶναι καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον, καὶ τὼ οἰκία κατασκάψαι αὐτοῖν, καὶ ὅρους θεῖναι τοῖν οἰκοπέδοιν ἐπιγράψαντας· Ἀρχεπτολέμου καὶ Ἀντιφῶντος τοῖν προδόταιν· τὼ δὲ δημάρχω ἀποφῆναι τὼ οἰκία αὐτοῖν· καὶ μὴ ἐξεῖναι θάψαι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα Ἀθήνησι μηδ᾽ ὅσης Ἀθηναῖοι κρατοῦσι, καὶ ἄτιμον εἶναι Ἀρχεπτόλεμον καὶ Ἀντιφῶντα, καὶ γένος τὸ ἐκ τούτοιν, καὶ νόθους καὶ γνησίους, καὶ ἐάν (τις) ποιήσηταί τινα τῶν ἐξ

24. τὼ οἰκία ante κατασκ. cum Frankio Duebnerus: τῷ οἰκίᾳ AIIP, τῇ οἰκίᾳ Ald., τὰς οἰκίας vulg. — αὐτοῖν Duebner.: αὐτῶν. — προδότοιν P, προδόντοιν Duebn. — τὼ δὲ δημάρχῳ ἀποφῆναί τε οἰκίαν ἐς τόν libri; τὼ δὲ δημάρχω ἀποφῆναι τὰς οἰκίας αὐτῶν Meier (τὼ οἰκία αὐτοῖν Duebn., τὴν οὐσίαν αὐτοῖν Westermann.). — καὶ ante ἧπερ add. Westermann. — ἧπερ ἀνάκειται τὰ Reiskius: ἐν ἧπερ ἂν καὶ τὰ Wyttenbach. — τούτου libri, τοῦτο Reiskius, qui et προθέσθαι pro θέσθαι.

Ἀρχεπτολέμου καὶ Ἀντιφῶντος, ἄτιμος ἔστω ὁ ποιησάμενος. ταῦτα δὲ γράψαι ἐν στήλῃ χαλκῇ, (καὶ) ᾗπερ ἂν καὶ τὰ ψηφίσματα τὰ περὶ Φρυνίχου, καὶ τοῦτο θέσθαι."

2.

ΓΕΝΟΣ ΑΝΤΙΦΩΝΤΟΣ.

1 *Ἀντιφῶν υἱὸς μὲν ἦν Σωφίλου, φυλῆς δ' Αἰαν-*
2 *τίδος, Ῥαμνούσιος τὸν δῆμον. κατὰ δὲ τὰ Περσικὰ*
3 *γενόμενος συνήκμασε Γοργίᾳ τῷ σοφιστῇ. καὶ διδα-*
σκάλῳ τὰ πρῶτα χρησάμενος τῷ πατρὶ διδάσκοντι
γράμματα, τῆς ἡλικίας προβαινούσης τὰ περὶ τοὺς
4 *λόγους ἐξεπόνησε· φυσικῇ (δὲ) δεινότητι τὴν ἐκ τῆς*
ἀσκήσεως μελέτην προςλαβών, μηδενὸς μὲν ἀκροασά-
μενος, ὅτι μηδ' ἦν πώ τις τότε μήτε λόγων μήτε τεχνῶν
ῥητορικῶν συγγραφεὺς μήτε σοφιστὴς προεστηκὼς
διατριβῆς, τοῖς (τῶν) πρὸ αὐτοῦ δὲ ἐντυχὼν βιβλίοις
καὶ τοῖς τῶν ποιητῶν μάλιστα, εἰς τοσοῦτον προῆλθε
δεινότητος ὥςτε Νέστωρ ἐπεκαλεῖτο διὰ τὴν ἐν τῷ
5 *λέγειν ἡδονήν. τοῦ πολιτεύεσθαι δὲ ἀποστὰς νέος*
ὢν ἐν Κορίνθῳ παρὰ τὴν ἀγορὰν οἴκημα εἰς ὑπο-
δοχὴν ἀκροατῶν ποιήσας καὶ ἔξωθεν ἐπιγράψας ὅτι
6 *τοὺς λυπουμένους παραμυθεῖται, εἶτα φιλοχρήματος*
ὢν καὶ οὐ πολλὰ ἐκ τούτου κερδαίνων τραγῳδίας

Reperitur haec vita in libris Antiphontis orationibus praemissa: quamobrem, quamquam tota e Plutarchea pendet nulliusque pretii est, tamen eam recipiendam duxi.

1. *Σωφίλου* Westerm.: *Σοφίλου*. — *τῶν δήμων* Hirschig. — 4. *δὲ* post *φυσικῇ* add. Saupp. — *πώ τις τότε* Fr.: *πώ τις τό τε* N; *πώ τις* cett. — *ἐπεκαλεῖτο* N Westerm. Mr.: *ἐκαλεῖτο*.

ἐποίει. ἀποστὰς δὲ καὶ τούτων ἐπὶ ῥητορικὴν ἐτρά- 7
πετο, καὶ συστησάμενος ἐν Ἀθήναις διατριβὴν Σω-
κράτει περὶ τῶν ἐλεγκτικῶν διεφέρετο. πολλοὺς δὲ 8
παιδεύσας ἐπαίδευσε καὶ Θουκυδίδην. ἐν δὲ τῷ 9
Πελοποννησιακῷ πολέμῳ πολλὰ δυνηθεὶς μετέβαλε
τὴν δημοκρατίαν καὶ ἐποίησε τοὺς υ΄ μετὰ τῶν περὶ
Ἀρχεπτόλεμον. εἰςαγγελθεὶς δὲ ἑάλω καὶ τοῖς τῶν
προδοτῶν ὑπαχθεὶς ἐπιτιμίοις ἄταφος ἐῤῥίφη. φασὶ 10
δέ (τινες) ἐν Σικελίᾳ αὐτὸν τελευτῆσαι παρὰ Διονυ-
σίου· ἤδη γὰρ πρεσβύτης ὢν καὶ πρὸς αὐτὸν ἀφικό-
μενος ἔσκωπτεν αὐτοῦ τοῦ Διονυσίου τὰς τραγῳ-
δίας, καὶ διὰ τοῦτο, φασὶν, ἀχθεσθεὶς ἀπέκτεινεν
αὐτόν. ἄλλοι δὲ λέγουσιν ὅτι οὐ διὰ τοῦτο, ἀλλ' 11
ὑπωπτεύθη, φασί, καταλῦσαι θέλων τὴν τυραννίδα.
ἐρωτηθέντα γάρ φασιν αὐτὸν παρὰ τοῦ Διονυσίου,
ποῖος αὐτῷ χαλκὸς ἀρέσκει, εἰπεῖν, ὅθεν ἐγένοντο
Ἁρμόδιος καὶ Ἀριστογείτων.

3.

DE ANTIPHONTIS ELOQUENTIA

CAECILII CALACTINI FRAGMENTUM.

Ὁ μέντοι Σικελιώτης Καικίλιος μὴ κεχρῆσθαί φησι τὸν ῥήτορα τοῖς τῆς διανοίας σχήμασιν, ἀλλὰ

10. *τινες* cum Ald. add. Bekkerus (Westerm. Maetzner.); porro Ald.: *ὅτι ἐν Σ. παρὰ Δ.*, omissis *αὐτὸν τελ.* cum BLZ et mox *γὰρ* cum eisdem; denique *ὅτε πρὸς* pro *καὶ πρὸς* habet et om. *φασὶν* post *τοῦτο.*

III. Exstat ap. Photium cod. 259 p. 485 b 15 Bekk.. De Caecilii libro (*περὶ Ἀντιφῶντος σύνταγμα*) v. supra. — *ἐξάλλαξιν*] ita Longinus Sp. Rh. Gr. I p. 325, 9, qui aperte

κατευθὺ αὐτῷ καὶ ἀπλάστους τὰς νοήσεις ἐκφέρεσθαι, τροπὴν δὲ ἐκ τοῦ πανούργου καὶ ἐξάλλαξιν οὔτε ζητῆσαι τὸν ἄνδρα οὔτε χρήσασθαι, ἀλλὰ δι' αὐτῶν δὴ τῶν νοημάτων καὶ τῆς φυσικῆς αὐτῶν ἀκολουθίας ἄγειν τὸν ἀκροατὴν πρὸς τὸ βούλημα. „οἱ γὰρ πάλαι ῥήτορες ἱκανὸν αὐτοῖς ἐνόμιζον εὑρεῖν τε τὰ ἐνθυμήματα καὶ τῇ φράσει περιττῶς ἀπαγγεῖλαι. ἐσπούδαζον γὰρ τὸ ὅλον περὶ τὴν λέξιν καὶ τὸν ταύτης κόσμον, πρῶτον μὲν ὅπως εἴη σημαντική τε καὶ εὐπρεπὴς (τοῖς ὀνόμασιν), εἶτα δὲ καὶ ἐναρμόνιος ἡ τούτων σύνθεσις· ἐν τούτῳ γὰρ αὐτοῖς καὶ τὴν πρὸς τοὺς ἰδιώτας διαφορὰν ἐπὶ τὸ κρεῖττον περιγίνεσθαι.“ εἶτα εἰπὼν ὡς ἀσχημάτιστος εἴη κατὰ διάνοιαν ὁ τοῦ Ἀντιφῶντος λόγος, ὥςπερ ἐπιδιορθούμενος ἑαυτόν· „οὐ τοῦτο λέγω“, φησίν, „ὡς οὐδὲν εὑρίσκεται διανοίας παρ' Ἀντιφῶντι σχῆμα. καὶ γὰρ ἐρώτησίς που καὶ παράλειψις καὶ ἕτερα τοιαῦτα ἔνεισιν αὐτοῦ τοῖς λόγοις· ἀλλὰ τί φημι; ὅτι μὴ κατ' ἐπιτήδευσιν μηδὲ συνεχῶς ἐχρήσατο τούτοις. ἀλλ' ἔνθα ἂν ἡ φύσις αὐτὴ μεθοδείας χωρίς τινα ἐπῆγεν· ὃ δὴ καὶ περὶ τοὺς τυχόντας τῶν ἰδιωτῶν ἔστιν ὁρᾶν. διὰ τοῦτο καὶ ὅταν τις ἀσχηματίστους εἶναι λέγῃ λόγους, οὐ καθάπαξ οἰητέον τῶν σχημάτων αὐτοὺς ἀπεστερη-

eodem Caecili loco usus est: *ἐνάλλαξιν*. cf. etiam Alexandr. *π. σχημάτων* III, 11 Sp.: *σχῆμά ἐστιν ἐξάλλαξις λόγου ἐπὶ τὸ κρεῖττον*. — *περί τε τὴν λέξιν* libri praeter A, e quo delevit *τε* Bk. — *εἶτα δὲ καὶ*] *δὲ* Bk. ex A addidit. — *τοῖς ὀνόμασιν* addidi propter *τούτων*. — *ἐν τούτῳ*] an *ἐκ τούτων*? — *παράλειψις* Bk. ex A: *παράληψις*. — *τινος* et *ἀπῆγεν* libri. — *οἰητέον* Bk. ex A: *οἴηται*.

Dionysius Halic. Antiphontem non nisi raro breviterque commemorat: v. de Isae. c. 20 (cf. de Dem. c. 8); de comp. p. 53; ibd. p. 150; de Thucyd. c. 51; c. 53; ad Ammae. I c. 2.

μένους εἶναι, τοῦτο γὰρ ἀδύνατον, ἀλλ' ὅτι τὸ ἐμμέθοδον καὶ συνεχὲς καὶ ἐρρωμένον τῶν σχημάτων οὐκ ἔστιν ὁρώμενον ἐν αὐτοῖς.“

4.

HERMOGENIS DE ANTIPHONTE IUDICIUM.

Περὶ δὲ Ἀντιφῶντος λέγοντας ἀνάγκη προειπεῖν,
ὅτι καθάπερ ἄλλοι τέ φασιν οὐκ ὀλίγοι καὶ Δίδυ-
μος ὁ γραμματικός, πρὸς δὲ καὶ ἀπὸ ἱστορίας φαίνε-
ται, πλείους μὲν γεγόνασιν Ἀντιφῶντες, δύο δὲ οἱ
σοφιστεύσαντες, ὧν καὶ λόγον ἀνάγκη ποιήσασθαι.
ὧν εἷς μέν ἐστιν ὁ ῥήτωρ, οὗπερ οἱ φονικοὶ φέρονται 386 W.
λόγοι καὶ οἱ δημηγορικοὶ καὶ ὅσοι τούτοις ὅμοιοι,
ἕτερος δὲ ὁ καὶ τερατοσκόπος καὶ ὀνειροκρίτης λεγό-
μενος γενέσθαι, οὗπερ οἵ τε περὶ τῆς ἀληθείας λέ-
γονται λόγοι καὶ ὁ περὶ ὁμονοίας καὶ ὁ πολιτικός.
ἐγὼ δὲ ἕνεκα μὲν τοῦ διαφόρου τῶν ἐν τοῖς λόγοις
τούτοις ἰδεῶν πείθομαι δύο τοὺς Ἀντιφῶντας γενέ-
σθαι· πολὺ γὰρ ὡς ὄντως τὸ παραλλάττον τῶν ἐπι-
γραφομένων τῆς ἀληθείας λόγων πρὸς τοὺς λοιπούς·
ἕνεκα δὲ τοῦ καὶ παρὰ Πλάτωνι καὶ παρ' ἄλλοις

IV. Hermogen. περὶ ἰδεῶν τόμ. B Sp. Rh. Gr. II p. 414 sq. — οὗπερ οἱ φονικοὶ φέρονται λόγοι κτέ.] dedi locum ex emendatione Sauppii. Codd.: οὗπερ οἱ φονικοὶ φέρονται λόγοι καὶ δημηγορικοὶ καὶ ὅσοι τούτοις ὅμοιοι· ἕτερος δὲ — —, οὗπερ οἵ τε περὶ τῆς ἀληθείας λέγονται λόγοι καὶ ὁ περὶ ὁμονοίας καὶ οἱ δημηγορικοὶ καὶ ὁ πολιτικός. Contra Spengel. coniecit (recep. Walz.): — — φέρονται λόγοι καὶ ὁ περὶ ὁμονοίας καὶ οἱ δημηγορικοὶ καὶ ὁ πολιτικὸς καὶ ὅσοι — — οὗπερ οἱ (deleto τε) περὶ τῆς ἀληθείας λέγονται λόγοι.

ἱστορουμένου πάλιν οὐ πείθομαι. Θουκυδίδην γὰρ Ἀντιφῶντος εἶναι τοῦ Ῥαμνουσίου μαθητὴν ἀκούω πολλῶν λεγόντων, καὶ τὸν μὲν Ῥαμνούσιον εἰδὼς ἐκεῖνον οὗπερ εἰσὶν οἱ φονικοί, τὸν Θουκυδίδην δὲ πολλῷ (τούτου) κεχωρισμένον καὶ κεκοινωνηκότα τῷ εἴδει τῶν τῆς ἀληθείας λόγων, πάλιν οὐ πείθομαι.
387 W. οὐ μὴν ἀλλ' εἴτε εἷς ὁ Ἀντιφῶν ἐγένετο, δύο λόγων εἴδεσι τοσοῦτον ἀλλήλων διεστηκόσι χρησάμενος, εἴτε καὶ δύο, χωρὶς ἑκάτερος ὁ μὲν τοῦτο ὁ δὲ ἐκεῖνο μετελθών, ἀνάγκη χωρὶς περὶ ἑκατέρου διελθεῖν· πλεῖστον γὰρ ὡς ἔφαμεν τὸ μεταξύ.

Ὁ τοίνυν Ῥαμνούσιος Ἀντιφῶν, οὗπερ οἱ φονικοὶ φέρονται, πολιτικὸς μὲν καὶ κατὰ τὸ σαφὲς καὶ κατὰ τὸ ἀληθινὸν καὶ τὸ ἄλλως ἠθικόν, ὥστε καὶ πιθανός, ἧττον δὲ ἅπαντα ταῦτα ἢ κατὰ τοὺς ἄλλους, ἐπεὶ καὶ πρῶτος λέγεται τοῦτο μετελθεῖν τὸ εἶδος καὶ ὅλως εὑρετὴς καὶ ἀρχηγὸς γενέσθαι τοῦ τύπου τοῦ πολιτικοῦ· καὶ γάρ ἐστι τοῖς χρόνοις τῶν δέκα ῥητόρων τούτων πρεσβύτατος ἁπάντων. μεγέθει δὲ χρῆται μὲν οὐκ ὀλίγῳ, καλῶς δέ πως καὶ συνυφασμένῳ καὶ οὐ κατὰ τὸν Ὑπερίδην διεστηκότι τῶν ἄλλων, οὐδ' αὖ κατὰ τὸν Αἰσχίνην σοφιστικῷ, καίτοι τῆς λέξεως αὐτῷ πολλαχοῦ διῃρμένης. ἐπιμελής γε μὴν οὕτως ὡς μὴ εἶναι προσκορής· γοργὸς δὲ μετρίως ἐστὶ καὶ δεινὸς ὡσαύτως.

Ὁ δ' ἕτερος Ἀντιφῶν, οὗπερ οἱ τῆς ἀληθείας εἰσὶ λεγόμενοι λόγοι, πολιτικὸς μὲν ἥκιστά ἐστι, σεμνὸς δὲ καὶ ὑπέρογκος τοῖς τε ἄλλοις καὶ τῷ δι' ἀποφάνσεων περαίνειν τὸ πᾶν, ὃ δὴ τοῦ ἀξιωματι-

p. 387. διεστηκόσι] διεστηκότων codd.

κοῦ λόγου ἐστὶ καὶ πρὸς μέγεθος ὁρῶντος· ὑψηλὸς δὲ τῇ λέξει καὶ τραχύς, ὥςτε μὴ πόρρω σκληρότητος εἶναι. καὶ περιβάλλει δὲ χωρὶς εὐκρινείας, διὸ καὶ συγχεῖ τὸν λόγον καὶ ἔστιν ἀσαφὴς τὰ πολλά. καὶ ἐπιμελὴς δὲ κατὰ τὴν συνθήκην καὶ ταῖς παρισώσεσι χαίρων· οὐ μὴν ἤθους γέ τι οὐδ' ἀληθινοῦ τύπου μέτεστι τῷ ἀνδρί. φαίην δ' ἂν ὡς οὐδὲ δεινότητος πλὴν τῆς φαινομένης μέν, οὐ μὴν οὔσης γε ὡς ἀληθῶς.

ARGUMENTA ORATIONUM BREVITER DESCRIPTA.

Or. I. Pater eius qui verba facit cum apud amicum quendam Philoneum coenaret, uterque subito morbo correptus est, quo Philoneos statim, alter viginti post diebus periit. Pellex Philonei, quae pocula ministraverat, veneficii damnata et necata est. Sed ipse pater suspicabatur, suae uxoris consilio scelus patratum esse, quae pellici a viro neglectae persuasisset ut potionem illam tanquam amatorium utrique praeberet. Filio igitur, uxoris privigno, mandavit ut mortem suam ulcisceretur. Qui cum adolevisset, patris mandatum exsequitur, noverca *φαρμακείας γραφῇ* apud Areopagum in ius

Hermogenes Antiphonti inter X oratores octavum locum assignat, posthabitis nempe Lycurgo et Andocide. Ordo autem is est, ut eos anteponat qui *πολιτικώτατοι* sint, h. e. maxime perspicue et ad veritatem accommodate ideoque ad persuadendum aptissime loquantur. — Qui tria genera orationis discernunt, grande medium tenue, ei Antiphontem, ut conveniebat, in primo ponunt (Sp. Rh. Gr. III p. 201); ceterum omnino raro apud Graecos, rarius etiam apud Latinos scriptores Antiphontis mentio fit.

vocata; rea defenditur a suo filio, accusatoris fratre germano. Tempus incertum. Ceterum oratio multis in partibus rudior num ab Antiphonte profecta sit iure dubitatur.

Or. II (Tetralogia I). Causa quam sibi finxit orator haec est. Vir quidam a coena rediens noctu una cum servulo interfectus, neque tamen vestimentis spoliatus est. Qui primi advenerunt, servum etiamnum vivum reppererunt: qui interrogatus unum tantum ex interfectoribus se cognovisse dixit, eum qui iam a cognatis interfecti reus factus est. Is cum mortuo cum antea magnas inimicitias gesserat, tum illo ipso tempore sacrilegii gravissima accusatione ab eo petitus erat, quam cum alio nullo modo effugere posset, scelere inimicum sustulisse arguitur. Negat reus et suspicionem in alios potius, latrones maxime, avertere studet. — De tempore tetralogiarum omnia incerta sunt; auctorem earum alium esse atque ceterarum orationum Pahlius contendit: cuius tamen argumenta ad probandum non sufficiunt*).

Or. III (Tetralogia II). Cum adolescentes quidam in gymnasio iaculando certarent, puer qui adstabat ab uno eorum iaculi ictu forte necatus est. Pater pueri adolescentem caedis imprudenter factae apud Palladium accusat. Reus a suo patre defenditur, qui mortis auctorem illum ipsum fuisse contendit qui necatus est, quippe qui percurrere conatus iaculum recte coniectum corpore exceperit.

Or. IV (Tetralogia III). Vir quidam aetate provectior a iuvene male mulcatus ex eis vulneribus aliquot post diebus mortuus est. Iam illius cognati iuvenem homicidii accusant: qui se ita defendit, ut non se mortis auctorem fuisse contendat, sed medicum, qui vulnera perverse curaverit, vel etiam illum ipsum, qui primus pulsaverit eoque omnium eorum

*) Cf. praeterea quae exposuit Spengelius Rh. Mus. N. F. XVII p. 166 sqq.

quae secuta sunt auctor exstiterit. Ceterum post alteram accusatoris orationem reus, sicuti per legem licebat, defensione deserta iudicio se subtrahit: quam excipit pro eo amicorum quidam.

Or. V. Herodes Atheniensis qui Mytilenis post expugnationem urbis a. 427 factam agrum sorte duxerat, cum illinc Aenum navigaret et in agro Methymnaeo in terram escendisset, neque rediit in navem neque usquam postea comparuit. Cognati Mytilenaeum quendam, divitis hominis filium, qui una in navi fuerat, sceleris in Herodem commissi insimulaverunt, freti maxime servi cuiusdam indicio, de quo quaestionem habuerant, quique cum se sceleris adiutorem professus esset, statim ab illis necatus erat. Ceterum Lycino Atheniensi Herodis inimico, qui et ipse Mytilenis habitabat, Mytilenaeum eam operam recepisse arguebant. Itaque Mytilenaeus Athenis ἀπαγωγῇ sive ἐνδείξει reus factus et cum advenisset in carcerem coniectus est, donec apud heliastarum iudicium causam capitis diceret. Reus cum adversariorum argumenta diluere studet tum eo maxime nititur, quod legibus aliud iudicium, Areopagi nempe, talibus causis constitutum sit; itaque hoc certe iudicio, quo tamquam κακοῦργος causam diceret, absolvi se debere. Oratio, quam in praestantissimas Antiphontis veteres rettulerunt, habita esse videtur circa annum 418 a. Chr. n.

Or. VI. Civi Atheniensi haud ignobili cum munus puerorum chori ad Thargelia exercendi instruendique delatum esset, forte accidit ut puerorum unus, Diodotus nomine, e potione vocis causa oblata exspiraret. Frater eius Philocrates choragum apud Areopagum φαρμάκων γραφῇ postulavit, illius consilio (βουλεύσει), quamvis non exitii causa, potionem puero datam arguens. Reus et suas partes in ea re omnino nullas fuisse contendit, et adversarium pecunia a quibusdam quorum ipse nomina detulerat corruptum accusationem suscepisse demonstrat. Habi-

ta esse videtur oratio Sauppio circa ea tempora quae cladem in Sicilia acceptam insecuta sunt; quae tamen opinio, quamvis minime improbabilis, argumentis certioribus non satis munita est. Primam eo anno prytaniam Erechtheidis fuisse constat. — Epilogum autem deesse orationi Maetznerus et Spengelius bene docuerunt.

1.

ΚΑΤΗΓΟΡΙΑ ΦΑΡΜΑΚΕΙΑΣ ΚΑΤΑ ΤΗΣ ΜΗΤΡΥΙΑΣ.

ΥΠΟΘΕΣΙΣ.

p. Steph.

Φιλόνεώς τις, ἔχων παλλακήν τινα, φίλος ἦν τοῦ 111 πατρὸς τοῦ λέγοντος τὸν λόγον. οὗτος καταγνοὺς τῆς παλλακῆς εἰς πορνεῖον στήσειν ἠπείλησεν. ὁ δὲ πατὴρ τοῦ λέγοντος τὸν λόγον τελευτησάσης αὐτῷ τῆς γυναικὸς μητρυιὰν τῷ παιδὶ ἐπεισήγαγε. κοινολογησαμένης δὲ ταύτης τῇ παλλακῇ διὰ τὸ γείτονας εἶναι καὶ διὰ τὸ μηδὲ αὐτὴν πάνυ ἀγαπᾶσθαι ὑπὸ τοῦ ἀνδρός, ἔδοξεν ἀμφοτέραις φαρμάκῳ ἀνελεῖν τοὺς ἄνδρας. κατασκευασάμεναι δὲ ἑορτῆς οὔσης καὶ κοινῇ τῶν ἀνδρῶν σπενδομένων (φίλοι γὰρ ἦσαν) δεδώκασιν ἀμφοτέροις τὸ φάρμακον ἐν πώματι. καὶ ὁ μὲν Φιλόνεως πλέον λαβὼν παραχρῆμα ἀνηρέθη, ὁ δὲ τοῦ λέγοντος τὸν λόγον πατὴρ ἔλαττον λαβὼν εἰς νόσον κατέπεσε, καὶ οὕτω τέθνηκεν ἐξ αὐτῆς. ὁ δὲ παῖς γράφεται τὴν μητρυιὰν φαρμακείας. καὶ ἡ μὲν ὑπόθεσις αὕτη, ἡ στάσις δὲ στοχασμός· σημεῖον δὲ τὸ μὴ θέλειν δοῦναι τοὺς οἰκέτας εἰς βάσανον.

Νέος μὲν καὶ ἄπειρος δικῶν ἔγωγε ἔτι, δεινῶς δὲ καὶ ἀπόρως ἔχει μοι περὶ τοῦ πράγματος, ὦ ἄνδρες, τοῦτο μὲν εἰ ἐπισκήψαντος τοῦ πατρὸς ἐπεξελθεῖν τοῖς αὐτοῦ φονεῦσι μὴ ἐπέξειμι, τοῦτο δὲ εἰ

῾Υπόθ.] διὰ τὸ ante μηδὲ om. N. — πώματι pr. A (Mr.): πόματι N, ἐκπόματι L, ἐκπώματι cett. — ἡ ante στάσις om. N.

1. δικῶν N A M R.: δοκῶν. — ἔχει μοι N (ἔχοι μοι A pr.) et ci. Gesner: ἔχοιμι v. ante Bk.

ἐπεξιόντι ἀναγκαίως ἔχει οἷς ἥκιστα ἐχρῆν ἐν διαφορᾷ
καταστῆναι, ἀδελφοῖς ὁμοπατρίοις καὶ μητρὶ ἀδελφῶν.
2 ἡ γὰρ τύχη καὶ αὐτοὶ οὗτοι ἠνάγκασαν ἐμοὶ πρὸς
τούτους αὐτοὺς τὸν ἀγῶνα καταστῆναι, οὓς εἰκὸς
ἦν τῷ μὲν τεθνεῶτι τιμωροὺς γενέσθαι, τῷ δ' ἐπε-
ξιόντι βοηθούς. νῦν δὲ τούτων τἀναντία γεγένη-
ται· αὐτοὶ γὰρ οὗτοι καθεστᾶσιν ἀντίδικοι καὶ φο-
3 νεῖς, ὡς καὶ ἐγὼ καὶ ἡ γραφὴ λέγει. Δέομαι δ' ὑμῶν,
ὦ ἄνδρες, ἐὰν ἐπιδείξω ἐξ ἐπιβουλῆς καὶ προβουλῆς
τὴν τούτων μητέρα φονέα οὖσαν τοῦ ἡμετέρου πα-
τρός, καὶ μὴ ἅπαξ ἀλλὰ καὶ πολλάκις ἤδη ληφθεῖσαν
τὸν θάνατον τὸν ἐκείνου ἐπ' αὐτοφώρῳ μηχανωμένην,
112 τιμωρῆσαι πρῶτον | μὲν τοῖς νόμοις τοῖς ὑμετέροις,
οὓς παρὰ τῶν θεῶν καὶ τῶν προγόνων διαδεξάμενοι
κατὰ τὸ αὐτὸ ἐκείνοις περὶ τῆς καταψηφίσεως δι-
κάζετε, δεύτερον δ' ἐκείνῳ τῷ τεθνηκότι, καὶ ἅμα
4 ἐμοὶ μόνῳ ἀπολελειμμένῳ βοηθῆσαι. ὑμεῖς γάρ μοι
ἀναγκαῖοι. οὓς γὰρ ἐχρῆν τῷ μὲν τεθνεῶτι τιμωροὺς
γενέσθαι, ἐμοὶ δὲ βοηθούς, οὗτοι τοῦ μὲν τεθνεῶτος
φονεῖς γεγένηνται, ἐμοὶ δ' ἀντίδικοι καθεστᾶσι. πρὸς
τίνας οὖν ἔλθῃ τις βοηθούς, ἢ ποῖ τὴν καταφυγὴν
ποιήσεται ἄλλοθι ἢ πρὸς ὑμᾶς καὶ τὸ δίκαιον;
5 Θαυμάζω δ' ἔγωγε καὶ τοῦ ἀδελφοῦ, ἥντινά ποτε
γνώμην ἔχων ἀντίδικος καθέστηκε πρὸς ἐμέ. καὶ εἰ

2. ἠνάγκασαν ἐμὲ — εἰς ἀγῶνα Hi. Cob.

3. καὶ προβουλῆς add. NAB Bk. — οὖσαν] γενομένην L pr. et v. ante Bk. — καὶ ante πολλάκις om. N, quod probat Fr. — verba περὶ τῆς καταψηφίσεως cum Lehnero del. Mr. — τεθνεῶτι postulant Turr.; it. 4 γ 1 et 5, 10. — ἀπολελειμμένῳ] ἀπειλημμένῳ N.

4. ἔλθῃ N Mr.: ἔλθοι (ἂν ἔλθοι Dobr.). — ἢν ποῖ N.

νομίζει τοῦτο εὐσέβειαν εἶναι, τὸ τὴν μητέρα μὴ
προδοῦναι. ἐγὼ δ' ἡγοῦμαι πολὺ ἀνοσιώτερον εἶναι
ἀφεῖναι τοῦ τεθνεῶτος τὴν τιμωρίαν, ἄλλως τε καὶ
τοῦ μὲν ἐκ προβουλῆς ἀκουσίως ἀποθανόντος, τῆς δὲ
ἑκουσίως ἐκ προνοίας ἀποκτεινάσης. Καὶ οὐ τοῦτό 6
γ' ἐρεῖ ὡς εὖ οἶδεν ὅτι γ' οὐκ ἀπέκτεινεν ἡ μήτηρ
αὐτοῦ τὸν πατέρα τὸν ἡμέτερον. ἐν οἷς μὲν γὰρ
αὐτῷ ἐξουσία ἦν σαφῶς εἰδέναι παρὰ τῆς βασάνου,
οὐκ ἠθέλησεν· ἐν οἷς δ' οὐκ ἦν πυθέσθαι, τοῦτο
αὐτὸ προὐθυμήθη. καίτοι αὐτὸ τοῦτο ἐχρῆν, ὃ καὶ
ἐγὼ προὐκαλούμην, προθυμηθῆναι, ὅπως τὸ πραχθὲν
ᾖ ἀληθές, ἐπεξελθεῖν. μὴ γὰρ ὁμολογούντων τῶν 7
ἀνδραπόδων οὗτός τ' εὖ εἰδὼς ἂν ἀπελογεῖτο καὶ
ἀντέσπευδε πρὸς ἐμέ, καὶ ἡ μήτηρ αὐτοῦ ἀπήλ-
λακτο ἂν ταύτης τῆς αἰτίας. ὅπου δὲ μὴ ἠθέλησε
ποιήσασθαι ἔλεγχον τῶν πεπραγμένων, πῶς περί γ'
ὧν οὐκ ἠθέλησε πυθέσθαι, ἐγχωρεῖ αὐτῷ περὶ τού-
των εἰδέναι; [πῶς οὖν περὶ τούτων, ὦ δικάζοντες,
αὐτὸν εἰκὸς εἰδέναι, ὧν γε τὴν ἀλήθειαν οὐκ εἴληφε;]
τί ποτε ἀπολογήσεσθαι μέλλει μοι; ἐκ μὲν γὰρ τῆς 8
τῶν ἀνδραπόδων βασάνου εὖ ᾔδει ὅτι οὐχ οἷόν τ'
ἦν αὐτῇ σωθῆναι, ἐν δὲ τῷ μὴ βασανισθῆναι ἡγεῖτο
τὴν σωτηρίαν εἶναι· τὰ γὰρ γενόμενα ἐν τούτῳ

5. εὐσέβειαν] εὐσεβεῖν Cob. — προβολῆς pr. A Z. — ἀκουσίως N A Bk.: ἀκουσίας.

6. ὅτι γ' οὐκ] γ' add. N A Fr. — τοῦτο αὐτὸ προυθυμήθην N (τοῦτ' αὐτὸ cett.) — προθυμηθῆναι del. S., qui deinde scribi vult: ὅπως τὸ πραχθὲν ην καὶ τὸ ἀληθές, ἐπεξελθεῖν (h. e. investigare). An ὅπως τὸ πραχθὲν εἰς τὸ ἀληθὲς ἐξελεγχθῇ? cf. Thuc. 3, 64.

7. μὴ γὰρ ὁμολογούντων N Bk.: μὴ ὁμολ. γὰρ Ald., μὲν γὰρ ὁμολ. ABLZ. — ἠθέλησε ποιήσασθαι ἔλεγχον N Mr.: ἠθέλησεν ἔλ. ποιήσ. — vv. πῶς οὖν — εἰδέναι om.

ἀφανισθῆναι ᾠήθησαν. πῶς οὖν εὔορκα ἀντομωμοκὼς ἔσται φάσκων εὖ εἰδέναι, ὃς οὐκ ἠθέλησε σαφῶς πυθέσθαι ἐμοῦ ἐθέλοντος τῇ δικαιοτάτῃ βα-
9 σάνῳ χρήσασθαι περὶ τούτου τοῦ πράγματος; τοῦτο
μὲν γὰρ ἠθέλησα μὲν τὰ τούτων ἀνδράποδα βασανίσαι, ἃ συνῄδει καὶ πρότερον τὴν γυναῖκα ταύτην, μητέρα δὲ τούτων, τῷ πατρὶ τῷ ἡμετέρῳ θάνατον μηχανωμένην φαρμάκοις, καὶ τὸν πατέρα εἰληφότα ἐπ' αὐτοφώρῳ, ταύτην τε οὐκ οὖσαν ἄπαρνον, πλὴν οὐκ ἐπὶ θανάτῳ φάσκουσαν διδόναι ἀλλ' ἐπὶ φίλ-
10 τροις. διὰ οὖν ταῦτα ἐγὼ βάσανον τοιαύτην ἠθέλησα
ποιήσασθαι περὶ αὐτῶν, γράψας ἐν γραμματείῳ ἃ ἐπαιτιῶμαι τὴν γυναῖκα ταύτην. βασανιστὰς δὲ αὐτοὺς τούτους ἐκέλευον γίγνεσθαι ἐμοῦ παρόντος, ἵνα μὴ ἀναγκαζόμενοι ἃ ἐγὼ ἐπερωτῷμι λέγοιεν, ἀλλ' ἐξήρκει μοι τοῖς ἐν τῷ γραμματείῳ χρῆσθαι· καὶ αὐτό μοι τοῦτο τεκμήριον δίκαιόν ἐστιν εἶναι, ὅτι ὀρθῶς καὶ δικαίως μετέρχομαι τὸν φονέα τοῦ πατρός· εἰ δὲ ἄπαρνοι γίγνοιντο ἢ λέγοιεν μὴ ὁμολογούμενα, (ἡ βάσανος) ἀναγκάζοι τὰ γεγονότα κατηγορεῖν· αὕτη γὰρ καὶ τοὺς τὰ ψευδῆ παρεσκευασμένους

N, propter εἰδέναι bis positum. Totam autem sententiam scholion ad eam quae antecedit esse puto, cf. § 12.

8. αὐτὴν N Mr. — εὔορκα . . A. — ἀντομωμοκὸς N. — ὅς (γε) Hi. coll. § 7. 26.

9. ἠθέλησα μὲν S. Turr. Fr. (v. S. Epist. crit. p. 28): ἠθελήσαμεν. — τε post ταύτην add. N Mr. (ταύτην . . A, καὶ ταύτην Ald.).

10. τοι αὐτὴν add. N, τοιαύτην Fr. — ἐπερωτῷμι (R.) firmat N: ἐπερωτῶ μή. — τοῦτο τεκμήριον R. et firmat N: τούτου τεκμ.. — δίκαιον ἔσται codd., ἱκανὸν ἔσται ci. R., δ. ἐστιν εἶναι ci. Mr. — γένοιντο ZM. — ἡ βάσανος add. Turr., ἡ δίκη add. Ald. (vulg. ante Bk.) — ἀναγκάζει codd., em. Steph.

λέγειν τἀληθῆ κατηγορεῖν ποιήσει. καίτοι εὖ οἶδά 11
γ', εἰ οὗτοι πρὸς ἐμὲ ἐλθόντες, ἐπειδὴ τάχιστα αὐτοῖς
ἀπηγγέλθη ὅτι ἐπεξίοιμι τοῦ πατρὸς τὸν φονέα,
ἠθέλησαν τὰ ἀνδράποδα ἃ ἦν αὐτοῖς παραδοῦναι,
ἐγὼ δὲ μὴ ἠθέλησα παραλαβεῖν, αὐτὰ ἂν ταῦτα μέ-
γιστα τεκμήρια παρείχοντο ὡς οὐκ ἔνοχοί εἰσι τῷ
φόνῳ. νῦν δ' ἐγὼ γάρ εἰμι τοῦτο μὲν ὁ θέλων αὐ-
τὸς βασανιστὴς γενέσθαι, τοῦτο δὲ τούτους αὐτοὺς
κελεύων βασανίσαι ἀντ' ἐμοῦ, ἐμοὶ δή που εἰκὸς (τὰ)
αὐτὰ ταῦτα τεκμήρια εἶναι ὡς εἰσὶν ἔνοχοι τῷ φόνῳ.
εἰ γὰρ τούτων θελόντων διδόναι εἰς βάσανον ἐγὼ 12
μὴ ἐδεξάμην, τούτοις ἂν ἦν ταῦτα τεκμήρια. τὸ αὐτὸ
οὖν τοῦτο καὶ ἐμοὶ γενέσθω, εἴπερ ἐμοῦ θέλοντος
ἔλεγχον λαβεῖν τοῦ πράγματος αὐτοὶ μὴ ἠθέλησαν
δοῦναι. δεινὸν δ' ἔμοιγε δοκεῖ εἶναι, εἰ ὑμᾶς μὲν
ζητοῦσι παραιτεῖσθαι ὅπως αὐτῶν μὴ καταψηφίσησθε,
αὐτοὶ δὲ σφίσιν αὐτοῖς οὐκ ἠξίωσαν δικασταὶ γε-
νέσθαι δόντες βασανίσαι τὰ αὑτῶν ἀνδράποδα. Περὶ 13
μὲν οὖν τούτων οὐκ ἄδηλον ὅτι αὐτοὶ ἔφευγον τῶν
πραχθέντων τὴν σαφήνειαν πυθέσθαι· ᾔδεσαν γὰρ
οἰκεῖον σφίσι τὸ κακὸν ἀναφανησόμενον, ὥστε
σιωπώμενον καὶ ἀβασάνιστον αὐτὸ ἐᾶσαι ἐβουλήθη-

11. ἀπηγγέλθη (R.) firmavit N: ἐπηγγέλθη vulg. — παραλαβεῖν, αὐτὰ ἂν ταῦτα Bk. coll. 6, 27: παραλαβεῖν αὐτά, ἐνταῦθ' ἄν. — vv. νῦν δ' ἐγὼ — τῷ φόνῳ add. NABk. — βασανίσαι ἀντ' ἐμοῦ NMr.: ἀντ' ἐμοῦ βασανίσαι. — αὐτὰ ταῦτα NMr.; τὰ ipse addidi e 6, 27: ταῦτα αὐτά.

12. εἰ γὰρ — δοῦναι scholion mihi videtur, cf. ad § 7. — θελόντων NFr.: ἐθελόντων. — ἐγὼ δὲ μὴ ἐδεξάμην codd. plerique; om. δὲ cum Ald. N. — καταψηφίσεσθε NMr. — ζητοῦσιν αἰτεῖσθαι codd. — num (ἀπο)δικασταὶ?

13. τούτων . . . οὐκ A. — σιωπόμενον pr. A. —

113 σαν. ἀλλ' οὐχ ὑμεῖς | γε, ὦ ἄνδρες, ἔγωγ' εὖ οἶδα,
ἀλλὰ σαφὲς ποιήσετε.

Ταῦτα μὲν οὖν μέχρι τούτου· περὶ δὲ τῶν γενο-
μένων πειράσομαι ὑμῖν διηγήσασθαι τὴν ἀλήθειαν·
δίκη δὲ κυβερνήσειεν.

14 Ὑπερῷόν τι ἦν τῆς ἡμετέρας οἰκίας, ὃ εἶχε Φιλό-
νεως ὁπότ' ἐν ἄστει διατρίβοι, ἀνὴρ καλός τε κἀγα-
θὸς καὶ φίλος τῷ ἡμετέρῳ πατρί· καὶ ἦν αὐτῷ παλ-
λακή, ἣν ὁ Φιλόνεως ἐπὶ πορνεῖον ἔμελλε καταστῆ-
σαι. ταύτην οὖν πυθομένη ἡ μήτηρ τοῦ ἀδελφοῦ
15 ἐποιήσατο φίλην. αἰσθομένη δ' ὅτι ἀδικεῖσθαι ἔμελ-
λεν ὑπὸ τοῦ Φιλόνεω, μεταπέμπεται, καὶ ἐπειδὴ
ἦλθεν, ἔλεξεν αὐτῇ ὅτι καὶ αὐτὴ ἀδικοῖτο ὑπὸ τοῦ
πατρὸς τοῦ ἡμετέρου. εἰ οὖν ἐθέλει πείθεσθαι, ἔφη
ἱκανὴ εἶναι ἐκείνῃ τε τὸν Φιλόνεων φίλον ποιῆσαι
καὶ αὑτῇ τὸν ἐμὸν πατέρα, εἶναι φάσκουσα αὑτῆς μὲν
16 τοῦτο εὕρημα, ἐκείνης δ' ὑπηρέτημα. ἠρώτα οὖν
αὐτὴν εἰ ἐθελήσει διακονῆσαί οἱ, καὶ ἣ ὑπέσχετο ὡς
τάχιστα, οἶμαι. μετὰ ταῦτα ἔτυχε τῷ Φιλόνεῳ ἐν
Πειραιεῖ ὄντα ἱερὰ Διὶ Κτησίῳ, ὁ δὲ πατὴρ ὁ ἐμὸς
εἰς Νάξον πλεῖν ἔμελλεν. κάλλιστον οὖν ἐδόκει εἶναι
τῷ Φιλόνεῳ τῆς αὐτῆς ὁδοῦ ἅμα μὲν προπέμψαι εἰς
τὸν Πειραιᾶ τὸν πατέρα τὸν ἐμὸν φίλον ὄντα ἑαυτῷ,
17 ἅμα δὲ θύσαντα τὰ ἱερὰ ἑστιᾶσαι ἐκεῖνον. ἡ οὖν

γε post ὑμεῖς om. N.

14. καταστήσειν ci. R. et iterum Hi. – πυθομένη cum Dobr. del. Mr. Bait.

15. αὐτήν post μεταπέμπεται add. ΓM. — ἐθέλοι (ita Ald.) οἱ πείθεσθαι Hi.

16. ἐθελήσοι N, ἐθέλοι LZMAld. — ἐδόκει εἶναι NMr.: εἶναι ἐδόκει AB, om. εἶναι cett.

παλλακὴ τοῦ Φιλόνεω ἠκολούθει τῆς θυσίας ἕνεκεν.
καὶ ἐπειδὴ ἦσαν ἐν τῷ Πειραιεῖ, οἷον εἰκός, ἔθυεν.
καὶ ἐπειδὴ αὐτῷ ἐτέθυτο τὰ ἱερά, ἐντεῦθεν ἐβουλεύετο
ἡ ἄνθρωπος ὅπως ἂν αὐτοῖς τὸ φάρμακον δοίη, πότερα
πρὸ δείπνου ἢ ἀπὸ δείπνου. ἔδοξεν οὖν αὐτῇ βου-
λευομένῃ βέλτιον εἶναι μετὰ δεῖπνον δοῦναι, τῆς
Κλυταιμνήστρας τῆς τούτου μητρὸς (ταῖς) ὑποθήκαις
ἅμα διακονοῦσα. καὶ τὰ μὲν ἄλλα μακρότερος ἂν 18
εἴη λόγος περὶ τοῦ δείπνου ἐμοί τε διηγήσασθαι ὑμῖν
τ' ἀκοῦσαι· ἀλλὰ πειράσομαι τὰ λοιπὰ ὡς ἐν βραχυ-
τάτοις ὑμῖν διηγήσασθαι, ὡς γεγένηται ἡ δόσις τοῦ
φαρμάκου. ἐπειδὴ γὰρ ἐδεδειπνήκεισαν, οἷον εἰκός,
ὁ μὲν θύων Διὶ Κτησίῳ κἀκεῖνον ὑποδεχόμενος, ὁ
δ' ἐκπλεῖν τε μέλλων καὶ παρ' ἀνδρὶ ἑταίρῳ αὐτοῦ
δειπνῶν, σπονδάς τε ἐποιοῦντο καὶ λιβανωτὸν ὑπὲρ
αὑτῶν ἐπετίθεσαν· ἡ δὲ παλλακὴ τοῦ Φιλόνεω τὴν 19
σπονδὴν ἅμα ἐγχέουσα ἐκείνοις εὐχομένοις ἃ οὐκ
ἔμελλε τελεῖσθαι, ὦ ἄνδρες, ἐνέχει τὸ φάρμακον. καὶ
ἅμα οἰομένη δεξιὸν ποιεῖν πλέον δίδωσι τῷ Φιλόνεῳ,
ὡς, εἰ δοίη πλέον, μᾶλλον φιλησομένη ὑπὸ τοῦ Φιλόνεω·
οὔπω γὰρ ᾔδει ὑπὸ τῆς μητρυιᾶς τῆς ἐμῆς ἐξαπατω-
μένη, πρὶν ἐν τῷ κακῷ ἤδη ἦν· τῷ δὲ πατρὶ τῷ
ἡμετέρῳ ἔλασσον ἐνέχει. καὶ ἐκεῖνοι ἐπειδὴ ἀπέσπει- 20

17. ἕνεκε Apr. — ἔθυεν Orell. Turr.: ἔθυον. — ἔθυτο N. — τῆς Κλυταιμνήστρας τῆς N, τῆς Κλ. ταῖς A pr., ταῖς Κλ. τῆς v. — διακονοῦσαν (hoc et Dobr.) vel —σῃ ci. R.

18. αὐτοῦ post ἑταίρῳ add. NMr.

19. ἐγχέουσα R.: ἐκχέουσα. — δεξιόν (τι) Cob. Hi. — ὡς ci. Bk. Dobr. Fr.: ἴσως. — ὑπὸ τοῦ Φιλόνεω aut delenda aut in ὑπ' αὐτοῦ mutanda censet Hi. — ἐμῆς] ἡμετέρας N. — ἐν (αὐτῷ) τῷ κακῷ Hi. coll. § 29. — ἐνέχεε Cob.

σαν, τὸν ἑαυτῶν φονέα μεταχειριζόμενοι ἐκπίνουσιν ὑστάτην πόσιν. ὁ μὲν οὖν Φιλόνεως εὐθέως παραχρῆμα ἀποθνήσκει, ὁ δὲ πατὴρ ὁ ἡμέτερος εἰς νόσον ἐμπίπτει, ἐξ ἧς καὶ ἀπώλετο εἰκοσταῖος. ἀνθ᾽ ὧν ἡ μὲν διακονήσασα καὶ χειρουργήσασα ἔχει τὰ ἐπίχειρα ὧν ἀξία ἦν, οὐδὲν αἰτία οὖσα (τῷ γὰρ δημοκοίνῳ τροχισθῆναι παρεδόθη), ἡ δ᾽ αἰτία τε ἤδη καὶ ἐνθυμηθεῖσα ἕξει, ἐὰν ὑμεῖς τε καὶ οἱ θεοὶ θέλωσιν.

21 Σκέψασθε οὖν ὅσῳ δικαιότερα ὑμῶν δεήσομαι ἐγὼ ἢ ὁ ἀδελφός. ἐγὼ μέν γε τῷ τεθνεῶτι ὑμᾶς κελεύω καὶ τῷ ἠδικημένῳ τὸν ἀΐδιον χρόνον τιμωροὺς γενέσθαι· οὗτος δὲ τοῦ μὲν τεθνεῶτος πέρι οὐδὲν ὑμᾶς αἰτήσεται, ὃς ἄξιος καὶ ἐλέου καὶ βοηθείας καὶ τιμωρίας παρ᾽ ὑμῶν τυχεῖν, ἀθέως καὶ ἀκλεῶς πρὸ τῆς εἱμαρμένης ὑφ᾽ ὧν ἥκιστα ἐχρῆν τὸν βίον ἐκλι-
22 πών, ὑπὲρ δὲ τῆς ἀποκτεινάσης δεήσεται ἀθέμιτα καὶ ἀνόσια καὶ ἀτέλεστα καὶ ἀνήκουστα καὶ θεοῖς καὶ ὑμῖν, δεόμενος ὑμῶν .... ἃ αὐτὴ ἑαυτὴν οὐκ ἔπεισε μὴ κακοτεχνῆσαι. ὑμεῖς δ᾽ οὐ τῶν ἀποκτεινάντων ἐστὲ βοηθοί, ἀλλὰ τῶν ἐκ προνοίας ἀποθνησκόντων, καὶ ταῦτα ὑφ᾽ ὧν ἥκιστα αὐτοὺς ἐχρῆν ἀποθνήσκειν. ἤδη οὖν ἐν ὑμῖν ἐστὶ τοῦτο ὀρθῶς διαγνῶναι.

20. φονέα .... A. — οὐδὲν αἰτία, quod Steph. coniecerat, N: οὐδ᾽ ἐν αἰτίᾳ A, οὐδ᾽ ἐναντία v. ante R. — τροχισθεῖσα codd.; τροχισθῆναι S.; παραδοθεῖσα ἐτροχίσθη ci. Mr. — καὶ χειρουργήσασα post ἐνθυμηθεῖσα demum exhibent codd.

21. ὑμῶν δεήσομαι NMr.: δεήσομαι ὑμῶν. — μέν γε NMr.: μέντοι cett. cod., μὲν v.

22. ἀθέμιστα pr. A pr. M vulg. ante Bk. (sicut est IV γ 6). — καὶ ἀνόσια add. N Mr. — Post δεόμενος ὑμῶν intercidisse πείθεσθαι susp. Gesner. R., ἀποψηφίσασθαι Dobr. — αὐτοὺς ἐχρῆν NMr.: ἐχρῆν αὐτούς. — ἐν ὑμῖν ἐστὶ τοῦ

ὃ καὶ ποιήσετε. δεήσεται δ' ὑμῶν οὗτος μὲν ὑπὲρ 23
μητρὸς τῆς αὑτοῦ ζώσης, τῆς ἐκεῖνον διαχρησαμένης
ἀβούλως τε καὶ ἀθέως, ὅπως δίκην μὴ δῷ, | ἂν ὑμᾶς 114
πείθῃ, ὧν ἠδίκηκεν· ἐγὼ δ' ὑμᾶς ὑπὲρ πατρὸς τοὐμοῦ
τεθνεῶτος αἰτοῦμαι, ὅπως παντὶ τρόπῳ δῷ. ὑμεῖς
δέ, ὅπως διδῶσι δίκην οἱ ἀδικοῦντες, τούτου γε
ἕνεκα καὶ δικασταὶ ἐγένεσθε καὶ ἐκλήθητε. καὶ ἐγὼ 24
μὲν ἐπεξέρχομαι λέγων, ἵνα δῷ δίκην ὧν ἠδίκηκε
καὶ τιμωρήσω τῷ τε πατρὶ τῷ ἡμετέρῳ καὶ τοῖς νόμοις
τοῖς ὑμετέροις· ταύτῃ καὶ ἄξιόν μοι βοηθῆσαι ὑμᾶς
ἅπαντας, εἰ ἀληθῆ λέγω· οὗτος δὲ τἀναντία, ὅπως
ἡ τοὺς νόμους παριδοῦσα μὴ δῷ δίκην ὧν ἠδίκηκε,
ταύτῃ βοηθὸς καθέστηκε. καίτοι πότερον δικαιότερον 25
τὸν ἐκ προνοίας ἀποκτείναντα δοῦναι δίκην ἢ μή; καὶ
πότερον δικαιότερον οἰκτεῖραι μᾶλλον τὸν τεθνεῶτα ἢ
τὴν ἀποκτείνασαν; ἐγὼ μὲν (γὰρ) οἶμαι τὸν τεθνεῶτα·
καὶ γὰρ δικαιότερον καὶ ὁσιώτερον καὶ πρὸς θεῶν
καὶ πρὸς ἀνθρώπων γίγνοιτο (ἂν) ὑμῖν. ἤδη οὖν
ἐγὼ ἀξιῶ, ὥσπερ κἀκεῖνον ἀνελεημόνως καὶ ἀνοι-
κτίστως αὕτη ἀπώλεσεν, οὕτω καὶ αὐτὴν ταύτην ἀπο-
λέσθαι ὑπό τε ὑμῶν καὶ τοῦ δικαίου. ἡ μὲν γὰρ 26
ἑκουσίως καὶ βουλεύσασα τὸν θάνατον (ἀπέκτεινεν),

N, unde *ἐστὶ τοῦτ'* Fr.: *ἐν ὑμῖν τοῦτό ἐστιν.* — *ποιήσετε* ci. Gesner et iterum R.: *ποιήσατε* N corr. et coni. Bk. Dobr., *ἐποιήσατε* v.

23. *μητρὸς τῆς* N Fr.: *τῆς μητρὸς τῆς* A Bk.; *τῆς μητρὸς.* — Post *διαχρησαμένης* interpungunt Turr. — *ἐγὼ δ'*] *ἐγὼ* N. — *πατρός μου* N, unde *πατρός τοὐμοῦ* Fr.: *τοῦ π. τοῦ* ZM Turr., *τοῦ π. μου* v. — *ὅπως γε δῶσιν* Z. — *τούτου γε*] *τούτου* N Fr. — 24. *ἠδίκησε* et *ταύτη* utrobique N.

25. *καίτοι πότερον* utrobique N. — num *δίκαιον οἰκτεῖραι?* — *ἂν* post *καὶ γὰρ* add. Dobr. Turr. — *ἤδη γ' οὖν* N. — *ταύτην* del. Hi.

26. *ἀπέκτεινεν* add. Mr. (similiter R. Lehner.) coll. § 5. —

ὁ δ' ἀκουσίως καὶ βιαίως ἀπέθανε. πῶς γὰρ οὐ βιαίως ἀπέθανεν, ὦ ἄνδρες, ὅς γ' ἐκπλεῖν ἔμελλεν ἐκ τῆς γῆς τῆσδε, παρά τε ἀνδρὶ φίλῳ αὑτοῦ εἱστιᾶτο; ἡ δὲ πέμψασα τὸ φάρμακον καὶ κελεύσασα ἐκείνῳ δοῦναι πιεῖν ἀπέκτεινεν ἡμῶν τὸν πατέρα. πῶς οὖν ταύτην ἐλεεῖν ἄξιόν ἐστιν ἢ αἰδοῦς τυγχάνειν παρ' ὑμῶν ἢ ἄλλου του; ἥτις αὐτὴ οὐκ ἠξίωσεν ἐλεῆσαι τὸν ἑαυτῆς ἄνδρα, ἀλλ' ἀνοσίως καὶ αἰσχρῶς ἀπώ-
27 λεσεν. οὕτω δέ τοι καὶ (ὑμᾶς) ἐλεεῖν ἐπὶ τοῖς ἀκουσίοις παθήμασι μᾶλλον προσήκει ἢ τοῖς ἑκουσίοις καὶ ἐκ προνοίας ἀδικήμασι καὶ ἁμαρτήμασι. καὶ ὥσπερ ἐκεῖνον αὕτη οὔτε θεοὺς οὔθ' ἥρωας οὔτ' ἀνθρώπους αἰσχυνθεῖσα οὐδὲ δείσασ' ἀπώλεσεν, οὕτω καὶ αὐτὴ ὑφ' ὑμῶν καὶ τοῦ δικαίου ἀπολομένη, καὶ μὴ τυχοῦσα μήτ' αἰδοῦς μήτ' ἐλέου μήτ' αἰσχύνης μηδεμιᾶς παρ' ὑμῶν, τῆς δικαιοτάτης ἂν τύχοι τιμωρίας.

28 Θαυμάζω δὲ ἔγωγε τῆς τόλμης τοῦ ἀδελφοῦ καὶ τῆς διανοίας τὸ διομόσασθαι ὑπὲρ τῆς μητρὸς εὖ εἰδέναι μὴ πεποιηκέναι ταῦτα. πῶς γὰρ ἄν τις εὖ εἰδείη οἷς μὴ παρεγένετο αὐτός; οὐ γὰρ δή που μαρτύρων γ' ἐναντίον οἱ ἐπιβουλεύοντες τοὺς θανάτους τοῖς πέλας μηχανῶνταί τε καὶ παρασκευάζουσιν, ἀλλ' ὡς μάλιστα δύνανται λαθραιότατα καὶ ὡς ἀν-

ὅς (ὥς N) γ' ἐκπλ. NABk.: ὅς γε πλ. — φίλῳ αὑτοῦ (cf. § 18) NMr.: αὑτοῦ φίλῳ. — εἱστιᾶτο NABk.: ἑστιᾶτο. — κελεύουσα N. — ἑαυτῆς N: αὑτῆς.

27. οὕτω δέ τοι] lacunam esse statuunt Schmitt. Linder. K., alius alio modo explere studentes. ego ὑμᾶς addidi. — ἑκουσίως ALZMAld. — αὕτη v. ante Bk., qui e codd. scripsit αὐτή. — οὔτ' ἥρωας N. — αἰσχυνθεῖσα οὐδὲ (οὔτε N) Mr. add. e N. — δείσασ' N: δείσασα. — ἀπολλυμένη pr. A. — τύχῃ AL.

θρώπων μηδένα εἰδέναι· οἱ δ' ἐπιβουλευόμενοι οὐδὲν 29
ἴσασι πρίν γ' ἤδη ἐν αὐτῷ ὦσι τῷ κακῷ καὶ γιγνώ-
σκωσι τὸν ὄλεθρον ἐν ᾧ εἰσί. τότε δέ, ἐὰν μὲν
δύνωνται καὶ φθάνωσι πρὶν ἀποθανεῖν, καὶ φίλους
καὶ ἀναγκαίους τοὺς σφετέρους αὐτῶν καλοῦσι καὶ
μαρτύρονται, καὶ λέγουσιν αὐτοῖς ὑφ' ὧν ἀπόλλυνται,
καὶ ἐπισκήπτουσι τιμωρῆσαι σφίσιν αὐτοῖς ἠδικη-
μένοις· ἃ κἀμοὶ παιδὶ ὄντι ὁ πατήρ, τὴν ἀθλίαν 30
καὶ τελευταίαν νόσον νοσῶν, ἐπέσκηπτεν· ἐὰν δὲ
τούτων ἁμαρτάνωσι, γράμματα γράφουσι, καὶ οἰκέ-
τας τοὺς σφετέρους αὐτῶν ἐπικαλοῦνται μάρτυρας,
καὶ δηλοῦσιν ὑφ' ὧν ἂν ἀπόλωνται. κἀκεῖνος ἐμοὶ
νέῳ ἔτι ὄντι ταῦτα ἐδήλωσε καὶ ἐπέστειλεν, ὦ ἄνδρες,
οὐ τοῖς ἑαυτοῦ δούλοις.

Ἐμοὶ μὲν οὖν δεδιήγηται καὶ βεβοήθηται τῷ (τε) 31
τεθνεῶτι καὶ τῷ νόμῳ· ἐν ὑμῖν δ' ἐστὶ σκοπεῖν τὰ
λοιπὰ πρὸς ὑμᾶς αὐτοὺς καὶ δικάζειν τὰ δίκαια.
οἶμαι δὲ καὶ τοῖς θεοῖς τοῖς κάτω μέλειν οἳ ἠδίκηνται.

29. οὐδέν . . . A, οὐδενὶ Ald. num οὐδέν πω? ἴσασιν A Ald. — γ' ἤδη post πρὶν Mr. e N: γε πρὶν ἐν αὐτῷ ἤδη τ. κ. ZM, γ' ἤδη post κακῷ vulg. — γινώσκουσι N, γινώσκοσι pr. A. — μαρτύρωνται N. — σφίσιν [αὐτοῖς] Bk.

30. . . . . γράμματα A. — ἀπόλωνται v. ante Bk., ἀπόλλυνται ZMBk. Turr. Mr., ἂν ἀπολοῦνται N, ἀπώλοντο S.

31. διήγηται v., δὲ διήγηται N, unde δεδιήγηται Fr. — μέ.λειν A, μέλλειν M Ald.

2.

ΤΕΤΡΑΛΟΓΙΑ Α.

α.

116 | ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΠΑΡΑΣΗΜΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Πανταχοῦ μὲν τὴν οἰκείαν Ἀντιφῶν ἐνδείκνυται δύναμιν, μάλιστα δ' ἐν ταύταις ταῖς τετραλογίαις ἐν αἷς αὐτὸς πρὸς αὑτὸν ἀγωνίζεται· δύο γὰρ ὑπὲρ τοῦ κατηγόρου λόγους εἰπὼν δύο καὶ ὑπὲρ τοῦ φεύγοντος ἐμελέτησεν, ὁμοίως ἐν ἀμφοτέροις εὐδοκιμῶν. ἔοικε μὲν οὖν οὗτος ὁ λόγος τῷ Λυσίου λόγῳ τῷ πρὸς Μικίνην γεγραμμένῳ, ἔχει δ' αὐτῷ τὰ τῆς ὑποθέσεως ὧδε. ἀναχωρῶν τις ἀπὸ δείπνου εὑρέθη σὺν τῷ ἀκολούθῳ συγκεκομμένος. μετὰ τὴν αὐτοῦ τελευτὴν σύγγενής τις αὐτοῦ κατηγορεῖ ἐχθροῦ αὐτοῦ ὡς πεποιηκότος τὸν φόνον· ὁ δ' ἀρνεῖται. ὅθεν στοχασμὸς ἡ στάσις ἀτελής, ἐκ μόνου τοῦ προσώπου συνιστάμενος. Ἡ δὲ τοῦ λόγου διαίρεσις αὕτη. ἐν μὲν τοῖς προοιμίοις κατάστασιν ὁ λόγος οὐκ ἔχει, διὰ τὸ μήπω τὴν ὅλην ἠκριβῶσθαι τέχνην· ἀρχόμενος δὲ τῶν ἀγώνων πρώτῃ ἐχρήσατο ἀναιρέσει αἰτιῶν, δι' ὧν ἀπέδειξεν ὅτι οὐδεὶς αὐτὸν τῶν ὀφειλόντων ὑπονοηθῆναι διέφθειρεν. εἶτα περιίστησι τὸ πρᾶγμα εἰς τὸ δεῖξαι ὅτι ἐξ ἐπιβουλῆς ἀπέθανε, καὶ λοιπὸν ἐμβάλλει εἰς τὴν βούλησιν· τὴν δὲ τῶν ἐλέγχων ἀπαίτησιν λύει τῇ μαρτυρίᾳ τοῦ δούλου. εἶτα παρέκβασις καὶ ἐπίλογος.

Ὁπόσα μὲν τῶν πραγμάτων ὑπὸ τῶν ἐπιτυχόντων ἐπιβουλεύεται, οὐ χαλεπὰ ἐλέγχεσθαί ἐστιν· ἂν

Or. II. α. Ὑπόθεσις] *ἐμελέτησε λόγους* N. — *Λυσίῳ* et *μυκήνην* N. — *δείπνων* N. — *τοῦ* ante *προσώπου* om. N. — *τοῖς* ante *προοιμίοις* om. N. — *δι' ὧν*] *δι' ἧς* ci. Mr. — *βούλησιν* NABBk.: *ποίησιν*. — *παρεκβάσεις* N.

δ' οἱ ἱκανῶς μὲν πεφυκότες, ἔμπειροι δὲ πραγμάτων ὄντες, ἐν δὲ τούτῳ τῆς ἡλικίας καθεστῶτες ἐν ᾧ κράτιστοι φρονεῖν αὑτῶν εἰσί, πράσσωσι, χαλεποὶ καὶ γνωσθῆναι καὶ ἐλεγχθῆναί εἰσι. διὰ γὰρ τὸ 2
μέγεθος τοῦ κινδύνου ἐκ πολλοῦ τὴν ἀσφάλειαν ὧν ἐπιβουλεύουσι σκοποῦντες, οὐ πρότερον ἐπιχειροῦσιν ἢ πάσης ὑποψίας φυλακὴν ποιήσωνται. γιγνώσκοντας οὖν ὑμᾶς χρὴ ταῦτα, κἂν ὁτιοῦν εἰκὸς παραλάβητε, σφόδρα πιστεύειν αὐτῷ. ἡμεῖς δ' οἱ ἐπεξερχόμενοι τὸν φόνον οὐ τὸν αἴτιον ἀφέντες τὸν ἀναίτιον διώκομεν· σαφῶς γὰρ οἴδαμεν ὅτι πάσης τῆς πόλεως 3
μιαινομένης ὑπ' αὐτοῦ, ἕως ἂν διωχθῇ, τό τ' ἀσέβημα ἡμέτερον γίγνεται, τῆς θ' ὑμετέρας ἁμαρτίας ἡ ποινὴ εἰς ἡμᾶς τοὺς μὴ δικαίως διώκοντας ἀναχωρεῖ. ἅπαντος δὲ τοῦ μιάσματος ἀναχωροῦντος εἰς ἡμᾶς, ὡς ἂν δυνώμεθα σαφέστατα ἐξ ὧν γιγνώσκομεν πειρασόμεθα ὑμῖν δηλοῦν ὡς ἀπέκτεινε τὸν ἄνδρα.

Οὔτε γὰρ κακούργους εἰκὸς ἀποκτεῖναι τοὺς ἀν- 4
θρώπους· ἔχοντες γὰρ τὰ ἱμάτια εὑρέθησαν· οὐδεὶς

1. οἱ ante ἱκανῶς om. LZM vulg. ante Bk.; οἱ καλῶς Hi. — πραγμάτων N: τῶν πραγμάτων. — αὐτοὶ αὑτῶν Hi., sed cf. 5, 7. — εἰσί, πράττωσι AB (Bk.), εἰσί, πράττουσι N, εἰσπράττωσι LZM, εἰς τὰ πράγματ' ὦσι Ald. — γνωσθῆναι N et v. ante Bk.: διαγνωσθῆναι. — ἐλεγχθῆναι K.: δειχθῆναι.

2. ποιήσονται N. — παραλάβητε N et edit. omnes: παραλάβοιτε.

3. οἴδαμεν] ἴσμεν ZM. — ἡμέτερον] ὑμέτερον A pr. — ἅπαντος δὴ K. — ὡς NR. e coni. Stephani: ἕως.

4. οὔτε γὰρ — ἄνθρωπον in sola Aldina, ἔχοντες — εὑρέθησαν praeterea in AN exstant; sed ubique post ἀφῆκεν demum haec inferuntur (transp. Bk.). V. praef. — τὸν ἄνθρωπον (ita v.) iure K. suspectum habet, cum ab accusatore semper ὁ ἀνὴρ dicatur. — ἔχοντες γὰρ ἂν codd. — num οὐδεὶς

γὰρ ἂν τὸν ἔσχατον κίνδυνον περὶ τῆς ψυχῆς κινδυνεύων ἑτοίμην καὶ κατειργασμένην τὴν ὠφέλειαν ἀφῆκεν. οὐ μὴν οὐδὲ παροινήσας οὐδεὶς διέφθειρεν αὐτόν· ἐγιγνώσκετο γὰρ ἂν ὑπὸ τῶν συμποτῶν. οὐδὲ μὴν οὐδ' ἐκ λοιδορίας· οὐ γὰρ (ἂν) ἀωρὶ τῶν νυκτῶν οὐδ' ἐν ἐρημίᾳ ἐλοιδοροῦντο. οὐδὲ μὴν ἄλλου στοχαζόμενος ἔτυχε τούτου· οὐ γὰρ ἂν σὺν τῷ ἀκο-
5 λούθῳ διέφθειρεν αὐτόν. ἀπολυομένης δὲ τῆς ὑποψίας ἁπάσης αὐτὸς ὁ θάνατος ἐξ ἐπιβουλῆς ἀποθανόντα μηνύει αὐτόν. Ἐπιθέσθαι δὲ τίνα μᾶλλον εἰκός ἐστιν ἢ τὸν μεγάλα μὲν κακὰ προπεπονθότα, ἔτι δὲ μείζονα ἐπίδοξον ὄντα πάσχειν; ἔστι δ' ὁ διωκόμενος οὗτος· ἐκ παλαιοῦ γὰρ ἐχθρὸς ὢν αὐτοῦ πολλὰς μὲν
6 καὶ μεγάλας γραφὰς διώξας οὐδεμίαν εἷλεν, ἔτι δὲ μείζους καὶ πλείους διωχθεὶς οὐδεπώποτ' ἀποφυγὼν ἱκανὸν μέρος τῶν ὄντων ἀποβέβληκε, τὰ δ' ἄγχιστα ἱερῶν κλοπῆς δυοῖν ταλάντοιν γεγραμμένος ὑπ' αὐτοῦ, συνειδὼς μὲν αὑτῷ τὸ ἀδίκημα, ἔμπειρος δ' ὢν τῆς τούτου δυνάμεως, μνησικακῶν δὲ τῶν ἔμπροσθεν, εἰκότως μὲν ἐπεβούλευσεν, εἰκότως δ' ἀμυνό-
7 μενος τὴν ἔχθραν ἀπέκτεινε τὸν ἄνδρα. ἥ τε γὰρ ἐπιθυμία τῆς τιμωρίας ἀμνήμονα τῶν κινδύνων καθίστη αὐτόν, ὅ τε φόβος τῶν ἐπιφερομένων κακῶν ἐκπλήσσων θερμότερον ἐπιχειρεῖν ἐπῆρεν. ἤλπιζέ τε τάδε μὲν δράσας καὶ λήσειν ἀποκτείνας αὐτὸν καὶ

γὰρ ἂν (μὴ μαινόμενος)? cf. β, 5. — ἂν add. Turr.

5. πάσχειν abesse malit Bait., παθεῖν Valcken.

6. οὔ πω ποτ' N. — εἰκότως μὲν (ὑπὲρ ἑαυτοῦ φοβούμενος) ci. R.; contra ἀμυν. τ. ἔ. del. vult Sp.

7. καθίστη e coniect. Reiskii Bk.: καθίστησεν N, καθίστησιν v. (κατέστησεν Fr.). — ἐπῆρε N. — ἤλπιζε δὲ malit S.

ἀποφεύξεσθαι τὴν γραφήν· οὐδὲ γὰρ ἐπεξιέναι οὐ-
δένα, | ἀλλ' ἐρήμην αὐτὴν ἔσεσθαι· εἴ τε καὶ ἁλοίη, 8
τιμωρησαμένῳ κάλλιον ἔδοξεν αὐτῷ ταῦτα πάσχειν, 117
ἢ ἀνάνδρως μηδὲν ἀντιδράσαντα ὑπὸ τῆς γραφῆς
διαφθαρῆναι. σαφῶς δ' ᾔδει ἁλωσόμενος αὐτήν· οὐ
γὰρ ἂν τόνδε τὸν ἀγῶνα ἐνόμισεν ἀσφαλέστερον
εἶναι.

Τὰ μὲν βιασάμενα ταῦτά ἐστιν ἀσεβῆσαι αὐτόν. 9
μάρτυρες δ' εἰ μὲν πολλοὶ παρεγένοντο, πολλοὺς ἂν
παρεσχόμεθα· ἑνὸς δὲ τοῦ ἀκολούθου παραγενομέ-
νου, οἳ τούτου ἤκουον μαρτυρήσουσιν. ἔμπνους γὰρ
ἔτι ἀρθείς, ἀνακρινόμενος ὑφ' ἡμῶν, τοῦτον μόνον
ἔφη γνῶναι τῶν παιόντων αὐτούς. Ἐξελεγχόμενος
δ' ὑπό τε τῶν εἰκότων ὑπό τε τῶν παραγενομένων,
οὐδενὶ τρόπῳ οὔτε δικαίως οὔτε συμφερόντως ἀπο-
λύοιτ' ἂν ὑφ' ὑμῶν. οἵ τε γὰρ ἐπιβουλεύοντες ἀνεξ- 10
έλεγκτοι ἂν εἴησαν, εἰ μήτε ὑπὸ τῶν παραγενομέ-
νων μήτε ὑπὸ τῶν εἰκότων ἐξελέγχονται· ἀσύμφο-
ρόν θ' ὑμῖν ἐστὶ τόνδε μιαρὸν καὶ ἄναγνον ὄντα
εἴς (τε) τὰ τεμένη τῶν θεῶν εἰσιόντα μιαίνειν τὴν
ἁγνείαν αὐτῶν, ἐπί τε τὰς αὐτὰς τραπέζας ἰόντα
συγκαταπιμπλάναι τοὺς ἀναιτίους· ἐκ γὰρ τούτων
αἵ τ' ἀφορίαι γίγνονται δυστυχεῖς θ' αἱ πράξεις

οὐδὲ ci. R: οὔτε. — ἐρήμην NAB Bk.: ἔρημον.
8. εἰ δὲ ci. R. — σαφῶς δ' ᾔδει] ft. μὴ ἀποκτείνας δὲ σαφῶς ᾔδει.
9. μάρτυρας Scaliger. — παρειχόμ. ZM, παρευχόμεθα BL. — ἡμῶν] ὑμῶν N. — γνῶναι τῶν παρόντων NMr.: τῶν παρόντων γνῶναι. παιόντων ci. Bk. coll. δ 4. τ. παρ. αὐτούς Mr. — ἐλεγχόμενος N.
10. μήτε ὑπὸ N: μήθ' ὑπὸ. — ἐξελέγχωνται AB; hoc vel ἐξελέγχοιντο ci. R. — ἀσύμφορόν ὑμῖν A. — συναναπιμπλάναι ci. Dobr.

11 καθίστανται. οἰκείαν οὖν χρὴ τὴν τιμωρίαν ἡγησαμένους, αὐτῷ τούτῳ τὰ τούτου ἀσεβήματα ἀναθέντας, ἰδίαν μὲν τὴν συμφοράν, καθαρὰν δὲ τὴν πόλιν καταστῆσαι.

β.

ΑΠΟΛΟΓΙΑ ΕΙΣ ΤΟ ΑΥΤΟ ΠΡΑΓΜΑ.

ΥΠΟΘΕΣΙΣ.

Ὁμολογεῖ μὲν τὴν πρώτην ἔχθραν τὴν πρὸς τὸν τεθνηκότα ὁ ἀπολογούμενος, ἀρνεῖται δὲ τὸν φόνον, καὶ τεκμήριον τοῦ μὴ πεφονευκέναι ποιεῖται τὴν ἔχθραν. λέγει γὰρ ὅτι ἐχθρὸς ὢν ᾔδειν πάντως τὴν αἰτίαν κατ᾽ ἐμαυτοῦ ἥξουσαν· διὰ τοῦτο (οὖν) οὐκ ἂν ἐφόνευον. διαβάλλει δὲ καὶ τὴν μαρτυρίαν τοῦ οἰκέτου, ὡς ἐκ παρασκευῆς γεγονυῖαν τῶν δεσποτῶν. οὐκ ἀπίθανον δέ φησι κακούργους ἀνελόντας αὐτὸν ἀποδῦσαι τὰ ἱμάτια μὴ φθάσαι.

1 Οὔ μοι δοκῶ ἁμαρτάνειν ἀτυχέστατον ἐμαυτὸν
ἡγούμενος εἶναι τῶν πάντων ἀνθρώπων. τῶν μὲν
γὰρ ἄλλων οἱ δυστυχοῦντες, ὁπόταν μὲν ὑπὸ χει-
μῶνος πονῶσιν, εὐδίας γενομένης παύονται· ὅταν
δὲ νοσήσωσιν, ὑγιεῖς γενόμενοι σώζονται· ἐάν τέ
τις ἄλλη συμφορὰ καταλαμβάνῃ αὐτούς, τὰ ἐναντία
2 ἐπιγιγνόμενα ὀνίνησιν. ἐμοὶ δὲ ζῶν τε ἅνθρωπος
ἀνατροπεὺς τοῦ οἴκου ἐγένετο, ἀποθανών τε, κἂν
ἀποφύγω, ἱκανὰς λύπας καὶ φροντίδας προσβέβλη-
κεν. εἰς τοῦτο γὰρ βαρυδαιμονίας ἥκω, ὥστε οὐκ

β. 1. ἐάν τε N: ἐαν δὲ. — ἐπιγινόμενα NABBk.: ἐπιγενόμενα.
2. ἅνθρωπος Turr.: ἄνθρωπος. — προσβέβληκεν S. coll. 3 β 4; 4 β 4. 8: προβέβληκεν N, ἐμβέβληκεν v.

ἀρκοῦν μοί ἐστιν ἐμαυτὸν ὅσιον καὶ δίκαιον παρέχοντα μὴ διαφθαρῆναι, ἀλλὰ κἂν μὴ τὸν ἀποκτείναντα εὑρὼν ἐξελέγξω, ὃν οἱ τιμωροῦντες αὐτῷ ἀδύνατοι εὑρεῖν εἰσίν, αὐτὸς καταδοχθεὶς φονεὺς εἶναι ἀνοσίως ἁλώσομαι. καὶ ἐμὲ ὡς δεινὸν μὲν παγχάλεπόν φασιν ἐλέγχεσθαι εἶναι, ὡς δ' ἠλίθιον ἐξ αὐτῶν 3
ὧν ἔπραξα φανερὸν εἶναι ἐργασάμενον τὸ ἔργον. εἰ γὰρ νῦν διὰ τῆς ἔχθρας τὸ μέγεθος εἰκότως ὑφ' ὑμῶν καταδοκοῦμαι, πρὶν ἐργάσασθαι εἰκότερον ἦν προειδότα τὴν νῦν ὑποψίαν εἰς ἐμὲ ἰοῦσαν, καὶ τῶν ἄλλων εἴ τινα ἔγνων ἐπιβουλεύοντα αὐτῷ, διακωλύειν μᾶλλον ἢ αὐτὸν ἐργασάμενον εἰς ἑκουσίους καὶ προδήλους ὑποψίας ἐμπεσεῖν· ἔκ τε γὰρ αὐτοῦ τοῦ ἔργου φανερὸς γενόμενος ἀπωλλύμην, λαθών τε σαφῶς ᾔδειν τήνδε τὴν ὑποψίαν εἰς ἐμὲ ἰοῦσαν. ἄθλια μὲν 4
οὖν πάσχω μὴ ἀπολογεῖσθαι μόνον βιαζόμενος, ἀλλὰ καὶ τοὺς ἀποκτείναντας φανεροὺς καταστῆσαι· ὅμως δὲ καὶ τοῦτο ἐπιχειρητέον· οὐδὲν γὰρ πικρότερον τῆς ἀνάγκης ἔοικεν εἶναι. ἔχω δὲ οὐδαμῶς ἄλλως ἐλέγχειν ἢ ἐξ ὧν τοὺς ἄλλους ὁ κατήγορος ἀπολύων αὐτὸν τὸν θάνατόν φησι μηνύειν ἐμὲ τὸν φονέα ὄντα. εἰ γὰρ τούτων ἀναιτίων δοκούντων εἶναι ἐν ἐμοὶ τἀδίκημα φανεῖται, τούτων ὑπόπτων ὄντων ἐγὼ δικαίως (ἂν) καθαρὸς δοκοίην εἶναι.

καταδοχθεὶς NAB Bk.: καταδοκηθεὶς.

3. ὡς δεινὸν post μὲν iterat A pr. — προειδότα K. Br.: τὸν εἰδ. codd., τοι εἰδότα ci. id. K. — τὴν νῦν ὑποψίαν N: τὴν ὑπ. τὴν νῦν. — ἰοῦσαν ci. R. (Turr.): οὖσαν v. sicut infra et § 6. — ἀπωλύμην N.

4. πικρότερον variis modis tentat Dobr. — ἐγὼ δικαίως N: ἐγὼ δ' εἰκότως ALM, ἐγώδ' εἰκ. B, ἔγωγ' εἰκ. Z Ald., ἐγὼ ἂν εἰκ. Bk. Turr.

5 Ἔστι | δὲ οὐκ ἀπεικός, ὡς οὗτοί φασιν, ἀλλὰ
117 εἰκὸς ἀωρὶ τῶν νυκτῶν πλανώμενον ἐπὶ τοῖς ἱματίοις
διαφθαρῆναι. τὸ μὲν γὰρ μὴ ἐκδυθῆναι οὐδὲν ση-
μεῖόν ἐστιν· εἰ γὰρ μὴ ἔφθησαν περιδύσαντες αὐτόν,
ἀλλά τινας προσιόντας φοβηθέντες ἀπέλιπον, ἐσω-
φρόνουν καὶ οὐκ ἐμαίνοντο τὴν σωτηρίαν τοῦ κέρ-
6 δους προτιμῶντες. Εἰ δὲ καὶ μὴ ἐπὶ τοῖς ἱματίοις
διεφθάρη, ἀλλ' ἑτέρους ἰδὼν ἄλλο τι κακὸν ποιοῦν-
τας, ἵνα μὴ μηνυτὴς τοῦ ἀδικήματος γένηται, ἀπέ-
θανεν ὑπ' αὐτῶν, τίς οἶδε; Τοὺς δὲ μὴ πολὺ ἧσσον
ἐμοῦ μισοῦντας αὐτόν — ἦσαν δὲ πολλοί — πῶς οὐκ
εἰκὸς ἦν ἐμοῦ μᾶλλον διαφθεῖραι αὐτόν; ἐκείνοις
μὲν γὰρ φανερὰ ἦν ἡ ὑποψία εἰς ἐμὲ ἰοῦσα, ἐγὼ δὲ
7 ὑπὲρ ἐκείνων ὑπαίτιος ἐσόμενος σαφῶς ᾔδειν. Τοῦ
δὲ ἀκολούθου ἡ μαρτυρία πῶς ἀξία πιστεύεσθαί
ἐστιν; ὑπό τε γὰρ τοῦ κινδύνου ἐκπεπληγμένον αὐ-
τὸν οὐκ εἰκὸς ἦν τοὺς ἀποκτείναντας γνῶναι, ὑπό
τε τῶν κυρίων ἀναγιγνωσκόμενον ἐπινεῦσαι ἦν εἰκός.
ἀπιστουμένων δὲ καὶ τῶν ἄλλων δούλων ἐν ταῖς
μαρτυρίαις — οὐ γὰρ ἂν ἐβασανίζομεν αὐτούς — πῶς
δίκαιον τούτῳ μαρτυροῦντι πιστεύσαντας διαφθεῖ-
8 ραί με; Εἰ δέ τις τὰ εἰκότα ἀληθέσιν ἴσα ἡγεῖται
καταμαρτυρῆσαί μου, ταῦτ' ἀντιλογισάσθω. ὅτι με

5. τὸ μὲν γὰρ] μὲν om. N.

6. εἰ δὲ καὶ μὴ ci. R., prob. K.: εἰ δὲ μὴ καί. — ἕτερον ἰδὼν ἄλλους K. coll. γ 2. — ἦσαν δὲ] δὲ a corr. habet A. — εἰκὸς ἦν ἂν N, εἰκὸς ἂν ἦν A corr. et B. εἰκ. ἦν ἀντ' ἐμοῦ W.

7. cf. Harp.: ἀναγινωσκόμενος ἀντὶ τοῦ ἀναπειθόμενος Ἀντιφῶν, Ἰσαῖος, Ἡρόδοτος ἐν πρώτῃ. — ἂν add. N A Bk. Dobs.

8. ταῦτ' Mr.: ταὐτὸν αὐτὸν ZM, ταὐτὸν v. τοῦτό γ' vel ταῦτά γ' iam R. ci.

εἰκότερον ἦν τὴν ἀσφάλειαν τῆς ἐπιβουλῆς τηροῦντα
φυλάξασθαι καὶ μὴ παραγενέσθαι τῷ ἔργῳ μᾶλλον
ἢ τοῦτον σφαττόμενον ὀρθῶς γνῶναι. Ὡς δὲ τόνδε 9
τὸν κίνδυνον οὐκ ἀσφαλέστερον τοῦ ἀπὸ τῆς γραφῆς
ἡγούμην εἶναι, ἀλλὰ πολλαπλάσιον, εἰ μὴ παρεφρό-
νουν, διδάξω. ἁλοὺς μὲν γὰρ τὴν γραφὴν τῆς μὲν
οὐσίας ᾔδειν ἐκστησόμενος, τοῦ δὲ σώματος καὶ τῆς
πόλεως οὐκ ἐστερούμην, περιγενόμενος δὲ [καὶ λη-
φθείς], κἂν ἔρανον παρὰ τῶν φίλων συλλέξας, οὐκ
ἂν εἰς τὰ ἔσχατα κακὰ ἦλθον· ἐὰν δὲ νῦν καταληφ-
θεὶς ἀποθάνω, ἀνόσια ὀνείδη τοῖς παισὶν ὑπολείψω,
ἢ φυγὼν γέρων καὶ ἄπολις ὢν ἐπὶ ξενίας πτωχεύσω.
Οὕτω μὲν ἃ κατηγόρηταί μου, πάντα ἄπιστά 10
ἐστιν· ἀπολύεσθαι δὲ ὑφ᾽ ὑμῶν, εἰ καὶ εἰκότως μὲν
ὄντως δὲ μὴ ἀπέκτεινα τὸν ἄνδρα, πολὺ μᾶλλον (ἢ
καταλαμβάνεσθαι) δίκαιός εἰμι. ἐγώ τε γὰρ φανερὸν
ὅτι μεγάλα ἀδικούμενος ἠμυνόμην· οὐ γὰρ ἂν εἰκό-
τως ἐδόκουν ἀποκτεῖναι αὐτόν· τούς τε ἀποκτείναν-
τας καὶ οὐ τοὺς αἰτίαν ἔχοντας ἀποκτεῖναι ὀρθῶς
ἂν καταλαμβάνοιτε. Ἐκ δὲ παντὸς τρόπου ἀπολυό- 11
μενος τῆς αἰτίας ἔγωγε οὔτε εἰς τὰ τεμένη εἰσιὼν τὴν
ἁγνείαν τῶν θεῶν μιανῶ, οὔτε ὑμᾶς πείθων ἀπο-

9. τόνδε Dobr. coll. α 8; γ 6 (Turr. Mr.): οὐδὲ (οὐδὲ τὸν κ. τοῦτον ἀσφ. ci. R.) — εἰ μὴ] εἰ μὲν BLZM (et A pr.?). — τῆς δὲ πόλ. καὶ τοῦ σώμ. vulg.; quam dedi cod. N lectionem prob. Fr. — ἀπεστερούμην N. — καὶ ληφθείς cum Dobr. del. K.: καὶ λειφθείς Taylor. et Gesner. (Turr.); καταληφθείς (καὶ καταλ. „etiamsi“ Dobr.) Mr. — καταληφθεὶς] καταλειφθεὶς pr. A. — ἐπὶ ξένης ci. R. et Meier; vulg. defendit Mr.

10. ἠμυνόμην K.: ἠμυνάμην. — εἰκότως ἐδόκουν N Mr.: ἐδ. εἰκ. — vv. αὐτόν — ὀρθῶς soli AN exhibent, nisi quod ὀρθῶς in B quoque exstat. — καταλαμβάνοιτε N (Bk. Turr. Mr.): καταλαμβάνητε AB, καταλαμβάνηται cett.

λῦσαί με ἀνόσια πράσσω. οἱ δὲ διώκοντες μὲν ἐμὲ
τὸν ἀναίτιον τὸν δ' αἴτιον ἀφιέντες τῆς τε ἀφορίας
αἴτιοι γίγνονται, ὑμᾶς τε ἀσεβεῖς εἰς τοὺς θεοὺς πεί-
θοντες καταστῆναι πάντων ὧν ἐμὲ ἄξιόν φασι παθεῖν
12 εἶναι (αὐτοὶ) δίκαιοί εἰσι τυγχάνειν. Τούτους μὲν
οὖν τούτων ἀξίους ὄντας ἀπίστους ἡγεῖσθε· ἐμὲ δὲ
ἐκ τῶν προειργασμένων γνώσεσθε οὔτε ἐπιβουλεύοντα
οὔτε τῶν οὐ προσηκόντων ὀρεγόμενον, ἀλλὰ τὰ ἐναν-
τία τούτων πολλὰς μὲν καὶ μεγάλας εἰσφορὰς εἰσφέ-
ροντα, πολλὰ δὲ τριηραρχοῦντα, λαμπρῶς δὲ χορη-
γοῦντα, πολλοῖς δὲ ἐρανίζοντα, μεγάλας δὲ ὑπὲρ
πολλῶν ἐγγύας ἀποτίνοντα, τήν τε οὐσίαν οὐ δικα-
ζόμενον ἀλλ' ἐργαζόμενον κεκτημένον, φιλοθύτην δὲ
καὶ νόμιμον ὄντα. τοιούτου δὲ ὄντος μου μηδὲν ἀνό-
13 σιον μηδ' αἰσχρὸν καταγνῶτε. εἰ δὲ ὑπὸ ζῶντος ἐδιω-
κόμην, οὐκ ἂν μόνον ὑπὲρ ἐμαυτοῦ ἀπελογούμην,
ἀλλ' αὐτόν τε τοῦτον καὶ τοὺς τούτῳ μὲν βοηθοῦν-
τας, παρ' ἐμοῦ δὲ ὠφελεῖσθαι ζητοῦντας ἐφ' οἷς
κατηγορεῖταί μου, ἀπέδειξα ἂν ..... ἀδικοῦντας. ταῦτα
μὲν οὖν ἐπιεικέστερον ἢ δικαιότερον παρήσω· δέομαι
δ' ὑμῶν, ὦ ἄνδρες τῶν μεγίστων κριταὶ καὶ κύ-
ριοι, ἐλεήσαντας τὴν ἀτυχίαν μου ἰατροὺς γενέσθαι
αὐτῆς, καὶ μὴ συνεπιβάντας τῇ τούτων ἐπιθέσει

11. ὑμᾶς τε ἀσεβεῖς τε N (ἀσεβ. τὸ εἰς κτἑ. W.). — αὐτοὶ add. Hi.

12. ἔκ τε τῶν NAB (Dobs. Mr.); ἔκ γε τῶν Fr. An ἔκ τε τῶν (εἰρημένων ἔκ τε τῶν)? similiter etiam Sp. — πολλὰ] πολλάκις mal. Bk. — πολλοῖς Heraldus (Turr. Mr.): πολλοὺς. πολλοὺς δὲ ἐράνους ἐρανίζοντα Scheib. — καὶ κεκτημ. A pr.

13. κατηγορεῖτέ μου ABLM (Mr.), κατηγορεῖταί τέ μου N; κατηγόρει μου Sp., κατηγόρει κατ' ἐμοῦ W. — ante ἀδικοῦντας intercidisse quaedam suspicor (πολλὰ καὶ μεγάλα?).

περιιδεῖν με ἀδίκως καὶ ἀθέως διαφθαρέντα ὑπ' αὐτῶν.

γ.

118 | ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Τὰ εἰρημένα ὑπὸ τοῦ κατηγορουμένου λύει ἐνταῦθα, ὡς οὔτε ἄπιστος ἡ μαρτυρία τοῦ οἰκέτου, οὔτε ἀπίθανον πλούσιον ὄντα καὶ ἔνδοξον ποιῆσαι τὸν φόνον, διακινδυνεύειν μέλλοντα ὑπ' αὐτοῦ τὴν οὐσίαν ἀπολέσαι. τὰς προτάσεις δὲ λύει κατὰ περιτροπήν· ἐκείνου γὰρ εἰπόντος ὅτι ἀτυχής εἰμι, περιτρέπει λέγων ὅτι ἡ ἀτυχία παρ' αὐτοῦ ἀδικεῖται.

Ἥ τε ἀτυχία ἀδικεῖται ὑπ' αὐτοῦ, ἣν προϊστάμενος τῆς κακουργίας ἀφανίσαι τὴν αὑτοῦ μιαρίαν ζητεῖ· ὑπό τε ὑμῶν οὐκ ἄξιος ἐλεεῖσθαί ἐστιν, ἀκούσιον μὲν τῷ παθόντι περιθεὶς τὴν συμφοράν, ἑκουσίως δὲ αὐτὸς εἰς τοὺς κινδύνους καταστάς. ὡς μὲν οὖν ἀπέκτεινε τὸν ἄνδρα, ἐν τῷ προτέρῳ λόγῳ ἀπεδείξαμεν· ὡς δὲ οὐκ ὀρθῶς ἀπελογήθη, νῦν πειρασόμεθα ἐλέγχοντες.

Εἴτε γὰρ προσιόντας τινὰς προϊδόντες οἱ ἀπο- 2
κτείναντες αὐτοὺς ἀπολιπόντες ᾤχοντο φεύγοντες πρότερον ἢ ἀπέδυσαν, οἱ ἐντυχόντες ἂν αὐτοῖς, εἰ καὶ τὸν δεσπότην τεθνεῶτα εὗρον, τόν γε θεράποντα, ὃς ἔμπνους ἀρθεὶς ἐμαρτύρει, ἔτι ἔμφρονα εὑρόντες,

— *περιιδεῖν με* Mr. e N: *με* post *διαφθαρέντα* demum v.
γ. *Ὑπόθ.*] *πλούσιον ὄντα* NAB Bk.: *ὄντα* LZM, *ὃν ἀλλὰ* Ald.
1. Poll. II, 119: *Ἀντιφῶν δὲ καὶ ἀπελογήθη.*
2. *προϊδόντες* N Mr.: *ἰδόντες.* — nonne *ἀποδῦσαι?* — *αὐτοῖς* ex coni. R. Turr.: *αὐτῷ.* —

σαφῶς ἀνακρίναντες τοὺς ἐργασαμένους ἤγγειλαν ἂν
ἡμῖν, καὶ οὐχ οὗτος ἂν τὴν αἰτίαν εἶχεν· εἴτε ἄλλοι
τινὲς ἕτερόν τι τοιοῦτον κακουργοῦντες ὀφθέντες
ὑπ' αὐτῶν, ἵνα μὴ γνωσθῶσι διέφθειραν αὐτούς,
ἅμα τῷ τούτων φόνῳ τὸ κακούργημα ἂν ἐκηρύσσετο
3 καὶ εἰς τούτους ἂν ἡ ὑποψία ἧκεν. οἵ τε ἧσσον κινδυ-
νεύοντες τῶν μᾶλλον ἐν φόβῳ ὄντων οὐκ οἶδ' ὅπως
ἂν μᾶλλον ἐπεβούλευσαν αὐτῷ· τοὺς μὲν γὰρ ὅ τε
φόβος ἥ τε ἀδικία (οὐχ) ἱκανὴ ἦν παῦσαι τῆς προ-
θυμίας, τοῖς δὲ ὅ τε κίνδυνος ἥ τε αἰσχύνη μείζων
οὖσα τῆς διαφορᾶς, εἰ καὶ διενοήθησαν ταῦτα πρᾶ-
ξαι, ἀρκοῦσα ἦν σωφρονίσαι τὸ θυμούμενον τῆς
4 γνώμης. Οὐκ ὀρθῶς δὲ τὴν τοῦ ἀκολούθου μαρτυ-
ρίαν ἄπιστον λέγουσιν εἶναι. οὐ γὰρ ἐπὶ ταῖς τοιαύ-
ταις μαρτυρίαις βασανίζονται, ἀλλ' ἐλεύθεροι ἀφίεν-
ται· ὁπόταν δὲ ἢ κλέψαντες ἀπαρνῶνται ἢ συγκρύ-
πτωσι τοῖς δεσπόταις, τότε βασανίζοντες ἀξιοῦμεν
5 τἀληθῆ λέγειν αὐτούς. Οὐδὲ μὴν ἀπογενέσθαι ἢ πα-
ραγενέσθαι εἰκότερον αὐτόν ἐστιν. εἰ γὰρ ἀπεγένετο,
τὸν μὲν κίνδυνον τὸν αὐτὸν ἔμελλε καὶ παρὼν κιν-
δυνεύειν, πᾶς γὰρ ἂν αὐτῶν ὁ ληφθεὶς τοῦτον ἂν
τὸν ἐπιβουλεύσαντα ἤλεγχεν ὄντα, τὸ δ' ἔργον ἧσσον
πράσσειν· οὐδεὶς γὰρ ὅστις τῶν παρόντων οὐκ ἂν

οὗτος ἂν NMr.: om. ἂν v. — ὑπ' αὐτῶν NABk.: ὑπ' αὐτοῦ.
3. οὐχ e R. coni. add. Mr.; contra Sp. ἱκανὴ ἦν (μὴ) παῦσαι, Bk. (Turr.) προμηθίας pro προθυμίας scripsit. — σωφρονῆσαι N. — 4. τἀληθῆ W.: ἀληθῆ. — post λέγειν intercidisse ἀναγκάζειν susp. R.
5. τὸν μὲν κίνδυνον τὸν αὐτὸν NBk.: τὸν κ. τ. αὐτὸν A, τὸν μὲν κίνδ. οὐ τὸν αὐτὸν v. — ὂν ante καὶ παρ. add. K. — πᾶς, quod ci. Bk., NDobs.: πῶς. — ἂν post γὰρ et ὁ om. NABk. — λειφθεὶς BL et corr. A. — τις post πᾶς γὰρ add. Hi. coll. § 7.

ὀκνηρότερος εἰς τὴν πρᾶξιν ἦν. Ὡς δ' οὐκ ἐλάσσω 6
ἀλλὰ πολὺ μείζω τὸν ἀπὸ τῆς γραφῆς κίνδυνον ἢ
τόνδε ἡγεῖτο εἶναι, διδάξω. τὸ μὲν ἁλῶναι καὶ ἀπο-
φυγεῖν ἀμφοτέρας τὰς διώξεις ἐν ἴσαις ἐλπίσι θῶ-
μεν αὐτῷ εἶναι. μὴ παραχθῆναι δὲ τὴν γραφὴν οὐ-
δεμίαν ἐλπίδα εἶχε τούτου γε ζῶντος· οὐ γὰρ ἂν
ἐπέθετο αὐτῷ· εἰς δὲ τόνδε τὸν κίνδυνον ἥξειν οὐκ
ἤλπισε· λήσειν γὰρ ἐδόκει ἀποκτείνας αὐτόν. Ἀξιῶν 7
δὲ διὰ τὸ φανερὰν εἶναι τὴν ὑποψίαν αὐτῷ μὴ κατα-
δοκεῖσθαι ὑφ' ὑμῶν, οὐκ ὀρθῶς ἀξιοῖ. οὐ γὰρ τοῦ-
τον ἐν τοῖς μεγίστοις κινδύνοις ὄντα ἱκανὴ ἦν ἡ
ὑποψία ἀποτρέψαι τῆς ἐπιθέσεως. οὐδεὶς γὰρ (ἂν)
ἐπεβούλευσεν αὐτῷ· πᾶς γὰρ ἄν τις τῶν ἧσσον κιν-
δυνευόντων, τὴν ὑποψίαν μᾶλλον τοῦ κινδύνου φο-
βούμενος, ἧσσον ἢ οὗτος ἐπέθετο αὐτῷ. Αἱ δ' εἰσφο- 8
ραὶ καὶ χορηγίαι εὐδαιμονίας μὲν ἱκανὸν σημεῖόν
ἐστι, τοῦ δὲ μὴ ἀποκτεῖναι τἀναντία· περὶ γὰρ αὐτῆς
τῆς εὐδαιμονίας τρέμων μὴ ἀποστερηθῇ, εἰκότως
μὲν ἀνοσίως δὲ ἀπέκτεινε τὸν ἄνδρα. Φάσκων δὲ οὐ
τοὺς εἰκότως ἀλλὰ τοὺς ἀποκτείναντας φονέας εἶναι,
περὶ μὲν τῶν ἀποκτεινάντων ὀρθῶς λέγει, εἴπερ ἐγέ-

6. τόνδε] τόδε pr. A, τότε N. — γὰρ post τὸ μὲν auct. R. add. Mr. cf. 3 δ 5; 4 β 7, δ 6. — καὶ] ἢ Hi. — παραχθῆναι NA Scalig. R: παραχρῆναι. — εἶχε τούτου γε N Mr.: γ' εἶχε τούτου. — ἐπέθετο Dobr. Turr.: ἐπείθετο. — κίνδυνον] ἀγῶνα N, quod praefert W.

7. μὴ ante φαν. add., om. ante καταδοκ. pr. A; μὲν pro μὴ BLZM. — οὐ γὰρ] εἰ γὰρ ci. R, idemque mox pro οὐδεὶς γὰρ οὐδεὶς γ' ἂν. εἰ et ἄρ' pro γὰρ S. Turr.; pro hoc ci. γε Frohberger. — ἀποτρέψαι e coni. R. Turr.: ἀποστρέψαι. — ἐπεβούλευεν pr. A. — πᾶς NABk.: παῖς L, πῶς v. — ἧσσαν pr. A. — ἐπέθετο ci. Mr. S.: ἡγεῖτο.

8. εὐδ. μὲν ἱκανὸν NMr.: ἱκ. μὲν εὐδ. — τοὺς (ὄντως)

νετο φανερὸν ἡμῖν τίνες ἦσαν οἱ ἀποκτείναντες αὐ-
τόν· μὴ δεδηλωμένων δὲ τῶν ἀποκτεινάντων, ὑπὸ
τῶν εἰκότων ἐλεγχόμενος οὗτος ἂν καὶ οὐδεὶς ἕτερος
119 (ὁ) ἀποκτείνας | αὐτὸν εἴη. οὐ γὰρ ἐπὶ μαρτύρων ἀλλὰ
κρυπτόμενα πράσσεται τὰ τοιαῦτα.

9 Οὕτω δὲ φανερῶς ἐκ τῆς αὐτοῦ ἀπολογίας ἐλεγχ-
θεὶς διαφθείρας αὐτόν, οὐδὲν ἕτερον ὑμῶν δεῖται
ἢ τὴν αὐτοῦ μιαρίαν εἰς ὑμᾶς αὐτοὺς ἐκτρέψαι. ἡμεῖς
δὲ ὑμῶν δεόμεθα μὲν οὐδέν, λέγομεν δ' ὑμῖν, εἰ
μήτε ἐκ τῶν εἰκότων μήτε ἐκ τῶν μαρτυρουμένων
οὗτος νῦν ἐλέγχεται, οὐκ ἔστιν ἔτι τῶν διωκομένων
10 ἔλεγχος οὐδείς. ἀδίκως δ' ἀπολυομένου τούτου ὑφ'
ὑμῶν ἡμῖν μὲν προστρόπαιος ὁ ἀποθανὼν οὐκ ἔσται,
ὑμῖν δὲ ἐνθύμιος γενήσεται· σαφῆ μὲν γὰρ τὸν θά-
νατον γιγνώσκοντες, φανερῶς δὲ τὰ ἴχνη τῆς ὑπο-
ψίας εἰς τοῦτον φέροντα, πιστῶς δὲ τοῦ ἀκολούθου
μαρτυροῦντος, πῶς ἂν δικαίως ἀπολύοιτε αὐτόν;
11 ταῦτα οὖν εἰδότες βοηθεῖτε μὲν τῷ ἀποθανόντι, τι-
μωρεῖσθε δὲ τὸν ἀποκτείναντα, ἁγνεύετε δὲ τὴν πό-
λιν. τρία γὰρ ἀγαθὰ πράξετε· ἐλάσσους μὲν τοὺς
ἐπιβουλεύοντας καταστήσετε, πλείους δὲ τοὺς τὴν
εὐσέβειαν ἐπιτηδεύοντας, ἀπολύεσθε δ' αὐτοὶ τῆς
ὑπὲρ τούτου μιαρίας.

ἀποκτείναντας R., quod propter sequentia non probo. — ὁ add. W. — ὑπὸ μαρτ. codd. ms. — τὰ τοιαῦτα Mr. e N: ταῦτα.

9. φανερὸς N. — τῆς αὐτοῦ (ita NAM) Fr.

10. ἡμῖν μὲν] μὲν om. codd. praeter AN et edit. ante Bk. — cf. Ammon. de diff. v. ἐνθύμημα: Ἀ. ἐν τοῖς φονικοῖς φησί· Τεθνεὼς οὗτος ὑμῖν ἐνθύμιος γενήσεται.

11. cf. Harp.: ἁγνεύετε τὴν πόλιν Ἀντιφῶν ἐν β' ἀντὶ τοῦ ἁγνίζετε. B. A. I p. 338. — ἀπολύσεσθε S. Turr.; sed cf. 3 γ 11.

δ.

ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

[Ἰδού, φησίν, ἐγὼ καὶ ἡ ἀτυχία μου. δεικτικῶς δὲ λέγει, ἑαυτὸν αἰνιττόμενος. — οὗτος, φησίν, ἐγὼ παραδίδωμι ἐμαυτὸν καὶ τῇ ἀτυχίᾳ μου καὶ τῇ τούτων κακουργίᾳ.] Τεκμήριον τοῦ μὴ πεποιηκέναι τίθησιν ὁ ἀπολογούμενος τὸ μηδαμοῦ προελθεῖν ἐκείνης τῆς νυκτός, καὶ περὶ τούτου πάντας τοὺς παῖδας εἰς βάσανον παραδίδωσιν.

Ἰδοὺ ἐγὼ τῇ τε ἀτυχίᾳ, ἣν οὐ δικαίως αἰτιῶμαι,
ὡς οὗτοί φασιν, ἑκὼν ἐμαυτὸν ἐγχειρίζω, τῇ τε τού-
των ἔχθρᾳ, δεδιὼς μὲν τὸ μέγεθος τῆς διαβολῆς
αὐτῶν, πιστεύων δὲ τῇ ὑμετέρᾳ γνώμῃ τῇ τε ἀλη-
θείᾳ τῶν ἐξ ἐμοῦ πραχθέντων. ἀποστερούμενος δὲ
ὑπ' αὐτῶν μηδὲ τὰς παρούσας ἀτυχίας ἀνακλαύσα-
σθαι πρὸς ὑμᾶς, ἀπορῶ εἰς ἥντινα ἄλλην σωτηρίαν
χρή με καταφυγεῖν. καινότατα γὰρ δή, εἰ χρὴ και- 2
νότατα μᾶλλον ἢ κακουργότατα εἰπεῖν, διαβάλλουσί
με. κατήγοροι γὰρ καὶ τιμωροὶ φόνου προσποιού-
μενοι εἶναι, ὑπεραπολογούμενοι τῆς ἀληθοῦς ὑπο-
ψίας ἁπάσης, διὰ τὴν ἀπορίαν τοῦ ἀποκτείναντος
αὐτὸν ἐμὲ φονέα φασὶν εἶναι, δρῶντες δὲ τἀναντία
ὧν προστέτακται αὐτοῖς, φανερὸν ὅτι ἀδίκως ἐμὲ

δ. Ὑπόθ.] vv. ἰδοὺ — κακουργίᾳ scholia duo diversa continent primis verbis orat. adscripta. — δὲ post τεκμήριον (v.) recte om. N et pr. A.

1. ἥ τε ἀτυχία pr. A, N, scholii prioris auctor (v. ad Ὑπόθ.). τῇ τε ἀδικίᾳ Ald. — τῇ θ' ὑμετέρᾳ Sp.

2. τῆς ἀληθ. ὑπ. ἁπάσης N Mr.: τῆς ὑποψ. πάσης τῆς ἀληθοῦς.

μᾶλλον ἀποκτεῖναι ζητοῦσιν ἢ τὸν φονέα τιμωρεῖ-
3 σθαι. ἐμὲ δὲ προσῆκεν οὐδὲν ἄλλο ἢ πρὸς τὴν μαρ-
τυρίαν τοῦ ἀκολούθου ἀπολογηθῆναι· οὐ γὰρ μηνυ-
τὴς οὐδ' ἐλεγκτὴρ τῶν ἀποκτεινάντων εἰμί, ἀλλὰ
διωκόμενος ἀποκρίνομαι. ὅμως δὲ περιεργαστέον,
ἵνα ἐκ παντὸς τρόπου τούτους τε ἐπιβουλεύοντάς μοι
ἐμαυτόν τε ἀπολυόμενον ἐπιδείξω τῆς ὑποψίας.
4 Τὴν μὲν οὖν ἀτυχίαν ᾗ με διαβάλλουσιν, εἰς
εὐτυχίαν αἰτοῦμαι μεταστῆναι· ἀξιῶ δ' ὑμᾶς ἀπο-
λύσαντάς με μακαρίσαι μᾶλλον ἢ καταλαβόντας ἐλεῆ-
σαι. Φασὶ δὲ τῶν μὲν ἐντυχόντων παιομένοις αὐτοῖς
οὐδένα ὅντινα οὐκ εἰκότερον εἶναι σαφῶς πυθόμε-
νον τοὺς διαφθείραντας αὐτοὺς εἰς οἶκον ἀγγεῖλαι,
5 ἢ ἀπολιπόντα οἴχεσθαι. ἐγὼ δὲ οὐδένα οὕτω θερ-
μὸν καὶ ἀνδρεῖον ἄνθρωπον εἶναι δοκῶ, ὅντινα οὐκ
ἂν ἀωρὶ τῶν νυκτῶν νεκροῖς ἀσπαίρουσι συντυ-
χόντα πάλιν ὑποστρέψαντα φεύγειν μᾶλλον ἢ πυν-
θανόμενον τοὺς κακούργους περὶ τῆς ψυχῆς κινδυ-
νεῦσαι. τούτων δὲ ἃ μᾶλλον εἰκὸς ἦν δρασάντων,
οἱ μὲν ἐπὶ τοῖς ἱματίοις διαφθείραντες αὐτοὺς οὐκ
ἂν ἔτι εἰκότως ἀφίοιντο, ἐγὼ δὲ ἀπήλλαγμαι τῆς
6 ὑποψίας. Εἰ δὲ ἐκηρύσσοντο ἢ μὴ ἄλλοι τινὲς κα-
κοῦργοι ἅμα τῷ τούτων φόνῳ, τίς οἶδεν; οὐδενὶ γὰρ
ἐπιμελὲς ἦν σκοπεῖν ταῦτα. ἀφανοῦς δὲ ὄντος τοῦ
κηρύγματος, οὐδὲ ὑπὸ τούτων τῶν κακούργων ἄπι-
7 στον διαφθαρῆναι αὐτόν. Τοῦ | δὲ θεράποντος πῶς

3. ἐλεγκτὴρ N A B Bk.: ἐλεγκτής. — μοι] μου N.
4. αὐτοὺς] αὐτοῖς (h. e. cognatis) Sp. — ἀπολιπόντα Gesner Bk.: ἀπολιπόντας.
5. τῶν νυκτῶν N Mr.: τῆς νυκτός. — μᾶλλον ἃ codd. (μᾶλλον ἃ μᾶλλον Sp.). — ἀφίωντο pr. A (?); ἀφίοντο N.

χρὴ πιστοτέραν τὴν μαρτυρίαν ἢ τῶν ἐλευθέρων ἡγεῖσθαι; οἱ μὲν γὰρ ἀτιμοῦνταί τε καὶ χρήμασι ζημιοῦνται, ἐὰν μὴ τἀληθῆ δοκῶσι μαρτυρῆσαι· ὁ δὲ οὐκ ἔλεγχον παρασχὼν οὐδὲ βάσανον ποῦ δίκην δώσει; ἢ τίς ἔλεγχος ἔσται; ἀκινδύνως δὲ μέλλων μαρτυρεῖν οὗτός τε οὐδὲν θαυμαστὸν ἔπαθεν ὑπὸ τῶν κυρίων ἐχθρῶν μοι ὄντων πεισθεὶς καταψεύδεσθαί μου· ἐγώ τε ἀνόσι' ἂν πάσχοιμι, εἰ μὴ πιστῶς καταμαρτυρηθεὶς διαφθαρείην ὑφ' ὑμῶν. Μὴ παραγενέσθαι δέ 8
με τῷ φόνῳ ἀπιστότερον ἢ παραγενέσθαι φασὶν εἶναι. ἐγὼ δ' οὐκ ἐκ τῶν εἰκότων ἀλλ' ἔργῳ δηλώσω οὐ παραγενόμενος. ὁπόσοι γὰρ δοῦλοί μοι ἢ δοῦλαί εἰσι, πάντας παραδίδωμι βασανίσαι· καὶ ἐὰν μὴ φανῶ ταύτῃ τῇ νυκτὶ ἐν οἴκῳ καθεύδων ἢ ἐξελθών ποι, ὁμολογῶ φονεὺς εἶναι. ἡ δὲ νὺξ οὐκ ἄσημος· τοῖς γὰρ Διιπολείοις ὁ ἀνὴρ ἀπέθανε. Περὶ δὲ τῆς 9
εὐδαιμονίας, ἧς ἕνεκα τρέμοντά μέ φασιν εἰκότως ἀποκτεῖναι αὐτόν, πολὺ τἀναντία ἐστί. τοῖς μὲν γὰρ ἀτυχοῦσι νεωτερίζειν συμφέρει· ἐκ γὰρ τῶν μεταβολῶν ἐπίδοξος ἡ δυσπραγία μεταβάλλειν αὐτῶν ἐστί· τοῖς δ' εὐτυχοῦσιν ἀτρεμίζειν καὶ φυλάσσειν τὴν παροῦσαν εὐπραγίαν· μεθισταμένων γὰρ τῶν πραγμά-

7. πιστοτέραν R.: πιστότερον. — τί οὐ δίκην δώσει N; τί om. v.; ποῦ ci. R. S. — εἴ τις ἔλ. ἔσται codd.; ἢ τίς κτέ. R. S. coll. § 10. — ἀκινδ. τε codd.; δὲ mal. R. — οὗτός γε (τε ci. R. Sp.) μέλλων μαρτυρεῖν codd. — κυρίως N et v. ante R.

8. μοι ἢ δοῦλαί N Mr.: ἢ δοῦλαί μοι. — ἢ ἐξελθ.] ἀλλ' ἐξ. M. — ποι cum R. Bk.: που. — Διϊπολείοις N et pr. A Mr.: Διϊπολίοις. vid. Mr.

9. μὲν ante γὰρ e N add. Mr. — ἀτυχοῦσι νεωτερίζειν Ald.: ἀτυχοῦσιν ἑταιρίζειν codd. — καὶ ante ἡ δυσπρ. add. K. — μεταβαλεῖν ci. R. — γὰρ ante τῶν πραγμ. R. et N: δὲ v. — πραγμάτων Steph.: πραγματειῶν.

10 των δυστυχεῖς ἐξ εὐτυχούντων καθίστανται. Ἐκ
δὲ τῶν εἰκότων προσποιούμενοί με ἐλέγχειν, οὐκ
εἰκότως ἀλλ' ὄντως φονέα μέ φασι τοῦ ἀνδρὸς εἶναι.
τὰ δὲ εἰκότα ἄλλα πρὸς ἐμοῦ μᾶλλον ἀποδέδεικται
ὄντα. ὅ τε γὰρ καταμαρτυρῶν μου ἄπιστος ἐλή-
λεγκται ὤν, ὅ τε ἔλεγχος οὐκ ἔστι· τά τε τεκμήρια
ἐμά, οὐ τούτου ὄντα ἐδήλωσα· τά τε ἴχνη τοῦ φόνου
οὐκ εἰς ἐμὲ φέροντα ἀλλ' εἰς τοὺς ἀπολυομένους
ἀποδέδεικται ὑπ' αὐτῶν. Πάντων δὲ τῶν κατηγορη-
θέντων ἀπίστων ἐλεγχθέντων, οὐκ ἐὰν ἀποφύγω
οὐκ ἔστιν ἐξ ὧν ἐλεγχθήσονται οἱ κακουργοῦντες,
ἀλλ' ἐὰν καταληφθῶ, οὐδεμία ἀπολογία τοῖς διωκο-
μένοις ἀρκοῦσά ἐστιν.

11 Οὕτω δὲ ἀδίκως διώκοντές με αὐτοὶ μὲν ἀνοσίως
ἀποκτεῖναι ζητοῦντες καθαροί φασιν εἶναι, ἐμὲ δὲ ὃς
εὐσεβεῖν ὑμᾶς πείθω, ἀνόσια δρᾶν λέγουσιν. ἐγὼ
δὲ καθαρὸς ὢν πάντων τῶν ἐγκλημάτων ὑπέρ (τε)
ἐμαυτοῦ ἐπισκήπτω αἰδεῖσθαι τὴν τῶν μηδὲν ἀδι-
κούντων εὐσέβειαν, ὑπέρ τε τοῦ ἀποθανόντος ἀνα-
μιμνήσκων τὴν ποινὴν παραινῶ ὑμῖν μὴ τὸν ἀναί-
τιον καταλαβόντας τὸν αἴτιον ἀφεῖναι· ἀποθανόντος
12 γὰρ ἐμοῦ οὐδεὶς ἔτι τὸν αἴτιον ζητήσει. ταῦτα οὖν
σεβόμενοι ὁσίως καὶ δικαίως ἀπολύετέ με, καὶ μὴ

10. ἄλλα] num αὐτὰ? τὰ δέ τ' εἰκότα τά τ' ἄλλα Sp.; τὰ δὲ εἰκότα — ἀλλὰ κτέ. S. — καταληφθῶ] ἐλεγχθῶ codd. (ἐλεγχῶ pr. A). ληφθῶ vel ἁλῶ ci. Bk.

11. ὃς] ὡς N. — ὑπὲρ (μὲν) ἐμαυτοῦ ci. Bk. — ὑπέρ τε τοῦ] ὑπὲρ δὲ τοῦ codd. — vv. ἀναμιμνήσκων — ἀποθανόντος om. N. — μὴ τὸν ἀν. κτέ.] cf. Suid. s. v. καταλαβεῖν: οἱ δὲ ῥήτορες καὶ ἐπὶ τοῦ κολάζειν. Ἀ.: μὴ ἀναίτιον καταλαβόντες τὸν αἴτιον. — καταβαλόντας dedisse videtur pr. A.

μετανοήσαντες τὴν ἁμαρτίαν γνῶτε· ἀνίατος γὰρ ἡ μετάνοια τῶν τοιούτων ἐστίν.

3.

ΤΕΤΡΑΛΟΓΙΑ Β.

α.

ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Δύο παῖδες ἐν γυμνασίοις ἠκόντιζον, συνέβη δὲ τὸν μὲν ἐντέχνως ἀφεῖναι τὸ βέλος, τὸν δὲ ἕτερον ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου δραμόντα πληγῆναι. τελευτήσαντος δὲ τοῦ παιδὸς ὁ τούτου πατὴρ κατηγορεῖ τοῦ βαλόντος ὡς ἀνδροφόνου· ὁ δὲ μετατίθησι τὴν αἰτίαν τῆς πληγῆς ἐπὶ τὸν δραμόντα. ὅθεν οἱ μὲν ἀντέγκλημα τὴν στάσιν, οἱ δὲ μετάστασιν λέγουσιν.

Τὰ μὲν ὁμολογούμενα τῶν πραγμάτων ὑπό τε τοῦ νόμου κατακέκριται ὑπό τε τῶν ψηφισαμένων, οἳ κύριοι πάσης τῆς πολιτείας εἰσίν· ἐὰν δέ τι ἀμφισβητήσιμον ᾖ, τοῦτο ὑμῖν ὦ ἄνδρες πολῖται προστέτακται διαγνῶναι. οἶμαι μὲν οὖν οὐδὲ ἀμφισβητήσειν πρὸς ἐμὲ τὸν διωκόμενον· ὁ γὰρ παῖς μου ἐν γυμνασίῳ ἀκοντισθεὶς διὰ τῶν πλευρῶν ὑπὸ τούτου
τοῦ μειρακίου παραχρῆμα | ἀπέθανεν. ἑκόντα μὲν 121
οὖν οὐκ ἐπικαλῶ ἀποκτεῖναι, ἄκοντα δέ. ἐμοὶ δὲ 2
οὐκ ἐλάσσω τοῦ ἑκόντος ἄκων τὴν συμφορὰν κατέστησε. τῷ δὲ ἀποθανόντι αὐτῷ μὲν *οὐδέν, ἐνθύμιον δὲ τοῖς ζῶσι προσέθηκεν. ὑμᾶς δὲ ἀξιῶ ἐλεοῦντας

Or. III α Ὑπόθ.] ἐν γυμνασίῳ mal. Mr.
2. οὐδέν] puto ὄλεθρον aut simile quid. δὲ τοῖς], τοῖς δὲ codd. et edd. —

μὲν τὴν ἀπαιδίαν τῶν γονέων, οἰκτείροντας δὲ τὴν ἄωρον τοῦ ἀποθανόντος τελευτήν, εἵργοντας ὧν ὁ νόμος εἵργει τὸν ἀποκτείναντα μὴ περιορᾶν ἅπασαν τὴν πόλιν ὑπὸ τούτου μιαινομένην.

β.

ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ὁ τοῦ ἀκοντίσαντος πατὴρ ἑαυτῷ φησὶν αἴτιον γενέσθαι τὸν ἀποθανόντα τοῦ φόνου· φερομένου γὰρ τοῦ ἀκοντίου ὑπέδραμεν ὑπὸ τὸν σκοπόν, ὅθεν (δικαίως) ἂν αὐτὸν ἑαυτοῦ φονέα νομίζεσθαι. ἔστιν οὖν ἡ στάσις μετάστασις, οὐ συγγνώμη ὥς τινες ἐνόμιζον.

Νῦν δὴ φανερόν μοι ὅτι αὐταὶ αἱ συμφοραὶ καὶ χρεῖαι τούς τε ἀπράγμονας εἰς ἀγῶνας (καταστῆναι) τούς τε ἡσυχίους τολμᾶν τά τε ἄλλα παρὰ φύσιν λέγειν καὶ δρᾶν βιάζονται. ἐγὼ γὰρ ἥκιστα τοιοῦτος ὢν καὶ βουλόμενος εἶναι, εἰ μὴ πολύ γε ἔψευσμαι, ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠναγκάσθην παρὰ τὸν ἄλλον τρόπον ὑπὲρ πραγμάτων ἀπολογεῖσθαι. ὧν ἐγὼ χαλεπῶς μὲν τὴν ἀκρίβειαν ἔγνων. ἔτι δὲ ἀπορωτέρως διάκειμαι ὅπως χρὴ ὑμῖν ἑρμηνεῦσαι

εἵργοντας et *εἵργει* pr. A (Turr.), et sic ubique. *εἵργει*] *εἵργειν* N.

β. *Ὑπόθ.*] *δικαίως* (s. *εἰκότως*, *ὀρθῶς*) addi mal. Mr. — *ἔστιν οὖν* N: *ἔστιν* A, *ἔστι* BLM, *ἔστι δ'* v.

1. *καταστῆναι* auct. R. add. Turr. Mr. — *τολμᾶν*] cf. γ 2. *καὶ* ante *παρὰ φύσιν* add. S. Scheib. (Turr.), *καὶ δρᾶν* del. Funckh. — *ὅπως χρὴ*] *ὡς χρὴ* omnes.

2. *ὑμῖν* om. pr. A (prob. S.); *ὑμῶν* BLZM. — *ἴσα ταῖς προειρημέναις τύχαις* scripsi; codd. *διὰ τὰς προειρημένας τύχας*. cf. *ὁμοῖα* Thuc. 1, 25. (*δύστως*) *ἀποδεξ*. K. et simi-

ταῦτα. ὑπὸ δὲ σκληρᾶς ἀνάγκης βιαζόμενος, καὶ αὐ- 2
τὸς εἰς τὸν ὑμέτερον ἔλεον, ὦ ἄνδρες δικασταί, καταπεφευγὼς δέομαι ὑμῶν, ἐὰν ἀκριβέστερον ἢ ὡς σύνηθες ὑμῖν δόξω εἰπεῖν, μὴ ἴσα ταῖς προειρημέναις τύχαις ἀποδεξαμένους μου τὴν ἀπολογίαν δόξῃ καὶ μὴ ἀληθείᾳ τὴν κρίσιν ποιήσασθαι· ἡ μὲν γὰρ δόξα τῶν πραχθέντων πρὸς τῶν λέγειν δυναμένων ἐστίν, ἡ δὲ ἀλήθεια πρὸς τῶν δίκαια καὶ ὅσια πρασσόντων.

Ἐδόκουν μὲν οὖν ἔγωγε ταῦτα παιδεύων τὸν 3
υἱὸν ἐξ ὧν μάλιστα τὸ κοινὸν ὠφελεῖται, ἀμφοῖν τι ἡμῖν ἀγαθὸν ἀποβήσεσθαι· συμβέβηκε δέ μοι πολὺ παρὰ γνώμην τούτων. τὸ γὰρ μειράκιον οὐχ ὕβρει οὐδὲ ἀκολασίᾳ, ἀλλὰ μελετῶν μετὰ τῶν ἡλίκων ἀκοντίζειν ἐν τῷ γυμνασίῳ ἔβαλε μέν, οὐκ ἀπέκτεινε δὲ οὐδένα κατά γε τὴν ἀλήθειαν ὧν ἔπραξεν, ἄλλου δ' εἰς αὑτὸν ἁμαρτόντος εἰς ἀνοσίους αἰτίας ἦλθεν.
τοῦ γὰρ παιδὸς ὑπὸ τὴν τοῦ ἀκοντίου φορὰν ὑπο- 4
δραμόντος καὶ τὸ σῶμα προστήσαντος, (ὁ μὲν ἐκωλύθη) τοῦ σκοποῦ τυχεῖν, ὁ δὲ ὑπὸ τὸ ἀκόντιον ὑπελθὼν ἐβλήθη, καὶ τὴν αἰτίαν οὐχ ἡμετέραν οὖσαν προσέβαλεν ἡμῖν. εἰ μὲν γὰρ τὸ ἀκόντιον ἔξω τῶν ὅρων τῆς αὑτοῦ πορείας ἐπὶ τὸν παῖδα ἐξενεχθὲν ἔτρωσεν αὐτόν, οὐδεὶς (ἂν) ἡμῖν λόγος ὑπελείπετο

liter iam R.; μὴ transponit post ἀπολογίαν Funckh.; addi iubet μὴ ante ἀποδ. Mr.

3. μὲν οὖν] γ' οὖν N. — τούτων] περὶ τούτων? an τοῦτο? — ἐν τῷ γυμν. ci. Bk. (Mr. Turr.): ἐπὶ τ. γ. — ἀνοσίους scripsi: ἀκουσίους. cf. 4 β 4. 2 β 9.

4. ὁ μὲν ἐκωλύθη add. R. (Turr.); ὁ μὲν διεκωλύθη Mr. — ὑπελθὼν NABk.: ἐλθών. — Transposui vv. εἰ μὲν γὰρ

5 μὴ φονεῦσιν εἶναι· διὰ δὲ τὴν ὑποδρομὴν βληθέντος
τοῦ παιδὸς τὸ μὲν μειράκιον οὐ δικαίως ἐπικαλεῖται,
οὐδένα γὰρ ἔβαλε τῶν ἀπὸ τοῦ σκοποῦ ἀφεστώτων·
ὁ δὲ παῖς εἴπερ ἑστὼς φανερὸς ὑμῖν ἐστὶ μὴ βληθείς,
ἑκουσίως (δ') ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθών,
ἔτι σαφεστέρως δηλοῦται διὰ τὴν αὑτοῦ ἁμαρτίαν
ἀποθανών· οὐ γὰρ ἂν ἐβλήθη ἀτρεμίζων καὶ μὴ
6 διατρέχων. Ἀκουσίου δὲ τοῦ φόνου ἐξ ἀμφοῖν ὑμῖν
ὁμολογουμένου γενέσθαι, ἐκ τῆς ἁμαρτίας, ὁποτέρου
αὐτῶν ἐστίν, ἔτι γε σαφέστερον ἂν ὁ φονεὺς ἐλεγ-
χθείη. οἵ τε γὰρ ἁμαρτάνοντες ὧν ἂν ἐπινοήσωσι [τι]
δρᾶσαι, οὗτοι πράκτορες τῶν ἀκουσίων εἰσίν· οἵ τε
ἑκούσιόν τι δρῶντες ἢ πάσχοντες, οὗτοι τῶν παθη-
7 μάτων αἴτιοι γίγνονται. τὸ μὲν τοίνυν μειράκιον
περὶ οὐδένα οὐδὲν ἥμαρτεν. οὔτε γὰρ ἀπειρημένον
ἀλλὰ προστεταγμένον ἐξεμελέτα, οὔτε ἐν γυμναζο-
μένοις ἀλλ' ἐν τῇ τῶν ἀκοντιζόντων τάξει ἠκόντιζεν,
οὔτε τοῦ σκοποῦ ἁμαρτών, εἰς τοὺς ἀφεστῶτας ἀκον-
τίσας, τοῦ παιδὸς ἔτυχεν, ἀλλὰ πάντα ὀρθῶς ὡς
122 ἐπενόει δρῶν ἔδρασε μὲν οὐδὲν ἀκούσιον, ἔπαθε δὲ
8 διακωλυθεὶς τοῦ σκοποῦ τυχεῖν. ὁ δὲ | παῖς βουλό-

— εἶναι, quae v. leguntur post αἰτίας ἦλθεν, mutato praeterea τοῦ δὲ παιδὸς in τοῦ γὰρ παιδὸς. v. Rh. M. XXI p. 274. — φονεῦσιν ci. Bk. (Turr.): φονεὺς.

5. τοῦ σκοποῦ] τοῦ add. NABk. — μὴ (ἂν) βληθείς K. ipse δ' potius addendum duxi; cf. 4. — φανερῶς N.

6. ὑμῖν] ἡμῖν pr. M Ald. num ἡμῶν? — ἔτι γ' S. Turr.: ἔτι δὲ (δὲ del. Dobr. K.). — ἂν add. Dobr. Turr. — ἀφαμαρτάνοντες Ald. (ἀμφ. L). — τι tamquam e sequentibus illatum secl. Mr. — οἵ τε ἑκούσ. Sp.: οἱ δὲ ἑκ.

7. οὐδὲν ἥμαρτεν NMr.: ἥμ. οὐδέν. — ἐξεμελέτα] ἐμελέτα N. — (τοῖς) γυμν. ci. R. — ἁμαρτὸν L et AM correcti. — ἐφεστῶτας pr. A.

μενος προδραμεῖν, τοῦ καιροῦ διαμαρτὼν ἐν ᾧ δια-
τρέχων οὐκ ἂν ἐπλήγη, περιέπεσεν οἷς οὐκ ἤθελεν,
ἀκουσίως δὲ ἁμαρτὼν εἰς ἑαυτὸν οἰκείαις συμφοραῖς
κέχρηται, τῆς δ' ἁμαρτίας τετιμωρημένος ἑαυτὸν
ἔχει τὴν δίκην, οὐ συνηδομένων μὲν οὐδὲ συνεθε-
λόντων ἡμῶν, συναλγούντων δὲ καὶ συλλυπουμένων.
τῆς δὲ ἁμαρτίας εἰς τοῦτον ἡκούσης τό (τε) ἔργον
οὐχ ἡμέτερον ἀλλὰ τοῦ ἐξαμαρτόντος ἐστί, τό τε
πάθος εἰς τὸν δράσαντα ἐλθὸν ἡμᾶς μὲν ἀπολύει τῆς
αἰτίας, τὸν δὲ δράσαντα δικαίως ἅμα τῇ ἁμαρτίᾳ
τετιμώρηται. ἀπολύει δὲ καὶ ὁ νόμος ἡμᾶς, ᾧ πι- 9
στεύων, εἴργοντι μήτε ἀδίκως μήτε δικαίως ἀποκτεί-
νειν, ὡς φονέα με διώκει. ὑπὸ μὲν γὰρ τῆς αὐτοῦ
τοῦ τεθνεῶτος ἁμαρτίας ὅδε ἀπολύεται μηδὲ ἀκου-
σίως ἀποκτεῖναι αὐτόν· ὑπὸ δὲ τοῦ διώκοντος οὐδ'
ἐπικαλούμενος ὡς ἑκὼν ἀπέκτεινεν, ἀμφοῖν ἀπολύεται
τοῖν ἐγκλημάτοιν, μήτ' ἄκων μήτε ἑκὼν ἀποκτεῖναι.
ἀπολυόμενος δὲ ὑπό τε τῆς ἀληθείας τῶν πραχθέν- 10
των ὑπό τε τοῦ νόμου καθ' ὃν διώκεται, οὐδὲ τῶν
ἐπιτηδευμάτων εἵνεκα δίκαιοι τοιούτων κακῶν ἀξιοῦ-
σθαί ἐσμεν. οὗτός τε γὰρ ἀνόσια πείσεται τὰς οὐ
προσηκούσας φέρων ἁμαρτίας, ἐγώ τε μᾶλλον μὲν
οὐδέν, ὁμοίως δὲ τούτῳ ἀναμάρτητος ὤν, εἰς πολ-
λαπλασίους τούτου συμφορὰς ἥξω· ἐπί τε γὰρ τῇ
τούτου διαφθορᾷ ἀβίωτον τὸ λειπόμενον τοῦ βίου

8. προςδραμεῖν BLZM. num προδιαδραμεῖν? — καιροῦ Sp.: χώρου (χρόνου auct. R. Turr.). — τοῦτον ci. R. (Turr. Mr.): τοῦτο. — τό τ' ἔργον Sp.
9. μήτ' ἄκων add. N Ald. — μήτε ἑκὼν N: μήθ' ἑκὼν.
10. ὑπό τε τῆς ἀληθ. τῶν πραχθ. ὑπό τε τοῦ νόμου N et corr. A (Bk., et ci. R.): ὑπό τε τῆς ἀλ. τοῦ νόμου ὑπό τε τῶν πραχθ. — ἕνεκα Z Ald. — διαφθορᾷ R. et tue-

διάξω, ἐπί τε τῇ ἐμαυτοῦ ἀπαιδίᾳ ζῶν ἔτι κατορυ-
χθήσομαι.
11 Ἐλεοῦντες οὖν τοῦδε μὲν τοῦ νηπίου τὴν ἀνα-
μάρτητον συμφοράν, ἐμοῦ δὲ τοῦ γηραιοῦ καὶ ἀθλίου
τὴν ἀπροσδόκητον κακοπάθειαν, μὴ καταψηφισάμε-
νοι δυσμόρους ἡμᾶς καταστήσητε, ἀλλ' ἀπολύοντες
εὐσεβεῖτε. ὅ τε γὰρ ἀποθανὼν συμφοραῖς περιπεσὼν
οὐκ ἀτιμώρητός ἐστιν, ἡμεῖς τε οὐ δίκαιοι τὰς τού-
12 των ἁμαρτίας συμφέρειν ἐσμέν. τήν τε οὖν εὐσέ-
βειαν τούτων τῶν πραχθέντων καὶ τὸ δίκαιον αἰδού-
μενοι ὁσίως καὶ δικαίως ἀπολύετε ἡμᾶς, καὶ μὴ
ἀθλιωτάτω δύο πατέρα καὶ παῖδα ἀώροις συμφο-
ραῖς περιβάλητε.

γ.

ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

Ὅτι μὲν αὐτὴ ἡ χρεία παρὰ φύσιν καὶ λέγειν
καὶ δρᾶν ἅπαντας ἀναγκάζει, ἔργῳ καὶ οὐ λόγῳ δο-
κεῖ μοι σημαίνειν οὗτος· ἥκιστα γὰρ ἔν γε τῷ ἔμ-
προσθεν χρόνῳ ἀναιδὴς καὶ τολμηρὸς ὢν νῦν ὑπ'
αὐτῆς τῆς συμφορᾶς ἠνάγκασται λέγειν οἷα οὐκ ἂν
2 ποτε ᾤμην ἐγὼ τοῦτον εἰπεῖν. ἐγώ τε γὰρ πολλῇ

tur N: διαφορᾷ. — διάξω: διδάξω pr. A Z. — ἔτι κατορυχθήσομαι R. Bk.: ἐπικατορ. codd., quod tuetur Hi. ἔτι κατορωρύξομαι K. coll. γ 12.

11. νηπίου] νέου καὶ ἀναιτίου K. — pro οὖν τοῦδε μὲν N habet μὲν οὖν οὐδὲ μὲν. — καταστήσητε N A (Bk.): καταστήσετε cett. cod. — post ἀποθανὼν add. τῇ αὑτοῦ ἁμαρτίᾳ K. Si quidquam mutandum, ἁμαρτὼν potius pro ἀποθ. scripserim.

12. καὶ τὴν ἀλήθειαν post εὐσέβ. add. S. — δύω BLZM Ald. (δύο etiam Turr.). — περιβάλοιτε ABLZM.

γ 1. γε] τε pr. A.

*ἀνοίᾳ χρώμενος οὐκ ἂν ὑπέλαβον τοῦτον ἀντειπεῖν·
οὐδὲ γὰρ ἂν ἕνα λόγον ἀντὶ δυοῖν λέξας τὸ ἥμισυ
τῆς κατηγορίας ἐμαυτὸν ἂν ἀπεστέρησα· οὗτός τε
μὴ τολμῶν οὐκ ἂν προεῖχε τῷ διπλασίῳ μου, ἕνα
μὲν πρὸς ἕνα λόγον ἀπολογηθείς, ἃ δὲ κατηγόρησεν
ἀναποκρίτως εἰπών. τοσοῦτον δὲ προέχων ἐν τοῖς* 3
*λόγοις ἡμῶν, ἔτι δὲ ἐν οἷς ἔπραξε πολλαπλάσια τού-
των, οὗτος μὲν οὐχ ὁσίως δεῖται ὑμῶν συχνῶς τὴν
ἀπολογίαν ἀποδέχεσθαι αὐτοῦ· ἐγὼ δὲ δράσας μὲν
οὐδὲν κακόν, παθὼν δὲ ἄθλια καὶ δεινά, καὶ νῦν
ἔτι δεινότερα τούτων ἔργῳ καὶ οὐ λόγῳ, εἰς τὸν
ὑμέτερον ἔλεον καταπεφευγὼς δέομαι ὑμῶν, ὦ ἄν-
δρες ἀνοσίων ἔργων τιμωροί, ὁσίων δὲ διαγνώμονες,
μὴ ἔργα φανερὰ ὑπὸ πονηρᾶς λόγων ἀκριβείας πει-
σθέντας, ψευδῆ τὴν ἀλήθειαν τῶν πραχθέντων ἡγή-
σασθαι· ἡ μὲν γὰρ πιστότερον ἢ ἀληθέστερον σύγκει-* 4
*ται, ἡ δ' ἀδολώτερον καὶ ἀδυνατώτερον λεχθήσεται.
τῷ μὲν οὖν δικαίῳ πιστεύων ὑπερορῶ τῆς ἀπολογίας·
τῇ δὲ σκληρότητι τοῦ δαίμονος ἀπιστῶν ὀρρωδῶ μὴ
οὐ μόνον τῆς χρείας τοῦ παιδὸς ἀποστερηθῶ, ἀλλὰ
καὶ αὐθέντην προσκαταγνωσθέντα ὑφ' ὑμῶν | ἐπίδω* 123
αὐτόν. εἰς τοῦτο γὰρ τόλμης καὶ ἀναιδείας ἥκει, 5

2. *ἀντὶ δυοῖν λέξας* auctore R. Bk. Turr.: *ἀντιδοὺς ἢ λέξας* N A (*ἀντιδ.* [*ἢ λέξας*] Mr.), *ἀντιδοὺς ἤλεγξας* cett.

3. *ἔπραξε* scripsi (an *ἔδρασε*? quippe patrum filiorumque res parum hic distingui solent): *ἔπρασσε*. — *συχνῶς*] *εὐμενῶς* R., *εὔνως* K. — *δὲ δράσας* mal. R.: *δ' ἔδρασα*. — post *πεισθ.* add. *ἀφανίσαι* S., *ἄπιστα νομίσαι* K.; contra del. *ἔργα φανερὰ* Fr. — ft. *ἐξαιρεθέντας*, cuius v. glossema fuerit *πεισθέντας*; cf. 5, 46. — *πεισθέντας* et *ἡγήσασθαι* N Mr.: *πεισθέντες* (*πεισθεντός* pr. A) et *ἡγήσησθε*.

4. *καὶ ἀδυνατώτ.*] *ἢ δυνατ.* ci. Mr. Sch., *εἰ καὶ ἀδ.* R., *ἅμα* post *ἡ δ'* add. W.

ὥστε τὸν μὲν βαλόντα καὶ ἀκοντίσαντα οὔτε τρῶσαι οὔτε ἀποκτεῖναί φησι, τὸν δὲ οὔτε ψαύσαντα τοῦ ἀκοντίου οὔτε ἐπινοήσαντα ἀκοντίσαι, ἁπάσης μὲν γῆς ἁμαρτόντα, πάντων δὲ σωμάτων, διὰ τῶν ἑαυτοῦ πλευρῶν διαπῆξαι τὸ ἀκόντιον λέγει. ἐγὼ δὲ ἑκουσίως κατηγορῶν ἀποκτεῖναι αὐτὸν πιστότερος ἄν μοι δοκῶ εἶναι ἢ οὗτος, ὃς μήτε βαλεῖν μήτε ἀποκτεῖναί
6 φησι τὸ μειράκιον. ὁ μὲν γὰρ ἐν τούτῳ τῷ καιρῷ καλούμενος ὑπὸ τοῦ παιδοτρίβου, ὃς ὑπεδέχετο τοῖς ἀκοντίζουσι τὰ ἀκόντια [ἀναιρεῖσθαι], διὰ τὴν τοῦ βαλόντος ἀκολασίαν πολεμίῳ τῷ τούτου βέλει περιπεσών, οὐδὲν οὐδ' εἰς ἕν' ἁμαρτών, ἀθλίως ἀπέθανεν· ὁ δὲ περὶ τὸν τῆς ἀναιρέσεως καιρὸν πλημμελήσας οὐ τοῦ σκοποῦ τυχεῖν ἐκωλύθη, ἀλλ' ἄθλιον καὶ πικρὸν σκοπὸν ἐμοὶ ἀκοντίσας ἑκὼν μὲν [οὐκ ἀπέκτεινε, μᾶλλον δὲ ἑκὼν] οὔτε ἔβαλεν οὔτε ἀπέκτεινεν, ἀκουσίως δὲ οὐχ ἧσσον ἢ ἑκουσίως ἀπέκτεινέ μου τὸν
7 παῖδα. Τὸ παράπαν δὲ ἀρνούμενος μὴ ἀποκτεῖναι αὐτὸν οὐδ' ὑπὸ τοῦ νόμου καταλαμβάνεσθαί φησιν, ὃς ἀπαγορεύει μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν. ἀλλὰ τίς ὁ βαλών ἐστιν; ὁ φόνος οὖν ἀνήκει εἰς

5. ἀκοντίσαντα NW.: ἀποκτείναντα. — ἁμαρτὸν R. ci. — ἁπάντων Sp. — τὸ ἀκόντιον λέγει NMr.: λέγει τὸ ἀκόντιον. — ὃς om. NABM. — φασὶ N, unde φάσκων om. ὃς W. — Parum autem haec conveniunt cum β 3.

6. ἀναιρεῖσθαι del. Fr. — οὐδ' εἰς ἕν' Fr.: οὐδ' εἰς ἓν codd., εἰς οὐδέν' v. — ἀπέθανε N. — vv. μᾶλλον δὲ — ἀπέκτεινεν add. NA (ἢ ante οὔτε inserit N); del. K. videtur sane aliquid interpolatum esse, duabus lectionibus in unum confusis. — ἀκουσ.] ἑκουσίως N et pr. A, et deinceps ἀκ. pro ἑκουσίως. — ἧσον pr. A. — ἀπέκτεινέ μου] ἀποκτείνει μου pr. A; ἀποκτείναντος N, v. § sequ.

7. ἀρνουμένου N et pr. A. — τίς ὁ βαλών; ἐς τίν' ὁ φόνος ἀνήκει; Bk. in Add. — οὖν Ald.: ὂν codd. — ἀνη-

τοὺς θεωμένους ἢ εἰς τοὺς παιδαγωγούς; ὧν οὐδεὶς οὐδὲν κατηγορεῖ· οὐδ' αὖ ἀφανὴς ἀλλὰ καὶ λίαν φανερὸς ἔμοιγε αὐτοῦ ὁ θάνατός ἐστιν. ἐγὼ δὲ τὸν νόμον ὀρθῶς ἀγορεύειν φημὶ τοὺς ἀποκτείναντας κολάζεσθαι· ὅ τε γὰρ ἄκων ἀποκτείνας ἀκουσίοις κακοῖς περιπεσεῖν δίκαιός ἐστιν, ὅ τε διαφθαρεὶς οὐδὲν ἧσσον ἀκουσίως ἢ ἑκουσίως βλαφθεὶς ἀδικοῖτ' ἂν ἀτιμώρητος γενόμενος. Οὐ δίκαιος δὲ ἀποφυγεῖν 8
ἐστὶ διὰ τὴν ἀτυχίαν τῆς ἁμαρτίας. εἰ μὲν γὰρ ὑπὸ μηδεμιᾶς ἐπιμελείας τοῦ θεοῦ ἡ ἀτυχία γίγνεται, ἁμάρτημα οὖσα τῷ ἁμαρτόντι συμφορὰ δικαία γενέσθαι ἐστίν· εἰ δὲ θεία κηλὶς τῷ δράσαντι προσπίπτει ἀσεβοῦντι, οὐ δίκαιον τὰς θείας προσβολὰς διακωλύειν γίγνεσθαι. Ἔλεξαν δὲ καὶ ὡς οὐ πρέπει 9
χρηστὰ ἐπιτηδεύοντας αὐτοὺς κακῶν ἀξιοῦσθαι· ἡμεῖς δὲ πῶς ἂν πρέποντα πάσχοιμεν, εἰ μηδὲν ὑποδεέστερα τούτων μελετῶντες θανάτῳ ζημιούμεθα; Φάσκων δὲ ἀναμάρτητος εἶναι, καὶ ἀξιῶν τὰς συμφορὰς τῶν ἁμαρτόντων εἶναι καὶ μὴ εἰς τοὺς ἀναμαρτήτους ἐκτρέπεσθαι, ὑπὲρ ἡμῶν λέγει. ὅ τε γὰρ παῖς μου εἰς οὐδένα οὐδὲν ἁμαρτών, ὑπὸ τούτου τοῦ μειρακίου ἀποθανών, ἀδικοῖτ' ἂν ἀτιμώρητος γενόμενος· ἐγώ τε τοῦδε μᾶλλον ἀναμάρτητος ὢν δεινὰ πείσομαι, ἃ ὁ νόμος ἀποδίδωσί μοι μὴ τυχὼν

κει] B. A. p. 403: ἀνήκει Ἀ. μὲν ἀντὶ τοῦ καθήκει, et Suid. s. v. — οὐδεὶς] οὐδενὸς Sch. — οὐδ' αὖ] οὐ γὰρ omnes. „mortuum autem esse patet," cf. 2 γ 10 σαφῆ μὲν γὰρ κτέ. 4 γ 7. — ἀκουσίοις NA Bk.: ἀκουσίως. — ὅ τε δὲ φθαρεὶς N. — ἑκουσίως ἢ ἀκουσίως N et pr. A.

8. μηδεμιᾶς] μηδὲ δι' N. — εἰ δὲ θεία] ἡ δὲ ἀλήθεια N (et pr. A ut videtur).

9. οὐ ante πρέπει om. N. — ἀποδίδωσι N Mr.: δίδωσι.

10 παρ' ὑμῶν. Ὡς δὲ οὐδὲ τῆς ἁμαρτίας οὐδὲ τοῦ ἀκουσίως ἀποκτεῖναι, ἐξ ὧν αὐτοὶ λέγουσιν, ἀπολύεται, ἀλλὰ κοινὰ ἀμφότερα ταῦτα ἀμφοῖν αὐτοῖν ἐστί, δηλώσω. εἴπερ ὁ παῖς διὰ τὸ ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθεῖν καὶ μὴ ἀτρέμας ἑστάναι φονεὺς αὐτὸς αὑτοῦ δίκαιος εἶναί ἐστιν, οὐδὲ τὸ μειράκιον καθαρὸν τῆς αἰτίας ἐστίν, ἀλλ' εἴπερ τούτου μὴ ἀκοντίζοντος ἀλλ' ἀτρέμα ἑστῶτος ἀπέθανεν ὁ παῖς. ἐξ ἀμφοῖν δὲ τοῦ φόνου γενομένου, ὁ μὲν παῖς εἰς αὑτὸν ἁμαρτὼν μᾶλλον ἢ κατὰ τὴν ἁμαρτίαν ἑαυτὸν τετιμώρηται, τέθνηκε γάρ, ὁ δὲ συλλήπτωρ καὶ κοινωνὸς εἰς τοὺς οὐ προσήκοντας τῆς ἁμαρτίας γενόμενος πῶς δίκαιος ἀζήμιος ἀποφυγεῖν ἐστίν;

11 Ἐκ δὲ τῆς αὐτῶν τῶν ἀπολογουμένων ἀπολογίας μετόχου τοῦ μειρακίου τοῦ φόνου ὄντος, οὐκ ἂν δικαίως οὐδὲ ὁσίως ἀπολύοιτε αὐτόν. οὔτε γὰρ ἡμεῖς, οἱ διὰ τὴν τούτων ἁμαρτίαν διαφθαρέντες, αὐθένται καταγνωσθέντες ὅσια ἀλλ' ἀνόσι' ἂν πάθοιμεν ὑφ' ὑμῶν· οὔθ' οἱ θανατώσαντες ἡμᾶς μὴ εἰργόμενοι τῶν προσηκόντων εὐσεβοῖντ' ἂν ὑπὸ τῶν ἀπολυσάντων τοὺς ἀνοσίους. πάσης δ' ὑπὲρ πάντων τῆς κηλῖδος εἰς ὑμᾶς ἀναφερομένης, πολλὴ εὐλάβεια ὑμῖν τούτων ποιητέα ἐστί· καταλαβόντες μὲν γὰρ αὐτὸν καὶ εἴρξαντες ὧν ὁ νόμος εἴργει καθαροὶ τῶν ἐγκλημάτων ἔσεσθε, ἀπολύσαντες

10. οὐδὲ τῆς ἁμ. τοῦδε codd.; em. Mr. Turr. — τοῦ NS. Turr.: τῷ. — εἴπερ] εἰ γὰρ Ald. v. ante Bk. Mr. (εἴπερ γὰρ Baiter.). cf. 2 γ 6. — ὑπελθεῖν N Mr.: ἐλθεῖν. cf. β, 4. — ἀλλ' εἴπερ] ἀλλ' εἰ K. — ἑαυτὸν] αὑτὸν N.

11. τοῦ φόνου ὄντος N Mr.: ὄντος τοῦ φ. — τῶν . . προσηκό . . ων A pr.; τῶν οὐ προσηκ. S. Fr. — εὐλάβεια ὑμῖν] εὐσέβεια ἡμῖν pr. A, εὐσεβ. ὑμῖν N.

δὲ ὑπαίτιοι καθίστασθε. τῆς οὖν | ὑμετέρας εὐσε- 12
βείας ἕνεκα καὶ τῶν νόμων ἀπάγοντες τιμωρεῖσθε αὐ-
τόν, (καὶ) αὐτοί τε μὴ μεταλάβητε τῆς τούτου μιαρίας,
ἡμῖν τε τοῖς γονεῦσιν, οἳ ζῶντες κατορωρύγμεθα ὑπ᾽
αὐτοῦ, δόξῃ γοῦν ἐλαφροτέραν τὴν συμφορὰν κατα-
στήσατε.

δ.

ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

Τοῦτον μὲν εἰκὸς πρὸς τὴν ἑαυτοῦ κατηγορίαν
προσέχοντα τὸν νοῦν μὴ μαθεῖν τὴν ἀπολογίαν μου,
ὑμᾶς δὲ χρὴ γιγνώσκειν ὅτι ἡμεῖς μὲν οἱ ἀντίδικοι
κατ᾽ εὔνοιαν κρίνοντες τὸ πρᾶγμα εἰκότως δίκαια
ἑκάτεροι αὑτοὺς οἰόμεθα λέγειν, ὑμᾶς δὲ ὁσίως ὁρᾶν
προσήκει τὰ πραχθέντα. ἐκ τῶν λεγομένων γὰρ ἡ 2
ἀλήθεια σκεπτέα αὐτῶν ἐστίν. ἐγὼ δέ, εἰ μέν τι
ψεῦδος εἴρηκα, ὁμολογῶ καὶ τὰ ὀρθῶς εἰρημένα
προσδιαβάλλειν ἄδικα εἶναι· εἰ δὲ ἀληθῆ μὲν λεπτὰ
δὲ καὶ ἀκριβῆ, οὐκ ἐγὼ ὁ λέγων ἀλλ᾽ ὁ πράξας τὴν
ἀπέχθειαν αὐτῶν δίκαιος φέρεσθαί ἐστι.

Θέλω δὲ πρῶτον ὑμᾶς μαθεῖν ὅτι οὐκ ἐάν τις 3
φάσκῃ ἀποκτεῖναι, τοῦτ᾽ ἔστιν, ἀλλ᾽ ἐάν τις ἐλεγχθῇ.
οὗτος δὲ ὁμολογῶν τὸ ἔργον ὡς ἡμεῖς λέγομεν γε-
νέσθαι, περὶ τοῦ ἀποκτείναντος ἀμφισβητεῖ, ὃν
ἀδύνατον ἀλλαχόθεν ἢ ἐκ τῶν πραχθέντων δηλοῦ-

12. ἡμετέρας pr. A. — τιμωρεῖσθαι A pr. — κατωρύγμεθα N A Mr.; κατωρορύγμ. BL, κατορορ. M.

δ 1. γινώσκοντας N et pr. A. — ὁσίως] num ἴσως?

3. πρῶτον ὑμᾶς NMr.: ὑμ. πρ. — τινά ante τις φάσκῃ add. W. — ἐλεγχῇ B (ἐλέγχῃ Hi.). — περὶ τοῦ scripsi: ὑπὲρ τοῦ.

4 σθαι. Σχετλιάζει δὲ κακῶς ἀκούειν φάσκων τὸν
παῖδα, εἰ μήτε ἀκοντίσας μήτε ἐπινοήσας αὐθέντης
ὢν ἀποδείκνυται, καὶ οὐ πρὸς τὰ λεγόμενα ἀπολο-
γεῖται. οὐ γὰρ ἀκοντίσαι οὐδὲ βαλεῖν αὐτόν φημι
τὸν παῖδα, ἀλλ' ὑπὸ τὴν πληγὴν τοῦ ἀκοντίου ὑπελ-
θόντα οὐχ ὑπὸ τοῦ μειρακίου ἀλλ' ὑφ' ἑαυτοῦ δια-
φθαρῆναι· οὐ γὰρ ἀτρεμίζων ἀπέθανε. τῆς δὲ δια-
δρομῆς αἰτίας ταύτης γενομένης, εἰ μὲν ὑπὸ τοῦ
παιδοτρίβου καλούμενος διέτρεχεν, ὁ πειδοτρίβης ἂν
ἀποκτείνας αὐτὸν εἴη, εἰ δ' ὑφ' ἑαυτοῦ πεισθεὶς
5 ὑπῆλθεν, αὐτὸς ὑφ' ἑαυτοῦ διέφθαρται. Θέλω δὲ
μὴ πρότερον ἐπ' ἄλλον λόγον ὁρμῆσαι ἢ τὸ ἔργον
ἔτι φανερώτερον καταστῆσαι, ὁποτέρου αὐτῶν ἐστί.
τὸ μὲν μειράκιον οὐδενὸς μᾶλλον τῶν συμμελετών-
των ἐστὶ τοῦ σκοποῦ ἁμαρτόν, οὐδὲ τῶν ἐπικαλου-
μένων τι διὰ τὴν αὑτοῦ ἁμαρτίαν δέδρακεν· ὁ δὲ
παῖς οὐ ταὐτὰ τοῖς συνθεωμένοις δρῶν, ἀλλ' εἰς τὴν
ὁδὸν τοῦ ἀκοντίου ὑπελθών, σαφῶς δηλοῦται παρὰ
τὴν αὑτοῦ ἁμαρτίαν περισσοτέροις ἀτυχήμασι τῶν
ἀτρεμιζόντων περιπεσών. ὁ μὲν γὰρ ἀφεὶς οὐδὲν ἂν
ἥμαρτε μηδενὸς ὑπὸ τὸ βέλος ὑπελθόντος· αὐτὸς δ'
6 οὐκ ἂν ἐβλήθη μετὰ τῶν θεωμένων ἑστώς. Ὡς δ'
οὐδενὸς μᾶλλον τῶν συνακοντιζόντων μέτοχός ἐστι
τοῦ φόνου, διδάξω. εἰ γὰρ διὰ τὸ τοῦτον ἀκοντί-

4. ft. ante κακῶς interciderit ἀδίκως. — μήτ' (μήτε N) ἐπινοήσας NB Bk., μήθ' ὑπονοήσ. A pr., sed corr. ab ead. manu μήτ' ἐπιν.: μήτε πονήσας. — ἀποδείκνυται NMr. (cf. § 9): ἀποδέδεικται. — αὐτὸν Hi.: αὑτὸν. — οὐ γὰρ (ἂν) ἀτρ. ἀπέθ. K. Fr. cf. β 5. — γενομένης ipse scr.: γινομένης. — καλούμενον N.

5. τι] τις pr. A. — ἐπελθών pr. A. — ἀτυχήμασι] ἁμαρτήμασι N et pr. A (prob. Sp.).

ζειν ὁ παῖς ἀπέθανε, πάντες ἂν οἱ συμμελετῶντες συμπράκτορες εἴησαν τῆς αἰτίας· οὗτοι γὰρ οὐ διὰ τὸ μὴ ἀκοντίζειν οὐκ ἔβαλον αὐτόν, ἀλλὰ διὰ τὸ μηδενὶ ὑπὸ τὸ ἀκόντιον ὑπελθεῖν· ὁ δὲ νεανίσκος οὐδὲν περισσὸν τούτων ἁμαρτὼν ὁμοίως τούτοις οὐκ ἂν ἔβαλεν αὐτὸν ἀτρέμα σὺν τοῖς θεωμένοις ἑστῶτα.
Ἔστι δὲ οὐδὲ τὸ ἁμάρτημα τοῦ παιδὸς μόνον, ἀλλὰ 7
καὶ ἡ ἀφυλαξία. ὁ μὲν γὰρ οὐδένα ὁρῶν διατρέχοντα πῶς ἂν ἐφυλάξατο μηδένα βαλεῖν; ὁ δ' ἰδὼν τοὺς ἀκοντίζοντας εὐπετῶς ἂν ἐφυλάξατο μὴ βληθῆναι· ἐξῆν γὰρ αὐτῷ ἀτρέμα ἑστάναι. Τὸν δὲ νό- 8
μον ὃν παραφέρουσιν, ἐπαινεῖν δεῖ. ὀρθῶς γὰρ καὶ δικαίως τοὺς ἀκουσίως ἀποκτείναντας ἀκουσίοις παθήμασι κολάζει. τὸ μὲν οὖν μειράκιον ἀναμάρτητον ὂν οὐκ ἂν δικαίως ὑπὲρ τοῦ ἁμαρτόντος κολάζοιτο· ἱκανὸν γὰρ αὐτῷ ἐστὶ τὰς αὑτοῦ ἁμαρτίας φέρειν· ὁ δὲ παῖς ταῖς αὑτοῦ ἁμαρτίαις διαφθαρεὶς ἅμα ἥμαρτέ τε καὶ ὑφ' ἑαυτοῦ ἐκολάσθη. κεκολασμένου δὲ τοῦ ἀποκτείναντος οὐκ ἀτιμώρητος ὁ φόνος ἐστίν, ἔχοντός γε δὴ τὴν δίκην τοῦ φονέως.

Οὐκ οὖν ἐὰν ἀπολύσητε | ἡμᾶς, ἀλλ' ἐὰν κατα- 9
λάβητε, ἐνθύμιον ὑπολείψεσθε. ὁ μὲν γὰρ αὐτὸς 125
τὰς ἑαυτοῦ ἁμαρτίας φέρων οὐδενὶ οὐδὲν προστρόπαιον καταλείψει· ὁ δὲ καθαρὸς τῆς αἰτίας ἐὰν

6. μηδενὶ ci. R., rec. Turr.: μηδένα. — εἴησαν] ἦσαν W.
7. μὴ βληθῆναι K.: μηδένα μὴ βαλεῖν (μὴ del. Fr. Bait.). — ἀτρέμα N A Mr.: ἀτρέμας.
8. τὰς αὑτοῦ ἁμ. NAM Fr. — ἐστί ἔχοντος N. — δὴ add. N Mr.
9. οὐκ οὖν ἐὰν S.: οὐκ ἐὰν N et pr. A; οὐκ ἐὰν οὖν cett. — καταλάβοιτε A B L Z M. — ὁ μὲν γὰρ] om. γὰρ N. — ἑαυτοῦ N: αὑτοῦ. — ὃς δὲ ἐὰν φθαρῇ N; ος . . . ἐὰν φθαρῇ pr. A; ὃς ἐὰν διαφθαρῇ cett.; ὃς e coni. R. del. Bk.

διαφθαρῇ, τοῖς καταλαμβάνουσι μεῖζον τὸ ἐνθύμιον γενήσεται. εἰ δὲ αὐθέντης ἐκ τῶν λεγομένων ἐπιδείκνυται, οὐχ ἡμεῖς αὐτῷ οἱ λέγοντες αἴτιοί ἐσμεν, ἀλλ' ἡ πρᾶξις τῶν ἔργων. ὀρθῶς δὲ τῶν ἐλέγχων ἐλεγχόντων τὸν παῖδα αὐθέντην ὄντα, ὁ νόμος ἀπολύων ἡμᾶς τῆς αἰτίας τὸν ἀποκτείναντα καταλαμβάνει. μήτε οὖν ἡμᾶς εἰς μὴ προσηκούσας συμφορὰς ἐμβάλητε, μήτε αὐτοὶ ταῖς τούτων ἀτυχίαις βοηθοῦντες ἐναντία τοῦ δαίμονος γνῶτε, ἀλλ' ὥσπερ ὅσιον καὶ δίκαιον, μεμνημένοι τοῦ πάθους ὅτι διὰ τὸν ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθόντα ἐγένετο, ἀπολύετε ἡμᾶς· οὐ γὰρ αἴτιοι τοῦ φόνου ἐσμέν.

4.

ΤΕΤΡΑΛΟΓΙΑ Γ.

α.

ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΚΑΤΑ ΤΟΥ ΛΕΓΟΝΤΟΣ ΑΜΥΝΑΣΘΑΙ.

ΥΠΟΘΕΣΙΣ.

Νέος καὶ πρεσβύτης ἐκ λοιδορίας ἀλλήλοις συμπεσόντες ἐμάχοντο, ἰσχυρότερον δὲ τοῦ νέου πλήξαντος τέθνηκεν ὁ πρεσβύτης· καὶ περὶ τούτου κατηγορεῖ τις τοῦ νέου ὡς τὸν φόνον πεποιηκότος. ὁ δὲ πρῶτον τὸν πρεσβύτην ἀδίκων ἄρξαι λέγει χειρῶν. ὅθεν ἀντέγκλημα ἡ στάσις γίνεται.

Νενόμισται μὲν ὀρθῶς τὰς φονικὰς δίκας περὶ πλείστου τοὺς κρίνοντας ποιεῖσθαι διώκειν τε καὶ

10. *ἐλέγχοντα* BLZM. — post *ἐγένετο* add. *ἀπολέσθαι* N.
Or. IV *α. ΑΜΥΝΑΣΘΑΙ* NABk.: *ΑΜΥΝΕΣΘΑΙ.*
α Ὑπόθ.] ἀλλήλοις συμπεσόντες NMr.: *συμπ. ἀλλ.* — *τοῦ νέου] τοῦ μὲν* N.

μαρτυρεῖν κατὰ τὸ δίκαιον, μήτε τοὺς ἐνόχους ἀφιέν-
τας μήτε τοὺς καθαροὺς εἰς ἀγῶνα καθιστάντας. ὅ 2
τε γὰρ θεὸς βουλόμενος ποιῆσαι τὸ ἀνθρώπινον φῦλον
τοὺς πρώτους γενομένους ἔφυσεν ἡμῶν, τροφέας τε
παρέδωκε τὴν γῆν καὶ τὴν θάλασσαν, ἵνα μὴ σπά-
νει τῶν ἀναγκαίων προαποθνήσκοιμεν τῆς γηραιοῦ
τελευτῆς. ὅστις οὖν τῶν ὑπὸ τοῦ θεοῦ ἀξιωθέντων
τοῦ βίου ἡμῶν ἀνόμως τινὰ ἀποκτείνει, ἀσεβεῖ μὲν
περὶ τοὺς θεούς, συγχεῖ δὲ τὰ νόμιμα τῶν ἀνθρώπων.
ὅ τε [γὰρ] ἀποθανών, στερόμενος ὧν ὁ θεὸς ἔδωκεν 3
αὐτῷ, εἰκότως θεοῦ τιμωρίαν ὑπολείπει τὴν τῶν
ἀλιτηρίων δυσμένειαν, ἣν οἱ παρὰ τὸ δίκαιον κρί-
νοντες ἢ μαρτυροῦντες, συνασεβοῦντες τῷ ταῦτα
δρῶντι, οὐ προσῆκον μίασμα εἰς τοὺς ἰδίους οἴκους
εἰσάγονται· ἡμεῖς τε οἱ τιμωροὶ τῶν διεφθαρμένων, 4
εἰ δι' ἄλλην τινὰ ἔχθραν τοὺς ἀναιτίους διώκοιμεν,
τῷ μὲν ἀποθανόντι οὐ τιμωροῦντες δεινοὺς ἀλιτη-
ρίους ἕξομεν τοὺς τῶν ἀποθανόντων προστροπαίους,
τοὺς δὲ καθαροὺς ἀδίκως ἀποκτείνοντες ἔνοχοι τοῦ
φόνου τοῖς ἐπιτιμίοις ἐσμέν, ὑμᾶς τε ἄνομα δρᾶν
πείθοντες καὶ τοῦ ὑμετέρου ἁμαρτήματος ὑπαίτιοι
γιγνόμεθα. ἐγὼ μὲν οὖν δεδιὼς ταῦτα, εἰς ὑμᾶς 5
παράγων τὸν ἀσεβήσαντα καθαρὸς τῶν ἐγκλημάτων

1. ἀγῶνα] κρίσιν ZM.
2. ὅτε γὰρ θεὸς — — τροφέας τε καὶ (ita A pr., MZ et editt. ante Bk.) τροφοὺς (?) παρέδωκε Sp., retinens γὰρ § 3 init. — φῦλον NMr.: γένος. — πρώτους NMr.: πρῶτον. — τὴν ante θάλ. om. N. — τούτων ὑπὸ τοῦ θεοῦ ἀξιωθείς (sed ἀξιωθέντος N) τοῦ βίου ἡμῶν codd. et edd. (praeter Mr., qui N sequitur). ἀξιωθεὶς — — ἀποστερεῖ (pro ἀποκτείνει) ci. R. K. coll. β 7; ἀξιωθέντων [του βίου] S.
3. γὰρ del. Fr. S. — 4. cf. Poll. 8, 21: καὶ ὡς Ἀντ. ἐπιτίμιον.

εἰμί· ὑμεῖς δὲ ἀξίως τῶν προειρημένων τῇ κρίσει προσέχοντες τὸν νοῦν, ἀξίαν δίκην τοῦ πάθους τῷ εἰργασμένῳ ἐπιθέντες, ἅπασαν τὴν πόλιν καθαρὰν
6 τοῦ μιάσματος καταστήσετε. εἰ μὲν γὰρ ἄκων ἀπέκτεινε τὸν ἄνδρα, ἄξιος ἂν ἦν συγγνώμης τυχεῖν τινός· ὕβρει δὲ καὶ ἀκολασίᾳ παροινῶν εἰς ἄνδρα πρεσβύτην, τύπτων τε καὶ πνίγων ἕως τῆς ψυχῆς ἀπεστέρησεν αὐτόν, ὡς μὲν ἀποκτείνας τοῦ φόνου τοῖς ἐπιτιμίοις ἔνοχός ἐστιν, ὡς δὲ συγχέων ἅπαντα τῶν γεραιοτέρων τὰ νόμιμα οὐδενὸς ἁμαρτεῖν,
7 οἷς οἱ τοιοῦτοι κολάζονται, δίκαιός ἐστιν. ὁ μὲν τοίνυν νόμος ὀρθῶς ὑμῖν τιμωρεῖσθαι παραδίδωσιν αὐτόν· τῶν δὲ μαρτύρων ἀκηκόατε, οἳ παρῆσαν παροινοῦντι αὐτῷ. ὑμᾶς δὲ χρὴ τῇ τε ἀνομίᾳ τοῦ παθήματος ἀμύνοντας, τήν τε ὕβριν κολάζοντας ἀξίως τοῦ πάθους, τὴν βουλεύσασαν ψυχὴν ἀνταφελέσθαι αὐτόν.

β.

126 | ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ, ΩΣ ΑΜΥΝΟΜΕΝΟΣ ΑΠΕΚΤΕΙΝΕΝ.

ΥΠΟΘΕΣΙΣ.

Ἡ στάσις μετάστασις· μεταφέρει γὰρ ἐπὶ τὸν θεραπεύσαντα ἰατρὸν τὸν φόνον. τὸ γὰρ ἀντεγκληματικὸν ὡς παρεπόμενον ἔλαβεν.

Ὅτι μὲν βραχεῖς τοὺς λόγους ἐποιήσαντο, οὐ θαυμάζω αὐτῶν· οὐ γὰρ ὡς μὴ πάθωσιν ὁ κίνδυνος

5. τῶν εἰργασμένων Z et v. ante R.; τῷ εἰργασμένων A pr. — num καταστήσατε?
6. τὸν γεραιότερον N. haec verba del. Hi.
7. παραδιδοῦσιν N. — τῇ τε ἀνομίᾳ NAB (τοῦ τε ἀνομία M pr.): τήν τε ἀνομίαν.
β. ΦΟΝΟΥ ΩΣ S. Turr.: ΦΟΝΟΥ ΟΝ ΩΣ.

αὐτοῖς ἐστίν, ἀλλ' ὡς ἐμὲ μὴ δικαίως δι' ἔχθραν διαφθείρωσιν· ὅτι δ' ἐξισοῦν τοῖς μεγίστοις ἐγκλήμασιν ἤθελον τὸ πρᾶγμα, οὗ ὁ ἀποθανὼν αὐτῷ αἴτιος καὶ μᾶλλον ἢ ἐγὼ ἐγένετο, εἰκότως ἂν ἀγανακτεῖν μοι δοκῶ. ἄρχων γὰρ χειρῶν ἀδίκων, καὶ παροινῶν εἰς ἄνδρα πολὺ αὑτοῦ σωφρονέστερον, οὐχ αὑτῷ μόνον τῆς συμφορᾶς ἀλλὰ καὶ ἐμοὶ τοῦ ἐγκλήματος αἴτιος ἐγένετο. Οἶμαι μὲν οὖν ἔγωγε οὔτε δίκαια 2
τούτους οὔθ' ὅσια δρᾶν ἐγκαλοῦντας ἐμοί. τὸν γὰρ ἄρξαντα τῆς πληγῆς, εἰ μὲν σιδήρῳ ἢ λίθῳ ἢ ξύλῳ ἠμυνάμην αὐτόν, ἠδίκουν μὲν (ἂν) οὐδ' οὕτως — οὐ γὰρ ταὐτὰ ἀλλὰ μείζονα καὶ πλείονα δίκαιοι οἱ ἄρχοντες ἀντιπάσχειν εἰσί —· ταῖς δὲ χερσὶ τυπτόμενος ὑπ' αὐτοῦ, ταῖς χερσὶν ἅπερ ἔπασχον ἀντιδρῶν, πότερα ἠδίκουν; Εἶεν· ἐρεῖ δέ „ἀλλ' ὁ νόμος εἴργων 3
μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν ἔνοχον τοῦ φόνου τοῖς ἐπιτιμίοις ἀποφαίνει σε ὄντα· ὁ γὰρ ἀνὴρ τέθνηκεν.“ ἐγὼ δὲ καὶ δεύτερον καὶ τρίτον οὐκ ἀποκτεῖναί φημι. εἰ μὲν γὰρ ὑπὸ τῶν πληγῶν ὁ ἀνὴρ παραχρῆμα ἀπέθανεν, ὑπ' ἐμοῦ μὲν δικαίως δ' ἂν ἐτεθνήκει — οὐ γὰρ ταὐτὰ ἀλλὰ μείζονα καὶ πλείονα οἱ ἄρξαντες δίκαιοι ἀντιπάσχειν εἰσί —· νῦν δὲ πολλαῖς 4
ἡμέραις ὕστερον μοχθηρῷ ἰατρῷ ἐπιτρεφθεὶς διὰ τὴν τοῦ ἰατροῦ μοχθηρίαν καὶ οὐ διὰ τὰς πληγὰς ἀπέθανε. προλεγόντων γὰρ αὐτῷ τῶν ἄλλων ἰατρῶν, εἰ ταύτην

1. τοῦ ἐγκλ. αἴτιος ἐγένετο NMr.: αἴτιος τοῦ ἐγκλ. γέγονεν.
2. σιδήρῳ cum AN add. Bk. — εἰσί N: εἰσίν. — πότερα ἂν ἠδ. N.
3. καὶ ante δεύτ. om. N et pr. A. — εἰσί Turr. coll. § 2.
4. μοχθηρῷ NMr.: πονηρῷ. — εἰ] εἰς N. —

τὴν θεραπείαν θεραπεύσοιτο, ὅτι ἰάσιμος ὢν διαφθα-
ρήσοιτο, δι' ὑμᾶς τοὺς συμβούλους διαφθαρεὶς ἐμοὶ
ἀνόσιον ἔγκλημα προσέβαλεν. Ἀπολύει δέ με καὶ ὁ
νόμος καθ' ὃν διώκομαι. τὸν γὰρ ἐπιβουλεύσαντα
κελεύει φονέα εἶναι. ἐγὼ μὲν οὖν πῶς ἂν ἐπεβού-
λευσά τι αὐτῷ, ὃ μὴ καὶ ἐπεβουλεύθην ὑπ' αὐτοῦ; τοῖς
γὰρ αὐτοῖς ἀμυνόμενος αὐτὸν καὶ τὰ αὐτὰ δρῶν ἅπερ
ἔπασχον, σαφὲς ὅτι τὰ αὐτὰ ἐπεβούλευσα καὶ ἐπεβου-
6 λεύθην. Εἰ δέ τις ἐκ τῶν πληγῶν τὸν θάνατον
οἰόμενος γενέσθαι φονέα με αὐτοῦ ἡγεῖται εἶναι,
ἀντιλογισάσθω ὅτι διὰ τὸν ἄρξαντα αἱ πληγαὶ γενό-
μεναι τοῦτον αἴτιον τοῦ θανάτου καὶ οὐκ ἐμὲ ἀπο-
φαίνουσιν ὄντα· οὐ γὰρ ἂν ἠμυνάμην μὴ τυπτόμενος
ὑπ' αὐτοῦ. ἀπολυόμενος δὲ ὑπό τε τοῦ νόμου ὑπό
τε τοῦ ἄρξαντος τῆς πληγῆς ἐγὼ μὲν οὐδενὶ τρόπῳ
φονεὺς αὐτοῦ εἰμί, ὁ δὲ ἀποθανών, εἰ μὲν ἀτυχίᾳ
τέθνηκε, τῇ ἑαυτοῦ ἀτυχίᾳ κέχρηται (ἠτύχησε γὰρ
ἄρξας τῆς πληγῆς), εἰ δ' ἀβουλίᾳ τινί, τῇ ἑαυτοῦ
ἀβουλίᾳ διέφθαρται· οὐ γὰρ εὖ φρονῶν ἔτυπτέ με.
7 Ὡς μὲν οὖν οὐ δικαίως κατηγοροῦμαι, ἱκανῶς
ἐπιδέδεικταί μοι. ἐθέλω δὲ τοὺς κατηγοροῦντάς μου
πᾶσιν οἷς ἐγκαλοῦσιν ἐνόχους αὐτοὺς ὄντας ἀποδεῖξαι.
καθαρῷ μέν μοι τῆς αἰτίας ὄντι φόνον ἐπικαλοῦντες,

ἔγκλημα om. N.

5. ἐπεβούλευσα K. coll. δ 5 et 2 γ 3: ἐπιβουλεύσαιμι. τι add. W. — ὃ μὴ scripsi: εἰ μὴ (K. post μὴ add. τὰ αὐτὰ ἐπεβούλευσα).

6. εἶναι om. N. — νόμου ὑπό τε τοῦ e coni. R. add. Turr. — τέθνηκε N: τέθνηκεν.

7. ἱκανῶς add. ZM. — μου om. A pr., quod prob. S. — οἷς ἐμοὶ ἐγκαλοῦσιν Hi. — ἀποδεῖξαι N A Mr.: ἐπιδεῖξαι. — μὲν (γὰρ) Mr. — μοι] τοι N. — ἐπικαλοῦντες K.: ἐπιβου-

ἀποστεροῦντες δέ με τοῦ βίου ὃν ὁ θεὸς παρέδωκέ μοι, περὶ τὸν θεὸν ἀσεβοῦσιν (ἀδίκως δὲ) θάνατον ἐπιβουλεύοντες τά τε νόμιμα συγχέουσι φονεῖς τέ μου γίγνονται· ἀνοσίως δ' ἀποκτεῖναι ὑμᾶς με πείθοντες καὶ τῆς ὑμετέρας ἀσεβείας (αἴτιοι ὄντες) αὐτοὶ φονεῖς εἰσί.

Τούτοις μὲν οὖν ὁ θεὸς ἐπιθείη τὴν δίκην· ὑμᾶς 8
δὲ χρὴ τὸ ὑμέτερον σκοποῦντας ἀπολῦσαί με μᾶλλον ἢ καταλαβεῖν βούλεσθαι. ἀδίκως μὲν γὰρ ἀπολυθείς,
διὰ τὸ μὴ | ὀρθῶς ὑμᾶς διδαχθῆναι ἀποφυγών, τοῦ 127
μὴ διδάξαντος καὶ οὐχ ὑμέτερον τὸν προστρόπαιον τοῦ ἀποθανόντος καταστήσω· μὴ ὀρθῶς δὲ καταληφθεὶς ὑφ' ὑμῶν ὑμῖν καὶ οὐ τούτῳ τὸ μήνιμα τῶν
ἀλιτηρίων προστρίψομαι. ταῦτ' οὖν εἰδότες, τουτοισὶ 9
τὸ ἀσέβημα τοῦτο ἀναθέντες, αὐτοί τε καθαροὶ τῆς αἰτίας γένεσθε, ἐμέ τε ὁσίως καὶ δικαίως ἀπολύετε· οὕτω γὰρ ἂν καθαρώτατοι πάντες οἱ πολῖται εἴημεν.

γ.

ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Ἐν τούτῳ φησὶν [θαυμάζω] ὅτι οὐκ εἰκὸς ἄρξαι χειρῶν ἀδίκων τὸν πρεσβύτερον. εἶτα ὅτι εἰ καὶ οὕτως ἔχει, ὁ μέχρι φόνου ἀμυνόμενος ὑπεύθυνος. καὶ περὶ τοῦ ἰατροῦ, ὡς δι' ἀπειρίαν ἐσφάλη, ἀνεύθυνος ὤν.

Τοῦτόν τε οὐ θαυμάζω ἀνόσια δράσαντα ὅμοια

λεύοντες. — δέ με] δέ μου AB et pr. M; δέ μοι pr. A. — ἀσεβείας scripsi: εὐσεβείας. cf. 5, 88. αἴτιοι ὄντες perinde addendum erat atque δ, 5; cf. α 4.

8. ἡμέτερον pr. A. — ὑμᾶς διδαχθ. NMr.: διδ. ὑμας. γ. Ὑπόθ.]. θαυμάζω del. S. (θαυμάζων Bait.). φησὶ

οἷς εἴργασται λέγειν, ὑμῖν τε συγγιγνώσκω βουλομένοις τὴν ἀκρίβειαν τῶν πραχθέντων μαθεῖν τοιαῦτα ἀνέχεσθαι ἀκούοντας αὐτοῦ, ἃ ἐκβάλλεσθαι ἄξιά ἐστι. τὸν γὰρ ἄνδρα ὁμολογῶν τύπτειν τὰς πληγὰς ἐξ ὧν ἀπέθανεν, αὐτὸς μὲν τοῦ τεθνηκότος οὔ φησι φονεὺς εἶναι, ἡμᾶς δὲ τοὺς τιμωροῦντας αὐτῷ ζῶν τε καὶ βλέπων φονέας αὐτοῦ φησὶν εἶναι. θέλω δὲ καὶ τὰ ἄλλα παραπλήσια ἀπολογηθέντα τούτοις ἐπιδεῖξαι αὐτόν.

2 Εἶπε δὲ πρῶτον μέν, εἰ καὶ ἐκ τῶν πληγῶν ἀπέθανεν ὁ ἀνήρ, ὡς οὐκ ἀπέκτεινεν αὐτόν· τὸν γὰρ ἄρξαντα τῆς πληγῆς, τοῦτον αἴτιον τῶν πραχθέντων γενόμενον καταλαμβάνεσθαι ὑπὸ τοῦ νόμου, ἄρξαι δὲ τὸν ἀποθανόντα. μάθετε δὴ πρῶτον μὲν ὅτι ἄρξαι καὶ παροινεῖν τοὺς νεωτέρους τῶν πρεσβυτέρων εἰκότερόν ἐστι· τοὺς μὲν γὰρ ἥ τε μεγαλοφροσύνη τοῦ γένους ἥ τε ἀκμὴ τῆς ῥώμης ἥ τε ἀπειρία τῆς μέθης ἐπαίρει τῷ θυμῷ χαρίζεσθαι, τοὺς δὲ ἥ τε ἐμπειρία τῶν παροινουμένων ἥ τε ἀσθένεια τοῦ γήρως ἥ τε
3 δύναμις τῶν νέων φοβοῦσα σωφρονίζει. Ὡς δὲ οὐδὲ τοῖς αὐτοῖς ἀλλὰ τοῖς ἐναντιωτάτοις ἠμύνατο αὐτόν, αὐτὸ τὸ ἔργον σημαίνει. ὁ μὲν γὰρ ἀκμαζούσῃ τῇ ῥώμῃ τῶν χειρῶν χρώμενος ἀπέκτεινεν· ὁ δὲ ἀδυνάτως τὸν κρείσσονα ἀμυνόμενος, οὐδὲ σημεῖον οὐ-

omnes; pro ἐν τούτῳ N praebet ἐκ τούτων, ex quo etiam manifestius principium orationis hic temere admixtum esse.

1. δι' ἃ ἐκβ. ἄξιός ἐστι Hi. — τὰ ἄλλα N: τἆλλα.

2. vv. εἶπε — αὐτὸν in margine habet A. — καὶ παροινεῖν] τοῦ παρ. ci. R. — vv. ἥ τε μεγαλοφρ. τοῦ γένους. τῷ θυμῷ χαρίζ., ἥ τε δύναμις τῶν νέων del. K. — παροινουμένων e coni. R. Turr.: παρανομουμένων.

3. οὐδὲ NMr.: οὐ. —

*δὲν ὧν ἠμύνατο ὑπολιπὼν ἀπέθανεν. Εἰ δὲ ταῖς
χερσὶν ἀπέκτεινε καὶ οὐ σιδήρῳ, ὅσον αἱ χεῖρες οἰ-
κειότεραι τοῦ σιδήρου τούτῳ εἰσί, τοσούτῳ μᾶλλον
φονεύς ἐστιν. Ἐτόλμησε δὲ εἰπεῖν ὡς ὁ ἄρξας τῆς* 4
*πληγῆς καὶ μὴ διαφθείρας μᾶλλον τοῦ ἀποκτείναν-
τος φονεύς ἐστι· τοῦτον γὰρ βουλευτὴν τοῦ θανάτου
φησὶ γενέσθαι. ἐγὼ δὲ πολὺ τἀναντία τούτων φημί.
εἰ γὰρ αἱ χεῖρες ἃ διανοούμεθα ἑκάστῳ ἡμῶν ὑπουρ-
γοῦσιν, ὁ μὲν πατάξας καὶ μὴ ἀποκτείνας τῆς πληγῆς
βουλευτὴς ἐγένετο, ὁ δὲ θανασίμως τύπτων τοῦ θα-
νάτου· ἐκ γὰρ ὧν ἐκεῖνος διανοηθεὶς ἔδρασεν, ὁ
ἀνὴρ τέθνηκεν. Ἔστι δὲ ἡ μὲν ἀτυχία τοῦ πατάξαν-
τος, ἡ δὲ συμφορὰ τοῦ παθόντος. ὁ μὲν γὰρ ἐξ ὧν
ἔδρασεν ἐκεῖνος διαφθαρείς, οὐ τῇ ἑαυτοῦ ἁμαρτίᾳ
ἀλλὰ τῇ τοῦ πατάξαντος χρησάμενος ἀπέθανεν· ὁ δὲ
μείζω ὧν ἤθελε πράξας, τῇ ἑαυτοῦ ἀτυχίᾳ ὃν οὐκ
ἤθελεν ἀπέκτεινεν. Ὑπὸ δὲ τοῦ ἰατροῦ φάσκων αὐ-* 5
*τὸν ἀποθανεῖν, θαυμάζω ὅτι οὐχ ὑφ᾽ ἡμῶν τῶν
συμβουλευσάντων ἐπιτρεφθῆναί φησιν αὐτὸν δια-
φθαρῆναι. καὶ γὰρ ἂν εἰ μὴ ἐπετρέψαμεν, ὑπ᾽ ἀθε-
ραπείας ἂν ἔφη διαφθαρῆναι αὐτόν. εἰ δέ τοι καὶ
ὑπὸ τοῦ ἰατροῦ ἀπέθανεν, ὡς οὐκ ἀπέθανεν, ὁ μὲν
ἰατρὸς οὐ φονεὺς αὐτοῦ ἐστίν (ὁ γὰρ νόμος ἀπολύει
αὐτόν), διὰ δὲ τὰς τούτου πληγὰς ἐπιτρεψάντων ἡμῶν
αὐτῷ, πῶς ἂν ἄλλος τις ἢ ὁ βιασάμενος ἡμᾶς χρῆ-
σθαι αὐτῷ φονεὺς εἴη ἄν;*

ὧν ἠμύνατο ὑπολείπων NMr.: *ὑπολιπὼν ὧν ἠμύνατο.* — *οἰκειότ. τοῦ σιδήρου* NMr.: *τοῦ σιδ. οἰκειότ.*

4. *ἀπέθανεν*] *ἔπαθεν* N.

5. (*οὐ*) *θαυμάζω ὅτι* [*οὐχ*] Hi. coll. *β* 4.

6 *Οὕτως δὲ φανερῶς ἐκ παντὸς τρόπου ἐλεγχόμε-*
νος ἀποκτεῖναι τὸν ἄνδρα, εἰς τοῦτο τόλμης καὶ ἀναι-
δείας ἥκει, ὥστ᾽ οὐκ ἀρκοῦν αὐτῷ ἐστὶν ὑπὲρ τῆς
αὑτοῦ ἀσεβείας ἀπολογεῖσθαι, ἀλλὰ καὶ ἡμᾶς, οἳ τὸ
128 *τούτου μίασμα ἐπεξερχόμεθα, ἀθέμιστα καὶ | ἀνόσια*
δρᾶν φησί. τούτῳ μὲν οὖν πρέπει καὶ ταῦτα καὶ ἔτι
7 *τούτων δεινότερα λέγειν, τοιαῦτα δεδρακότι· ἡμεῖς*
δὲ τόν (τε) θάνατον φανερὸν ἀποδεικνύντες, τήν τε
πληγὴν ὁμολογουμένην ἐξ ἧς ἀπέθανε, τόν τε νόμον
εἰς τὸν πατάξαντα τὸν φόνον ἀνάγοντα, ἀντὶ τοῦ
παθόντος ἐπισκήπτομεν ὑμῖν τῷ τούτου φόνῳ τὸ
μήνιμα τῶν ἀλιτηρίων ἀκεσαμένους πᾶσαν τὴν πόλιν
καθαρὰν τοῦ μιάσματος καταστῆσαι.

δ.

ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ.

Ὁ μὲν ἀνήρ, οὐ καταγνοὺς αὐτὸς αὑτοῦ ἀλλὰ
τὴν σπουδὴν τῶν κατηγόρων φοβηθείς, ὑπαπέστη·
ἡμῖν δὲ τοῖς φίλοις ζῶντι ἢ ἀποθανόντι εὐσεβέστε-
ρον ἀμύνειν αὐτῷ. ἄριστα μὲν οὖν αὐτὸς ἂν ὑπὲρ
αὑτοῦ ἀπελογεῖτο· ἐπεὶ δὲ τάδε ἀκινδυνότερα ἔδοξεν
εἶναι, ἡμῖν, οἷς μέγιστον ἂν πένθος γένοιτο στερη-
2 *θεῖσιν αὐτοῦ, ἀπολογητέον.*
Δοκεῖ δέ μοι περὶ τὸν ἄρξαντα τῆς πληγῆς τὸ

6. *οὕτως* A corr. Turr. Mr.: *οὕτω* Bk. Dobs., *οὗτος* cett. — *ἐκ παντὸς τρόπ. ἐλεγχόμ.* N Mr.: *ἐλεγχ. ἐκ παντὸς τρ.* — *αὐτοῦ* NAMFr.

7. *παθόντος*] *ἀποθανοντος* N. contrarium accidit § 4.

δ 1. *ἂν* post *αὐτὸς* cum AN add. Bk. — *ἀκινδυνότερα* cum N (et fort. AB) Mr.: *ἀκινδυνότερον.* — *εἶναι, ἡμῖν* Hi.: *ἡμῖν εἶναι,.*

ἀδίκημα εἶναι. ὁ μὲν οὖν διώκων οὐκ εἰκόσι τε-
κμηρίοις χρώμενος τοῦτον τὸν ἄρξαντά φησιν εἶναι.
εἰ μὲν γὰρ ὥσπερ βλέπειν μὲν τοῖν ὀφθαλμοῖν ἀκούειν
δὲ τοῖς ὠσίν, οὕτω κατὰ φύσιν ἦν ὑβρίζειν μὲν
τοὺς νέους σωφρονεῖν δὲ τοὺς γέροντας, οὐδὲν ἂν
τῆς ὑμετέρας κρίσεως ἔδει· αὐτὴ γὰρ ἡ ἡλικία τῶν
νέων κατέκρινε· νῦν δὲ πολλοὶ μὲν νέοι σωφρονοῦν-
τες πολλοὶ δὲ πρεσβῦται παροινοῦντες οὐδὲν μᾶλλον
τῷ διώκοντι ἢ τῷ φεύγοντι τεκμήριον γίγνονται.
κοινοῦ δὲ τοῦ τεκμηρίου ἡμῖν ὄντος τούτῳ τῷ παντὶ 3
προέχομεν· οἱ γὰρ μάρτυρες τοῦτόν φασιν ἄρξαι τῆς
πληγῆς. ἄρξαντος δὲ τούτου, καὶ τῶν ἄλλων ἁπάν-
των (τῶν) κατηγορουμένων ἀπολύεται τῆς αἰτίας.
εἴ τε γὰρ ὁ πατάξας, διὰ τὴν πληγὴν βιασάμενος
ὑμᾶς ἐπιτρεφθῆναι ἰατρῷ, μᾶλλον τοῦ ἀποκτείναν-
τος φονεύς ἐστιν, ὁ ἄρξας τῆς πληγῆς φονεὺς γί-
γνεται. οὗτος γὰρ ἠνάγκασε τόν τε ἀμυνόμενον ἀντι-
τύπτειν τόν τε πληγέντα ἐπὶ τὸν ἰατρὸν ἐλθεῖν.
ἀνόσια γὰρ (ἂν) ὅ γε διωκόμενος πάθοι, εἰ μήτε
ἀποκτείνας ὑπὲρ τοῦ ἀποκτείναντος μήτε ἄρξας ὑπὲρ
τοῦ ἄρξαντος φονεὺς ἔσται. Ἔστι δὲ οὐδὲ ὁ ἐπιβου- 4
λεύσας οὐδὲν μᾶλλον ὁ διωκόμενος τοῦ διώκοντος.

2. τοῖν ὀφθαλμοῖν NW.: τοῖς ὀφθαλμοῖς. — οὕτω καὶ ci. R. — num αὐτὴ γὰρ ἂν? — τῶν νέων N et pr. A (τὸν νέων pr. M.) Mr.: τὸν νέον. — γίνονται NAB Bk.: γίνεται.
3. τούτῳ] τούτου ci. S., οὕτω W. — ἁπάντων (τῶν) Bk. in Add. Mr. — εἴ τε γὰρ] εἰ γὰρ K. Non recte, puto. idem pro ἐπιτρεφθῆναι ci. χρῆσθαι, addens συμβουλεῦσαι post βιασάμενος. (sed ὑμᾶς etiam mortuum complectitur.) denique μᾶλλον τοῦ ἀποκτ. post φονεύς ἐστιν transponi vult. -- ἂν post add. Turr. — ὅ γε A (ft. corr.) Dobs. Turr.: ὅ,τε N, ὅτε B, ὅδε v.; ὁ Mr., recte ft. — ὑπὲρ] ὑπὸ N et pr. A.
4. μᾶλλον ἢ ὁ N. —

εἰ (μὲν) γὰρ ὁ μὲν ἄρξας τῆς πληγῆς τύπτειν καὶ μὴ ἀποκτείνειν διενοήθη, ὁ δὲ ἀμυνόμενος ἀποκτεῖναι, οὗτος ἂν ὁ ἐπιβουλεύσας εἴη. νῦν δὲ καὶ ὁ ἀμυνόμενος τύπτειν καὶ οὐκ ἀποκτεῖναι διανοηθεὶς ἥμαρ-
5 *τεν, εἰς ἃ οὐκ ἠβούλετο πατάξας. τῆς μὲν οὖν πληγῆς βουλευτὴς ἐγένετο, τὸν δὲ θάνατον πῶς ἂν ἐπεβούλευσεν, ὅν γε ἀκουσίως (οὕτως) ἐπάταξεν; Οἰκεῖον δὲ καὶ τὸ ἁμάρτημα τῷ ἄρξαντι μᾶλλον ἢ τῷ ἀμυνομένῳ ἐστίν. ὁ μὲν γὰρ ἃ ἔπασχεν ἀντιδρᾶν ζητῶν, ὑπ' ἐκείνου βιαζόμενος ἐξήμαρτεν· ὁ δὲ διὰ τὴν ἑαυτοῦ ἀκολασίαν πάντα δρῶν καὶ πάσχων, καὶ τῆς ἑαυτοῦ καὶ τῆς ἐκείνου ἁμαρτίας (αἴτιος ὢν)*
6 *δικαιότερος φονεύς εἶναί ἐστιν. Ὡς δὲ οὐδὲ κρεισσόνως ἀλλὰ πολὺ ὑποδεεστέρως ὧν ἔπασχεν ἠμύνετο, διδάξω. ὁ μὲν ὑβρίζων καὶ παροινῶν πάντ' ἔδρα καὶ οὐδὲν ἠμύνετο· ὁ δὲ μὴ πάσχειν ἀλλ' ἀπωθεῖσθαι ζητῶν, ἅ τε ἔπασχεν ἀκουσίως ἔπασχεν, ἅ τ' ἔδρασε τὰ παθήματα βουλόμενος διαφυγεῖν ἐλασσόνως ἢ κατ'*
7 *ἀξίαν τὸν ἄρξαντα ἠμύνετο, καὶ οὐκ ἔδρα. Εἰ δὲ κρείσσων ὢν τὰς χεῖρας κρεισσόνως ἠμύνετο ἢ ἔπασχεν, οὐδ' οὕτω δίκαιος ὑφ' ὑμῶν καταλαμβάνεσθαί*

ἠβούλετο NMr.: *ἐβούλετο.*

5. *ὅς γε ἀκουσ. ἐπάτ.* Fr. S. Turr.; *ᾧ γε ἀκ. ἐπάτ.* vel *ὅν γε ἀκ. ἔπραξεν* Sch. — *καὶ* post *οἰκ. δὲ* add. NMr. — *ἑαυτοῦ ἀκολ.* N: *αὑτοῦ ἀκολ.* — *καὶ τῆς ἑαυτοῦ* om. N. — *αἴτιος ὢν* add. Mr. (*αἴτιος* add. Stephan.; pro *καὶ τῆς ἑαυτοῦ*, *ἐκ τῆς ἑαυτοῦ* scribi iubet R.). — *δικαιότερος* ZM et v. ante Bk.: *δίκαιος* NABBk. et post eum omnes. Sed *φονεύς* ei qui loquitur non est occisus ipse, sed medicus, cf. § 8.

6. *κρεισσόνως* e coni. R. Bk.: *κρεῖσσον ὢν* NA; *κρείσσων ὢν* cett. — *ὑποδεεστέρως* e coni. R. Bk.: *ὑποδεέστερος.* — *ὁ μὲν (γὰρ)* auctore R. Mr. — *οὐδὲν ἠμύνετο* S.: *οὐδ. ἠμύνατο.*

ἐστι. τῷ μὲν γὰρ ἄρξαντι πανταχοῦ μεγάλα ἐπιτίμια
ἐπίκειται, τῷ δὲ ἀμυνομένῳ οὐδαμοῦ οὐδὲν ἐπιτίμιον
γέγραπται. Πρὸς δὲ τὸ μήτε δικαίως μήτε ἀδίκως 8
ἀποκτείνειν ἀποκέκριται· οὐ γὰρ ὑπὸ τῶν πληγῶν
ἀλλ' ὑπὸ τοῦ ἰατροῦ ὁ ἀνὴρ ἀπέθανεν, ὡς οἱ μάρ-
τυρες μαρτυροῦσιν. Ἔστι δὲ καὶ ἡ τύχη τοῦ ἄρξαν-
τος καὶ οὐ τοῦ ἀμυνομένου. ὁ μὲν γὰρ ἀκουσίως
πάντα δράσας καὶ παθὼν ἀλλοτρίᾳ τύχῃ κέχρηται·
ὁ δὲ ἑκουσίως πάντα δράσας, ἐκ | τῶν αὑτοῦ ἔργων 129
τὴν τύχην προσαγαγόμενος, τῇ αὑτοῦ ἀτυχίᾳ ἥμαρτεν.

Ὡς μὲν οὖν οὐδενὶ ἔνοχος τῶν κατηγορημένων 9
ὁ διωκόμενός ἐστιν, ἀποδέδεικται. εἰ δέ τις κοινὴν
μὲν τὴν πρᾶξιν κοινὴν δὲ τὴν ἀτυχίαν αὐτῶν ἡγού-
μενος εἶναι μηδὲν ἀπολύσιμον μᾶλλον ἢ καταλήψι-
μον ἐκ τῶν λεγομένων γιγνώσκει αὐτὸν ὄντα, καὶ
οὕτως ἀπολύειν μᾶλλον ἢ καταλαμβάνειν δίκαιός ἐστι.
τόν τε γὰρ διώκοντα οὐ δίκαιον καταλαμβάνειν, μὴ
σαφῶς διδάξαντα ὅτι ἀδικεῖται· τόν τε φεύγοντα
ἀνόσιον ἁλῶναι, μὴ φανερῶς ἐλεγχθέντα ἃ ἐπικαλεῖ-
ται. οὑτωσὶ δὲ ἐκ παντὸς τρόπου τῶν ἐγκλημάτων 10
ἀπολυομένου τοῦ ἀνδρός, ἡμεῖς ὁσιώτερον ὑμῖν ἐπι-
σκήπτομεν ὑπὲρ αὐτοῦ, μὴ τὸν φονέα ζητοῦντας
κολάζειν τὸν καθαρὸν ἀποκτείνειν. ὅ τε γὰρ ἀπο-

8. πρὸς] πρὸ N. — μήτε δικαίως auctore R. Bk.: μὴ δικαίως. — προςαγαγόμενος scripsi (προςαγόμενος e coni. R. Turr.): προαγόμενος.

9. οὕτως] οὗτος pr. A., οὐ τοῦ N. — post ἀπολύειν μᾶλλον vv. ἢ καταλήψιμον — ἀπολύειν μᾶλλον iterat N, ἢ καταλήψιμον — αὐτὸν ὄντα iterat A pr. — δίκαιός NMr.: δίκαιόν.

10. ζητεῖν ἀποκτείνειν codd., praeter A pr., et v. ante Bk. — ἀποκτείνας corruptum est; ἀποθανὼν Emper. W, deletis quae sequuntur verbis τοῦ ἀποθανόντος, pro quibus τούτου ἀποθ. restit. S. Turr. Num παθὼν τούτου ἀποθαν.? —

κτείνας τούτου ἀποθανόντος οὐδὲν ἧσσον τοῖς αἰτίοις προστρόπαιος ἔσται, οὗτός τε ἀνοσίως διαφθαρεὶς διπλάσιον καθίστησι τὸ μήνιμα τῶν ἀλιτηρίων τοῖς
11 ἀποκτείνασιν αὐτόν. ταῦτα οὖν δεδιότες τὸν μὲν καθαρὸν ὑμέτερον ἡγεῖσθε εἶναι ἀπολύειν τῆς αἰτίας, τὸν δὲ μιαρὸν τῷ χρόνῳ ἀποδόντες φῆναι τοῖς ἔγγιστα τιμωρεῖσθαι ὑπολείπετε· οὕτω γὰρ ἂν δικαιότατα καὶ ὁσιώτατα πράξαιτ᾽ ἄν.

5.

ΠΕΡΙ ΤΟΥ ΗΡΩΔΟΥ ΦΟΝΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἕλος τις Μιτυληναῖος ἀνὴρ ἐξ Ἀθηνῶν κατὰ ταὐτὸν ἀνήγετο Ἡρώδῃ εἰς τὴν Αἶνον· ὡς δὲ πλέοντες ἐγένοντο ἐν τῇ Μηθύμνῃ τῆς Λέσβου, ἐπειδὴ ἀστέγαστον ἦν τὸ πλοῖον, εὑρόντες ἕτερον ἐστεγασμένον μετέβησαν. εἰσελθόντων δὲ αὐτῶν ἐν αὐτῷ ἐξῆλθε περὶ τὴν ἑσπέραν ὁ Ἡρώδης καὶ οὐκέτι εἰσῆλθεν. ἐπανελθόντος οὖν αὐτοῦ τοῦ Ἕλου μόνου, οἱ συγγενεῖς τοῦ τελευτήσαντος ἐγράψαντο μὲν τὸν Ἕλον ὡς κακοῦργον, ἐν δὲ τῷ δικαστηρίῳ ἀγωνιζόμενοι εἶπον, ὅτι καὶ ἀπέκτεινεν αὐτόν. ὁ δὲ τὸ μὲν τῆς κακουργίας ἔγκλημα ἀπολύεται παραγραφικῶς, λέγων κακούργους εἶναι τοὺς κλέπτας καὶ λωποδύτας, ὧν οὐδὲν ἀπέδειξάν με ποιήσαντα· μεταβαίνει δ᾽ ἐπὶ τὴν ὑπὲρ τοῦ φόνου ἀπολογίαν, καὶ στοχαστικῶς ἀγωνίζεται. τὰ δὲ ἀπ᾽ ἀρχῆς ἄχρι τέλους κοινά.

Ἐβουλόμην μέν, ὦ ἄνδρες, τὴν δύναμιν τοῦ

ἔσται K.: ἐστιν. idem et καταστήσει; sed cf. 3 γ 11: ἔσεσθε — καθίστασθε. — μήνιμα Br. coll. γ 7: μίασμα.

11. τὸν μὲν] τὸ μὲν N. — ἡγεῖσθαι N et pr. A. — ἔγγιστα] ἄγχιστα ci. Mr., sicut 2 α 6. — γὰρ ἂν N Mr.: γάρ. V. Ὑπόθ.] Ἕλος nomen e vitiosa lectione ἕλος σωθεὶς

λέγειν καὶ τὴν ἐμπειρίαν τῶν πραγμάτων ἐξ ἴσου μοι καθεστάναι τῇ τε συμφορᾷ καὶ τοῖς κακοῖς τοῖς γεγενημένοις· νῦν δὲ τοῦ μὲν πεπείραμαι πέρα τοῦ προσήκοντος, τοῦ δὲ ἐνδεής εἰμι μᾶλλον τοῦ συμφέροντος. οὗ μὲν γάρ με ἔδει κακοπαθεῖν τῷ σώματι 2
μετὰ τῆς αἰτίας τῆς οὐ προσηκούσης, ἐνταυθοῖ οὐδέν με ὠφέλησεν ἡ ἐμπειρία· οὗ δέ με δεῖ σωθῆναι μετὰ τῆς ἀληθείας εἰπόντα τὰ γενόμενα, ἐν τούτῳ με βλάπτει ἡ τοῦ λέγειν ἀδυναμία. πολλοὶ μὲν γὰρ 3
ἤδη τῶν οὐ δυναμένων λέγειν ἄπιστοι γενόμενοι τοῖς ἀληθέσιν, αὐτοῖς τούτοις ἀπώλοντο, οὐ δυνάμενοι δηλῶσαι αὐτά· πολλοὶ δὲ τῶν λέγειν δυναμένων πιστοὶ γενόμενοι τῷ ψεύδεσθαι, τούτῳ ἐσώθησαν [διότι ἐψεύσαντο]. ἀνάγκη οὖν, ὅταν τις ἄπειρος ᾖ τοῦ ἀγωνίζεσθαι, ἐπὶ τοῖς τῶν κατηγόρων λόγοις εἶναι μᾶλλον ἢ ἐπ' αὐτοῖς τοῖς ἔργοις καὶ τῇ ἀληθείᾳ τῶν πραγμάτων. ἐγὼ οὖν ὦ ἄνδρες αἰτήσομαι 4
ὑμᾶς, οὐχ ἅπερ οἱ πολλοὶ τῶν ἀγωνιζομένων ἀκροᾶσθαι σφῶν αὐτῶν αἰτοῦνται, σφίσι μὲν αὐτοῖς ἀπιστοῦντες, ὑμῶν δὲ προκατεγνωκότες ἄδικόν τι (εἰκὸς

§ 19 fluxit, et omnino hoc argumentum erroribus foedissimis refertum est. Extrema verba corrupta: num ἄχρι τινὸς pro ἄχρι τέλους?

1. καθιστάναι BZM et edit. ante R. — τοῦ προσήκοντος πέρα pr. A.

2. ἀπειρία ci. S. pro ἐμπειρία. — ἀδυνασία S. coll. B. A. p. 345, 26: ἀδυνασία ὡς Ἀντιφῶν καὶ Θουκυδίδης.

3. μὲν γὰρ N Mr.: γάρ. — οὐ δυνάμ. δ. αὐτά et διότι ἐψεύσαντο del. Dobr. — δυναμένων om. N et pr. A. — (αὐτῷ) τούτῳ Bait. — οὖν] μὲν ZM.

4. post αἰτήσομαι add. δὲ N. — ἅπερ] ὅπερ Z. — ἀπιστ.] πιστεύοντες S.

γὰρ ἐν ἀνδράσι γε ἀγαθοῖς καὶ ἄνευ τῆς αἰτήσεως τὴν ἀκρόασιν ὑπάρχειν τοῖς φεύγουσιν, οὗπερ καὶ
5 οἱ διώκοντες ἔτυχον ἄνευ αἰτήσεως)· τάδε δὲ δέομαι ὑμῶν, τοῦτο μὲν ἐάν τι τῇ γλώσσῃ ἁμάρτω, συγγνώμην ἔχειν μοι, καὶ ἡγεῖσθαι ἀπειρίᾳ αὐτὸ μᾶλλον ἢ ἀδικίᾳ ἡμαρτῆσθαι, τοῦτο δὲ ἐάν τι ὀρθῶς εἴπω, ἀληθείᾳ μᾶλλον ἢ δεινότητι (εὖ) εἰρῆσθαι. οὐ γὰρ δίκαιον οὔτ' ἔργῳ ἁμαρτόντα διὰ ῥήματα σωθῆ-
130 ναι, | οὔτ' ἔργῳ ὀρθῶς πράξαντα διὰ ῥήματα ἀπολέσθαι· τὸ μὲν γὰρ ῥῆμα τῆς γλώσσης ἁμάρτημά
6 ἐστι, τὸ δὲ ἔργον τῆς γνώμης. ἀνάγκη δὲ κινδυνεύοντα περὶ αὑτοῦ καί πού τι καὶ ἐξαμαρτεῖν. οὐ γὰρ μόνον τῶν λεγομένων ἀνάγκη ἐνθυμεῖσθαι, ἀλλὰ καὶ τῶν ἐσομένων· ἅπαντα γὰρ τὰ ἐν ἀδήλῳ ἔτ' ὄντα ἐπὶ τῇ τύχῃ μᾶλλον ἀνάκειται ἢ τῇ προνοίᾳ. ταῦτ' οὖν ἔκπληξιν πολλὴν παρέχειν ἀνάγκη ἐστὶ τῷ κινδυ-
7 νεύοντι. ὁρῶ γὰρ ἔγωγε καὶ τοὺς πάνυ ἐμπείρους τοῦ ἀγωνίζεσθαι πολλῷ χεῖρον ἑαυτῶν λέγοντας, ὅταν ἔν τινι κινδύνῳ ὦσιν· ὅταν δ' ἄνευ κινδύνων τι διαπράσσωνται, μᾶλλον ὀρθουμένους. ἡ μὲν οὖν αἴτησις ὦ ἄνδρες καὶ νομίμως καὶ ὁσίως ἔχουσα. καὶ ἐν τῷ ὑμετέρῳ δικαίῳ οὐχ ἧσσον ἢ ἐν τῷ ἐμῷ·

5. δὲ post τάδε om. pr. A pr. M. -- συγγν. ἔχειν μοι ante τοῦτο μὲν exstat in codd.; transp. Bait., cui postea etiam S. assensus est. — αὐτὸ μᾶλλον ἢ NMr.: μᾶλλον αὐτὸ ἢ AB Bk.; μᾶλλον αὐτὴ ἡ ZM, μ. αὐτὴν ἢ Ald. — εὖ inser. Hi. — οὐ γὰρ δίκ. κτέ.] cf. Stobae. flor. 46, 65, qui pro διὰ ῥήματα σωθῆναι habet ῥήματι σωθ., pro διὰ ῥήμ. ἀπολέσθαι autem διὰ ῥῆμα ἀπολ. Quae lect. haud scio an praeferendae sint. — ἀπολεῖσθαι N et pr. A.

6. περὶ αὑτῷ codd. cf. § 62; 2 α 4; δ 5; 6, 1. — ante καί που intercidisse ἐκπληχθῆναι vel simile quid ci. Mr.

7. διαπράσσονται N Ald. —

περὶ δὲ τῶν κατηγορημένων ἀπολογήσομαι καθʼ ἕκαστον.

Πρῶτον μὲν οὖν, ὡς παρανομώτατα καὶ βιαιό- 8
τατα εἰς τόνδε τὸν ἀγῶνα καθέστηκα, τοῦτο ὑμᾶς
διδάξω, οὐ τῷ φεύγειν ἂν τὸ πλῆθος τὸ ὑμέτερον,
ἐπεὶ κἂν ἀνωμότοις ὑμῖν καὶ μὴ κατὰ νόμον μηδένα
ἐπιτρέψαιμι περὶ τοῦ σώματος τοῦ ἐμοῦ διαψηφίσα-
σθαι, ἕνεκά γε τοῦ πιστεύειν ἐμοί τε μηδὲν ἐξημαρ-
τῆσθαι εἰς τόδε τὸ πρᾶγμα καὶ ὑμᾶς γνώσεσθαι τὰ
δίκαια, ἀλλʼ ἵνα ᾖ τεκμήρια ὑμῖν καὶ τῶν ἄλλων
πραγμάτων τῶν εἰς ἐμὲ ἡ τούτων βιαιότης καὶ παρα-
νομία. πρῶτον μὲν γὰρ κακοῦργος ἐνδεδειγμένος 9
φόνου δίκην φεύγω, ὃ οὐδεὶς πώποτʼ ἔπαθε τῶν ἐν
τῇ γῇ ταύτῃ. καὶ ὡς μὲν οὐ κακοῦργός εἰμι οὐδʼ
ἔνοχος τῷ τῶν κακούργων νόμῳ, αὐτοὶ οὗτοι τού-
του γε μάρτυρες γεγένηνται. περὶ γὰρ τῶν κλεπτῶν
καὶ λωποδυτῶν ὁ νόμος κεῖται, ὧν οὐδὲν ἐμοὶ προσὸν
ἀπέδειξαν. οὕτως εἴς γε ταύτην τὴν ἀπαγωγὴν νομι-
μωτάτην καὶ δικαιοτάτην πεποιήκασιν ὑμῖν τὴν ἀπο-
ψήφισίν μου. φασὶ δὲ αὐτό γε τὸ ἀποκτείνειν μέγα 10
κακούργημα εἶναι, καὶ ἐγὼ ὁμολογῶ μέγιστόν γε,
(ὥσπερ) καὶ τὸ ἱεροσυλεῖν καὶ τὸ προδιδόναι τὴν πό-
λιν· ἀλλὰ χωρὶς περὶ αὐτῶν ἑκάστου οἱ νόμοι κεῖνται.
ἐμοὶ δὲ πρῶτον μέν, οὗ τοῖς ἄλλοις εἴργεσθαι προα-
γορεύουσι τοῖς τοῦ φόνου φεύγουσι τὰς δίκας, ἐνταυ-

κατηγορημένων NA Bk. in Add. Dobs.: κατηγορουμένων.
8. τεκμήριον ci. R. — τῶν εἰς ἐμέ Turr.: καὶ τῶν εἰς ἐμέ. An καὶ τ. ἄλλ. πραγμ. ἡ τούτων εἰς ἐμὲ β. κ. π.?
9. τούτου γε NMr.: τούτων ZM; τοῦτο B; τούτου v. — ἐμοὶ] μοι Mr. (οὐδʼ ἓν ἐμοὶ W.).
10. αὖ τό τε codd.; αὐτό τε τὸ Ald., αὖ τό γε ci. S. — μέγα Ald.: με codd. — ἐνταυθὶ vulg. ante Bk. —

θοὶ πεποιήκασι τὴν κρίσιν ἐν τῇ ἀγορᾷ· ἔπειτα τίμη-
σίν μοι ἐποίησαν, ἀνταποθανεῖν τοῦ νόμου κειμένου
τὸν ἀποκτείναντα, οὐ τοῦ ἐμοὶ συμφέροντος ἕνεκα,
ἀλλὰ τοῦ σφίσιν αὐτοῖς λυσιτελοῦντος, καὶ ἐνταῦθα
ἔλασσον ἔνειμαν τῷ τεθνηκότι τῶν ἐν τῷ νόμῳ κει-
μένων· οὗ δ' ἕνεκα, γνώσεσθε προϊόντος τοῦ λόγου.
11 ἔπειτα δέ, ὃ πάντας οἶμαι ὑμᾶς ἐπίστασθαι, ἅπαντα
τὰ δικαστήρια ἐν ὑπαίθρῳ δικάζει τὰς δίκας τοῦ
φόνου, οὐδενὸς ἄλλου ἕνεκα ἢ ἵνα τοῦτο μὲν οἱ δι-
κασταὶ μὴ ἴωσιν εἰς τὸ αὐτὸ τοῖς μὴ καθαροῖς τὰς
χεῖρας, τοῦτο δὲ ὁ διώκων τὴν δίκην τοῦ φόνου ἵνα
μὴ ὁμωρόφιος γίγνηται τῷ αὐθέντῃ. σὺ δὲ τοῦτο
μὲν παρελθὼν τοῦτον τὸν νόμον τοὐναντίον τοῖς
ἄλλοις πεποίηκας· τοῦτο δὲ δέον σε διομόσασθαι
ὅρκον τὸν μέγιστον καὶ ἰσχυρότατον, ἐξώλειαν αὑτῷ
καὶ γένει καὶ οἰκίᾳ τῇ σῇ ἐπαρώμενον, ἦ μὴν μὴ
ἄλλα κατηγορήσειν ἐμοῦ ἢ εἰς αὐτὸν τὸν φόνον, ὡς
ἔκτεινα, ἐν ᾧ οὔτ' ἂν κακὰ πολλὰ εἰργασμένος ἡλι-
σκόμην ἄλλῳ ἢ αὐτῷ τῷ πράγματι, οὔτ' αὖ πολλὰ
ἀγαθὰ εἰργασμένος τούτοις ἂν ἐσῳζόμην τοῖς ἀγα-
12 θοῖς· ἃ σὺ παρελθών, αὐτὸς σεαυτῷ νόμους ἐξευρών,
ἀνώμοτος μὲν αὐτὸς ἐμοῦ κατηγορεῖς, ἀνώμοτοι δὲ
οἱ μάρτυρες καταμαρτυροῦσι, δέον αὐτοὺς τὸν αὐτὸν
ὅρκον σοὶ διομοσαμένους καὶ ἁπτομένους τῶν σφα-
γίων καταμαρτυρεῖν ἐμοῦ. ἔπειτα κελεύεις τοὺς δι-

ἀνταπ. τοῦ νόμου κειμ. τὸν ἀποκτ. N et pr. A (Mr.): τοῦ νόμ. κειμ. ἀντ. τ. ἀπ. A corr.; τ. ν. κ. τὸν ἀπ. ἀντ. v. — ἔνειμαν ἂν N; .. ἔνειμαν ἂν del. ἂν A (ἀπένειμαν fuerit sec. S, ἔνειμαν αὐτοὶ W.). — 11. γίνηται NA Bk.: γίναιται B; γένηται v. — αὑτῷ Mr.: αὐτῷ. — οὔτ' αὖ susp. R.: οὔτ' ἂν.
12. σὺ παρ.] συμπαρελθὼν N. — νόμους NABBk.: τοὺς νόμους. — ἐξευρών] εὑρών N. —

*καστὰς ἀνωμότοις πιστεύσαντας τοῖς μαρτυροῦσι φό-
νου δίκην καταγνῶναι, οὓς σὺ αὐτὸς ἀπίστους κατέ-
στησας παρελθὼν τοὺς κειμένους νόμους, καὶ ἡγεῖ
χρῆναι αὐτοῖς τὴν σὴν παρανομίαν κρείσσω γενέσθαι
αὐτῶν τῶν νόμων. Λέγεις δὲ ὡς οὐκ ἂν παρέμεινα* 13
*εἰ ἐλελύμην, ἀλλ᾽ ᾠχόμην ἂν ἀπιών, ὡσπερεὶ ἄκοντά
με ἀναγκάσας εἰσελθεῖν εἰς τὴν γῆν ταύτην. καίτοι
ἐμοὶ εἰ μηδὲν διέφερε στέρεσθαι τῆσδε τῆς πόλεως,
ἴσον ἦν | μοι καὶ προσκληθέντι μὴ ἐλθεῖν, ἀλλ᾽* 131
*ἐρήμην ὀφλεῖν εἶναι τὴν δίκην, τοῦτο δ᾽ ἀπολογη-
σαμένῳ τὴν προτέραν ἐξεῖναι ἐξελθεῖν· ἅπασι γὰρ
τοῦτο κοινόν ἐστι. σὺ δέ, ὃ τοῖς ἄλλοις Ἕλλησι
κοινόν ἐστιν, ἰδίᾳ ζητεῖς ἐμὲ μόνον ἀποστερεῖν, αὐ-
τὸς σαυτῷ νόμον θέμενος. καίτοι τούς γε νόμους* 14
*οἳ κεῖνται περὶ τῶν τοιούτων, πάντας ἂν οἶμαι ὁμο-
λογῆσαι κάλλιστα νόμων ἁπάντων κεῖσθαι καὶ ὁσιώ-
τατα. ὑπάρχει μέν γε αὐτοῖς ἀρχαιοτάτοις εἶναι ἐν
τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς αὐτοὺς ἀεὶ περὶ τῶν αὐτῶν,
ὅπερ μέγιστόν ἐστι σημεῖον νόμων καλῶς κειμένων·
ὁ γὰρ χρόνος καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα
ἐκδιδάσκει τοὺς ἀνθρώπους. ὥστε οὐ δεῖ ὑμᾶς ἐκ
τῶν τοῦ κατηγόρου λόγων τοὺς νόμους καταμαν-
θάνειν, εἰ καλῶς ὑμῖν κεῖνται ἢ μή, ἀλλ᾽ ἐκ τῶν*

᾽νομότοις pr. A. — *ἡγεῖ* (*ἡγῇ*) Dryander et P. R. Müller: *εἴ γε* (*οἴει* Fr., *οἴει γε* S. Br.).

13. post *ἐμοὶ* virgulam posuit Mr. cum Bernhardyo. W. pro *μοι* ci. *οἶμαι*. — *εἶναι* ex A post *ὀφλεῖν* inserui („aequum erat licere mihi"). *ὤφλειν* pr. A. — *τὴν δίκην* om. N, quod prob. Fr. *τοῦτο* NA Dobs.: *τούτω* BZ, *τούτῳ* M, *οὕτω* Ald. — *ἐξεῖν* N; *ἐξῆν* ci. R. Fr., *ἐξείη ἂν* S., del. Dobr. Sp. — *ἐμὲ* Bk.: *με*. — 14. *μέν γε*] *μὲν γὰρ* 6, 2. — *τοὺς αὐτοὺς ἀεὶ* sicut 6, 2 NAB Bk.: *τοὺς αὐτοὺς εἶναι ἀεὶ*. — *ὑμᾶς*] *ἡμᾶς* N. — *τοὺς τῶν κατηγόρων* pr. A. — *διδάσκει* W.

νόμων τοὺς τοῦ κατηγόρου λόγους, εἰ ὀρθῶς καὶ
15 νομίμως ὑμᾶς διδάσκει τὸ πρᾶγμα ἢ οὔ. Οὕτως
οἵ γε νόμοι κάλλιστα κεῖνται οἱ περὶ φόνου, οὓς
οὐδεὶς πώποτε ἐτόλμησε κινῆσαι· σὺ δὲ μόνος δὴ
τετόλμηκας γενέσθαι νομοθέτης ἐπὶ τὰ πονηρότατα,
καὶ ταῦτα παρελθὼν ζητεῖς με ἀδίκως ἀπολέσαι. ἃ
δὲ σὺ παρανομεῖς, αὐτὰ ταῦτά μοι μέγιστα μαρτύριά
ἐστιν· εὖ γὰρ ᾔδεις ὅτι οὐδεὶς ἂν ἦν σοι ὃς ἐκεῖνον
16 τὸν ὅρκον διομοσάμενος ἐμοῦ κατεμαρτύρησεν. Ἔπει-
τα δὲ οὐχ ὡς πιστεύων τῷ πράγματι ἀναμφισβητήτως
ἕνα τὸν ἀγῶνα περὶ τοῦ πράγματος ἐποιήσω, ἀλλὰ
ἀμφισβήτησιν καὶ λόγον ὑπελίπου ὡς καὶ τοῖς τότε
δικασταῖς ἀπιστήσων. ὥστε μηδέν μοι ἐνθάδε μηδὲ
πλέον εἶναι μηδ' ἀποφυγόντι, ἀλλ' ἐξεῖναί σοι λέγειν
ὅτι κακοῦργος ἀπέφυγον, ἀλλ' οὐ τοῦ φόνου τὴν
δίκην· ἑλὼν δ' αὖ ἀξιώσεις με ἀποκτεῖναι ὡς τοῦ
φόνου τὴν δίκην ὠφληκότα. καίτοι πῶς ἂν εἴη
τούτων δεινότερα μηχανήματα, εἰ ὑμῖν μὲν ἅπαξ
τουτουσὶ πείσασι κατείργασται ἃ βούλεσθε, ἐμοὶ δ'
ἅπαξ ἀποφυγόντι ὁ αὐτὸς κίνδυνος ὑπολείπεται;
17 Ἔτι δὲ μάλ' ἐδέθην, ὦ ἄνδρες, παρανομώτατα ἁπάν-

(διδάσκουσι ci. R. coll. 6, 2, rec. Turr.): διδάξει N, διδάξουσι AB, διδάξωσι ZM.

15. πονηρότερα N.

16. περὶ τοῦ (αὐτοῦ) πρ. susp. R. — ὑπελείπου N et pr. A. — ὡς κἂν τοῖς τότε δικ. ἀμφισβητήσων S. Corruptela manifesta est: conicio τοῖσδε τοῖς δικ. vel τοῖς ἐνθάδε δικ. ἀπιστ. (τότε del. Sp.). — μηδὲ πλέον] del. vult μηδὲ R. — κακουργίας bene ci. R. — αὖ NBk.: ἄν. — ἀξιώσῃς pr. A (ἂν ἀξιώσαις ci. S.). — vv. τουτουσὶ — ἅπαξ add. e NA Bk. — ὑπολείπεται] N, pr. A, B, Z ἀπολείπεται. Post hoc v. Ald. add.: τούτῳ δὲ πάλιν εἰς ἡμᾶς ἐπηρεάζειν ἐξέσται; quae cum codd. om. Bk.

των ἀνθρώπων. ἐθέλοντος γάρ μου ἐγγυητὰς τρεῖς
καθιστάναι κατὰ τὸν νόμον, οὕτως οὗτοι διεπράξαν-
το ὥστε τοῦτο μὴ ἐγγενέσθαι μοι ποιῆσαι. τῶν δὲ
ἄλλων ξένων ὅστις πώποτε ἠθέλησε καταστῆσαι ἐγ-
γυητάς, οὐδεὶς πώποτε ἐδέθη. καίτοι οἱ ἐπιμεληταὶ
τῶν κακούργων τῷ αὐτῷ χρῶνται νόμῳ τούτῳ. ὥστε
καὶ οὗτος κοινὸς τοῖς ἄλλοις πᾶσιν ὢν (ἐπ') ἐμοὶ
μόνῳ ἐπέλιπε μὴ ὠφελεῖσθαι τοῦδε τοῦ νόμου. τού- 18
τοις γὰρ ἦν τοῦτο συμφέρον, πρῶτον μὲν (ὡς) ἀπα-
ρασκευότατον γενέσθαι με μὴ δυνάμενον διαπράσ-
σεσθαι αὐτὸν τἀμαυτοῦ πράγματα, ἔπειτα κακοπαθεῖν
τῷ σώματι τούς τε φίλους προθυμοτέρους ἔχειν τοὺς
ἐμαυτοῦ τούτοις τὰ ψευδῆ μαρτυρεῖν ἢ ἐμοὶ τἀλη-
θῆ λέγειν, διὰ τὴν τοῦ σώματος κακοπάθειαν. ὄνει-
δός τε αὐτῷ τε ἐμοὶ περιέθεσαν καὶ τοῖς ἐμοῖς προσ-
ήκουσιν εἰς τὸν βίον ἅπαντα.

Οὑτωσὶ μὲν δὴ πολλοῖς ἐλασσωθεὶς τῶν νόμων 19
τῶν ὑμετέρων καὶ τοῦ δικαίου καθέστηκα εἰς τὸν
ἀγῶνα· ὅμως μέντοι γε καὶ ἐκ τούτων πειράσομαι
ἐμαυτὸν ἀναίτιον ἐπιδεῖξαι. καίτοι χαλεπόν γε τὰ

17. διεπρ. τοῦτο ὥστε codd.; δ. ὥστε τουτο ci. R. — μοι] με N. — ὅστις πώποτε] ὅστις ποτὲ N. — ἐπέλειπε N et pr. A. — ὠφελῆσθαι AB; ὠφελῆσαι et τοῦδε κόσμου N. ἐπ' ante ἐμοὶ R addi vult (ἐμοὶ μ. ἐνέλιπε Bait.); ἐκ τ. τ. νόμου Fr. (ὑπὸ vel παρὰ etiam R. addi voluerat); contra del. τ. τ. νόμου Bait.

18. ὡς ante ἀπαρασκ. add. Hi. — αὐτὸν τἀμ. Bk.: ἐμαυτὸν τἀμ. codd., τἀμαυτοῦ Ald. — προθυμοτέρως Hi. — τούτοις] τοῖς N pr. ABZM. — διὰ τὴν τ. σώμ. κακ. del. Dobr. — αὐτῷ τε R.: αὐτῷ γε. — ἐμοὶ προσήκ. Hi. coll. § 59. — περιέθεσαν NABk.: περιέσεσαν B, περιέσεισαν v.

19. πολλὰ Dobr., (ἐν) πολλοῖς S. — ἐλασσωθεὶς coni. invenit Dobr., praebet N et fort. pr. A: ἕλος σωθεὶς A, ἕλος σωθεὶς cett. libri (ἂν σωθεὶς Ald. et v. ante Turr.).

ἐκ πολλοῦ κατεψευσμένα καὶ ἐπιβεβουλευμένα, ταῦτα παραχρῆμα ἀπελέγχειν· ἃ γάρ τις μὴ προσεδόκησεν, οὐδὲ φυλάξασθαι ἐγχωρεῖ.

20 Ἐγὼ δὲ τὸν μὲν πλοῦν ἐποιησάμην ἐκ τῆς Μιτυλήνης, ὦ ἄνδρες, ἐν τῷ πλοίῳ πλέων ᾧ Ἡρώδης οὗτος, ὅν φασιν ὑπ' ἐμοῦ ἀποθανεῖν· ἐπλέομεν δὲ εἰς τὴν Αἶνον, ἐγὼ μὲν ὡς τὸν πατέρα (ἐτύγχανε γὰρ ἐκεῖ ὢν τότε), ὁ δ' Ἡρώδης ἀνδράποδα Θραξὶν ἀνθρώποις ἀπολύσων. συνέπλει δὲ τά τε ἀνδράποδα ἃ ἔδει αὐτὸν ἀπολῦσαι, καὶ οἱ Θρᾷκες οἱ λυσόμενοι. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

21 Ἡ μὲν πρόφασις ἑκατέρῳ τοῦ πλοῦ αὕτη· ἐτύχομεν δὲ χειμῶνί τινι χρησάμενοι, ὑφ' οὗ ἠναγκάσθημεν κατασχεῖν εἰς τῆς Μηθυμναίας τι χωρίον, οὗ τὸ πλοῖον ὥρμει τοῦτο εἰς ὃ μετεκβάντα φασὶν ἀποθανεῖν αὐτόν[, τὸν Ἡρώδην]. καὶ πρῶτον μὲν αὐ-
132 τὰ ταῦτα | σκοπεῖτε, ὅτι μὴ προνοίᾳ μᾶλλον ἐγίγνετο ἢ τύχῃ. οὔτε γὰρ πείσας τὸν ἄνδρα οὐδαμοῦ ἀπελέγχομαι σύμπλουν μοι γενέσθαι, ἀλλ' αὐτὸς καθ' αὑτὸν τὸν πλοῦν πεποιημένος ἕνεκα πραγμάτων
22 ἰδίων· οὔτ' αὖ ἐγὼ ἄνευ προφάσεως ἱκανῆς φαίνομαι τὸν πλοῦν ποιησάμενος εἰς τὴν Αἶνον, οὔτε κατασχόντες εἰς τὸ χωρίον τοῦτο ἀπὸ παρασκευῆς οὐδεμιᾶς, ἀλλ' ἀνάγκῃ χρησάμενοι· οὔτ' αὖ ἐπειδὴ ὡρμισάμεθα, ἡ μετέκβασις ἐγένετο εἰς τὸ ἕτερον

21. φασὶν] φησὶν N. — τὸν Ἡρώδην del. volunt R. Dobr. (aut οὗτοι pro αὐτὸν R.), uncis inclusit Mr. cf. § 77. — ὅτι μὴ] ὅτι οὐ Mr. — κατ' αὐτὸν codd.
22. ἐγὼ] τ' ἐγὼ N, τἐγὼ pr. A. — μετέκβασις N et

πλοῖον οὐδενὶ μηχανήματι οὐδ' ἀπάτῃ, ἀλλ' ἀνάγκῃ καὶ τοῦτο ἐγίγνετο. ἐν ᾧ μὲν γὰρ ἐπλέομεν, ἀστέγαστον ἦν τὸ πλοῖον, εἰς ὃ δὲ μετέβημεν, ἐστεγασμένον· τοῦ δὲ ὑετοῦ ἕνεκα ταῦτ' ἦν. τούτων δ' ὑμῖν μάρτυρας παρέξομαι.

ΜΑΡΤΥΡΕΣ.

Ἐπειδὴ δὲ μετεξέβημεν εἰς τὸ ἕτερον πλοῖον, 23
ἐπίνομεν. καὶ ὁ μέν ἐστι φανερὸς ἐκβὰς ἐκ τοῦ πλοίου καὶ οὐκ εἰσβὰς πάλιν· ἐγὼ δὲ τὸ παράπαν οὐκ ἐξέβην ἐκ τοῦ πλοίου τῆς νυκτὸς ἐκείνης. τῇ δ' ὑστεραίᾳ, ἐπειδὴ ἀφανὴς ἦν ὁ ἀνήρ, ἐζητεῖτο οὐδέν τι μᾶλλον ὑπὸ τῶν ἄλλων ἢ καὶ ὑπ' ἐμοῦ· καὶ εἴ τῳ τῶν ἄλλων ἐδόκει δεινὸν εἶναι, καὶ ἐμοὶ ὁμοίως. καὶ εἴς τε τὴν Μιτυλήνην ἐγὼ αἴτιος ἦν πεμφθῆναι ἄγγελον, καὶ τῇ ἐμῇ γνώμῃ ἐπέμπετο· καὶ ἄλλου 24
οὐδενὸς ἐθέλοντος βαδίζειν, οὔτε τῶν ἀπὸ τοῦ πλοίου οὔτε τῶν αὐτῷ τῷ Ἡρώδῃ συμπλεόντων, ἐγὼ τὸν ἀκόλουθον τὸν ἐμαυτοῦ πέμπειν ἕτοιμος ἦν· καίτοι οὐ δήπου γε κατ' ἐμαυτοῦ μηνυτὴν ἔπεμπον εἰδώς. ἐπειδὴ δὲ ὁ ἀνὴρ οὔτε ἐν τῇ Μιτυλήνῃ ἐφαίνετο ζητούμενος οὔτ' ἄλλοθι οὐδαμοῦ, πλοῦς τε ἡμῖν ἐγίγνετο, καὶ τἆλλα ἀνήγετο πλοῖα ἅπαντα, ᾠχόμην κἀγὼ πλέων. τούτων δ' ὑμῖν τοὺς μάρτυρας παρασχήσομαι.

ΜΑΡΤΥΡΕΣ.

corr. A (Turr. Mr.): μετάβασις. — μάρτυρας ci. R. (ita semper Antiphon): μαρτυρίας.

23. μετεξέβημεν ABBk.: μετέβημεν. — ἐκβὰς ἐκ AB Bk.: ἐκβὰς. — ἐξέβην ἐκ NMr.: ἐξέβην.

24. οὐ δήπου γε NMr.: γε οὐ δήπου. — Μυτιλήνῃ N. — ἄλλοθι NABk. (ci. Steph.): ἄλοθι B, ἄλλοθεν v.

25 Τὰ μὲν γενόμενα ταῦτ᾽ ἐστίν· ἐκ δὲ τούτων ἤδη
σκοπεῖτε τὰ εἰκότα. πρῶτον μὲν γὰρ πρὶν ἀνάγε-
σθαί με εἰς τὴν Αἶνον, ὅτε ἦν ἀφανὴς ὁ ἀνήρ, οὐ-
δεὶς ᾐτιάσατό με ἀνθρώπων, ἤδη πεπυσμένων τού-
των τὴν ἀγγελίαν· οὐ γὰρ ἄν ποτε ᾠχόμην πλέων.
ἀλλ᾽ εἰς μὲν τὸ παραχρῆμα κρεῖσσον ἦν τὸ ἀληθὲς
καὶ τὸ γεγενημένον τῆς τούτων αἰτιάσεως, καὶ ἅμα
ἐγὼ ἔτι ἐπεδήμουν· ἐπειδὴ δὲ ἐγώ τε ᾠχόμην πλέων
καὶ οὗτοι ἐξ ἐπιβουλῆς συνέθεσαν ταῦτα καὶ ἐμηχα-
26 νήσαντο κατ᾽ ἐμοῦ, τότε ᾐτιάσαντο. Λέγουσι δὲ ὡς
ἐν μὲν τῇ γῇ ἀπέθανεν ὁ ἀνήρ, κἀγὼ λίθον αὐτῷ
ἐνέβαλον εἰς τὴν κεφαλήν, ὃς οὐκ ἐξέβην τὸ πα-
ράπαν ἐκ τοῦ πλοίου. καὶ τοῦτο μὲν ἀκριβῶς οὗτοι
ἴσασιν· ὅπως δ᾽ ἠφανίσθη ὁ ἀνήρ, οὐδενὶ λόγῳ
εἰκότι δύνανται ἀποφαίνειν. δῆλον γὰρ ὅτι ἐγγύς
που τοῦ λιμένος εἰκὸς ἦν τοῦτο γίγνεσθαι, τοῦτο
μὲν μεθύοντος τοῦ ἀνδρός, τοῦτο δὲ νύκτωρ ἐκβάν-
τος ἐκ τοῦ πλοίου· οὔτε γὰρ αὑτοῦ κρατεῖν ἴσως
ἂν ἐδύνατο, οὔτε τῷ ἀπάγοντι νύκτωρ μακρὰν ὁδὸν
27 ἡ πρόφασις ἂν εἰκότως ἐγίγνετο· ζητουμένου δὲ τοῦ
ἀνδρὸς δύο ἡμέρας καὶ ἐν τῷ λιμένι καὶ ἄποθεν τοῦ
λιμένος, οὔτε ὀπτὴρ οὐδεὶς ἐφάνη οὔτε αἷμα οὔτε
ἄλλο σημεῖον οὐδέν. κᾆτ᾽ ἐγὼ συγχωρῶ τῷ τούτων
λόγῳ, παρεχόμενος μὲν τοὺς μάρτυρας ὡς οὐκ ἐξέ-
βην ἐκ τοῦ πλοίου· εἰ δὲ καὶ ὡς μάλιστα ἐξέβην ἐκ
τοῦ πλοίου, οὐδενὶ τρόπῳ εἰκὸς ἦν ἀφανισθέντα

26. ἐνέβαλον αὐτῷ AB (Bk. Dobs. Turr.). — τοῦτο γίγν.] αὐτὸ γ. N.

27. καὶ ἐν NMr.: ἐν. — ἄποθεν N: ἄπωθεν. — ὀπτὴρ] resp. Poll. 2, 57. — οὔτε αἷμα οὔτε N: οὔθ᾽ αἷμα οὔτ᾽. — μὲν post παρεχ. add. NABk. — vv. εἰ δὲ — πλοίου om.

λαθεῖν τὸν ἄνθρωπον, εἴπερ γε μὴ πάνυ πόρρω ἀπῆλ-
θεν ἀπὸ τῆς θαλάσσης. Ἀλλ' ὡς κατεποντώθη λέ- 28
γουσιν. ἐν τίνι πλοίῳ; δῆλον γὰρ ὅτι ἐξ αὐτοῦ τοῦ
λιμένος ἦν τὸ πλοῖον. πῶς ἂν οὖν οὐκ ἐξευρέθη;
καὶ μὴν εἰκός γε ἦν καὶ σημεῖόν τι γενέσθαι ἐν τῷ
πλοίῳ ἀνδρὸς τεθνεῶτος (ἐντιθεμένου) καὶ ἐκβαλλο-
μένου νύκτωρ. νῦν δὲ ἐν μὲν ᾧ ἔπινε πλοίῳ καὶ ἐξ
οὗ ἐξέβαινεν, ἐν τούτῳ φασὶν εὑρεῖν σημεῖα, ἐν ᾧ
αὐτοὶ μὴ ὁμολογοῦσιν ἀποθανεῖν τὸν ἄνδρα· ἐν ᾧ
δὲ κατεποντώθη, οὐχ εὗρον οὔτ' αὐτὸ τὸ πλοῖον
οὔτε σημεῖον οὐδέν. τούτων δ' ὑμῖν τοὺς μάρτυρας
παρασχήσομαι.

ΜΑΡΤΥΡΕΣ.

Ἐπειδὴ δὲ ἐγὼ μὲν φροῦδος ἦν πλέων εἰς τὴν 29
Αἶνον, τὸ δὲ πλοῖον ἧκεν εἰς τὴν Μιτυλήνην ἐν ᾧ
ἐγὼ καὶ ὁ Ἡρώδης | ἐπλέομεν, πρῶτον μὲν εἰσβάντες 133
εἰς τὸ πλοῖον ἠρεύνων, καὶ ἐπειδὴ τὸ αἷμα εὗρον,
ἐνταῦθα ἔφασαν τεθνάναι τὸν ἄνδρα· ἐπειδὴ δὲ αὐ-
τοῖς τοῦτο οὐκ ἐνεχώρει, ἀλλ' ἐφαίνετο τῶν προβά-
των ὂν αἷμα, ἀποτραπόμενοι τούτου τοῦ λόγου συλλα-
βόντες ἐβασάνιζον τοὺς ἀνθρώπους. καὶ ὃν μὲν τότε 30

ZM et v. ante Bk. — εἴπερ γε N Sp.: εἴπερ.

28. ἐντιθεμένου addidi coll. § 45; an delendum καὶ? — ἐν μὲν ᾧ NA Mr. (μὲν ᾧ pr. A): ἐν ᾧ μὲν. — ὁμολογῶσιν N, pr. A, BZM. — αὐτοὶ ὁμολ. μὴ Fr. — παρασχήσομαι Bk. coll. § 24: παραστήσομαι.

29. φροῦδος] cf. Harp.: φρ. Ἀντ. ἐν τῷ περὶ τοῦ Ἡρώδου φόνου ἀντὶ τοῦ ἐκποδών. — μὲν φροῦδος N Mr.: φροῦδος μὲν AB (Bk. Dobs. Turr.), φροῦδος cett. — ὁ Ἡρώδης N Mr.: Ἡρώδης. — τὸ αἷμα codd. Mr.: τι αἷμα. — τῶν προβάτων] προβάτων ci. R.

30. καὶ ante καταψευσ. abesse mal. R. Bait.

παραχρῆμα ἐβασάνισαν, οὗτος μὲν οὐδὲν εἶπε περὶ ἐμοῦ φλαῦρον· ὃν δ' ἡμέραις ὕστερον πολλαῖς ἐβασάνισαν, ἔχοντες παρὰ σφίσιν αὐτοῖς τὸν πρόσθεν χρόνον, οὗτος ἦν ὁ πεισθεὶς ὑπὸ τούτων καὶ καταψευσάμενος ἐμοῦ. παρέξομαι δὲ τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

31 *Ὡς μὲν ὕστερον τοσούτῳ χρόνῳ ὁ ἀνὴρ ἐβα-
σανίσθη, μεμαρτύρηται ὑμῖν· προσέχετε δὲ τὸν νοῦν
αὐτῇ τῇ βασάνῳ, οἵα γεγένηται. ὁ μὲν γὰρ δοῦλος
ᾧ ἴσως οὗτοι τοῦτο μὲν ἐλευθερίαν ὑπέσχοντο, τοῦ-
το δ' ἐπὶ τούτοις ἦν παύσασθαι κακούμενον αὐτόν,
ἴσως ὑπ' ἀμφοῖν πεισθεὶς κατεψεύσατό μου, τὴν
μὲν ἐλευθερίαν ἐλπίσας οἴσεσθαι, τῆς δὲ βασάνου*
32 *εἰς τὸ παραχρῆμα βουλόμενος ἀπηλλάχθαι. οἶμαι
δ' ὑμᾶς ἐπίστασθαι τοῦτο, ὅτι ἐφ' οἷς ἂν τὸ πλεῖ-
στον μέρος τῆς βασάνου, πρὸς τούτων εἰσὶν οἱ βα-
σανιζόμενοι λέγειν ὅ τι ἂν ἐκείνοις μέλλωσι χαριεῖ-
σθαι· ἐν τούτῳ γὰρ αὐτοῖς ἐστὶν ἡ ὠφέλεια, ἄλλως
τε κἂν μὴ παρόντες τυγχάνωσιν ὧν ἂν καταψεύδων-
ται. εἰ γὰρ ἐγὼ μὲν ἐκέλευον αὐτὸν στρεβλοῦν ὡς
οὐ τἀληθῆ λέγοντα, ἴσως ἂν ἐν αὐτῷ τούτῳ ἀπετρέ-
πετο μηδὲν κατ' ἐμοῦ καταψεύδεσθαι. νῦν δὲ αὐτοὶ
ἦσαν καὶ βασανισταὶ καὶ ἐπιτιμηταὶ (μετὰ) τῶν σφί-*

31. τοσούτῳ ci. R. Hi.: τούτῳ τῷ. — ὑπ'] ἐπ' pr. A.
32. ἢ post βασ. add. Dobr. — ὅτι ἂν] ὅτ' ἂν ABZM, ὅταν N. — ἐν τούτῳ S.: ἐν τούτοις. — καταψεύδωνται] κατάψωνται pr. A. — ἐγὼ μὲν N et pr. A (Turr. Mr.): ἐγώ. — post ἐπιτιμηταὶ (h. e. κολασταὶ, cf. quae deinceps narrantur) μετὰ addidi („prout ipsis conveniebat"). — σφίσι N.

σιν αὐτοῖς συμφερόντων. ἕως μὲν οὖν μετὰ χρηστῆς 33
τῆς ἐλπίδος ἐγίγνωσκέ μου καταψευσάμενος, τούτῳ
διισχυρίζετο τῷ λόγῳ· ἐπειδὴ δὲ ἐγίγνωσκεν ἀποθα-
νούμενος, ἐνταῦθ᾽ ἤδη τῇ ἀληθείᾳ ἐχρῆτο, καὶ ἔλε-
γεν ὅτι πεισθείη ὑπὸ τούτων ἐμοῦ καταψεύδεσθαι.
διαπειραθέντα δ᾽ αὐτὸν τὰ ψευδῆ λέγειν, ὕστερον 34
δὲ τἀληθῆ λέγοντα, οὐδέτερα ὠφέλησεν, ἀλλ᾽ ἀπέ-
κτειναν ἄγοντες τὸν ἄνδρα, τὸν μηνυτήν, ᾧ πιστεύον-
τες ἐμὲ διώκουσι, τοὐναντίον ποιήσαντες ἢ οἱ ἄλλοι
ἄνθρωποι. οἱ μὲν γὰρ ἄλλοι τοῖς μηνυταῖς τοῖς μὲν
ἐλευθέροις χρήματα διδόασι, τοὺς δὲ δούλους ἐλευ-
θεροῦσιν· οὗτοι δὲ θάνατον τῷ μηνυτῇ τὴν δωρεὰν
ἀπέδοσαν, ἀπαγορευόντων τῶν φίλων τῶν ἐμῶν μὴ
ἀποκτείνειν τὸν ἄνδρα πρὶν [ἂν] ἐγὼ ἔλθοιμι. δῆλον 35
οὖν ὅτι οὐ τοῦ σώματος αὐτοῦ χρεία ἦν αὐτοῖς, ἀλλὰ
τῶν λόγων· ζῶν μὲν γὰρ ὁ ἀνὴρ διὰ τῆς αὐτῆς βα-
σάνου ἰὼν ὑπ᾽ ἐμοῦ κατήγορος ἂν ἐγίγνετο τῆς τού-
των ἐπιβουλῆς, τεθνεὼς δὲ τὸν μὲν ἔλεγχον τῆς ἀλη-
θείας ἀπεστέρει δι᾽ αὐτοῦ τοῦ σώματος ἀπολλυμένου,
τοῖς δὲ λόγοις τοῖς ἐψευσμένοις ὑπ᾽ ἐκείνου ὡς ἀλη-
θέσιν οὖσιν ἐγὼ ἀπόλλυμαι. τούτων δὲ μάρτυράς
μοι κάλει.

(ΜΑΡΤΥΡΕΣ).

33. τῆς post χρηστῆς om. N Mr. (etiam R. abesse mal., τινὸς W.). — κατεψευσάμενος N: num κατεψευσμένος? — ἐνταῦτ᾽ pr. A. — πειθείη N. — κατεψεύδεσθαι N.

34. ὠφέλησεν ci. R. (Turr.): ὠφέλησαν. — ἄγοντες om. ZM et pr. A. — ἀπογορευόντων A. — πρὶν ἂν] ἂν del. Linder. K., πρὶν ἢ W.

35. αὐτῆς] αὐτοῦ BZM. — ἀπολλυμένου οὐ N, δι᾽ del. S.; malim τὸν μὲν δι᾽ αὐτοῦ ἔλ. τ. ἀλ. ἀπ. αὐτοῦ τ. σώμ. ἀπ. — titulum *ΜΑΡΤΥΡΕΣ* auct. R. add. Turr. Mr.

36 Ἐχρῆν μὲν γὰρ αὐτούς, ὡς ἐγὼ νομίζω, ἐνθάδε παρέχοντας τὸν μηνυτὴν αὐτὸν ἀπελέγχειν ἐμέ, καὶ αὐτῷ τούτῳ χρῆσθαι ἀγωνίσματι, ἐμφανῆ παρέχοντας τὸν ἄνδρα καὶ κελεύοντας βασανίζειν, ἀλλὰ μὴ ἀποκτεῖναι. φέρε γὰρ δὴ ποτέρῳ νῦν χρήσονται τῶν λόγων; πότερα ᾧ πρῶτον εἶπεν ἢ ᾧ ὕστερον; καὶ πότερ' ἀληθῆ ἐστίν, ὅτ' ἔφη με εἰργάσθαι τὸ ἔργον
37 ἢ ὅτ' οὐκ ἔφη; εἰ μὲν γὰρ ἐκ τοῦ εἰκότος ἐξετασθῆναι δεῖ τὸ πρᾶγμα, οἱ ὕστεροι λόγοι ἀληθέστεροι φαίνονται. ἐψεύδετο μὲν γὰρ ἐπ' ὠφελείᾳ τῇ ἑαυτοῦ, ἐπειδὴ δὲ τῷ ψεύδεσθαι ἀπώλλυτο, ἡγήσατο τἀληθῆ κατειπὼν διὰ τούτου σωθῆναι ἄν. τῆς μὲν οὖν ἀληθείας οὐκ ἦν αὐτῷ τιμωρὸς οὐδείς· οὐ γὰρ παρὼν ἐγὼ ἐτύγχανον, ᾧπερ σύμμαχος ἦν ἡ ἀλήθεια τῶν ὑστέρων λόγων· τοὺς δὲ προτέρους λόγους τοὺς κατεψευσμένους ἦσαν οἱ ἀφανιοῦντες ὥστε μηδέποτε
38 εἰς τὸ ἀληθὲς καταστῆναι. καὶ οἱ μὲν ἄλλοι καθ' ὧν ἂν μηνύῃ τις, αὐτοὶ κλέπτουσι τοὺς μηνύοντας κᾆτ' ἀφανίζουσιν· αὐτοὶ δὲ οὗτοι οἱ ἀπάγοντες καὶ
131 | ζητοῦντες τὸ πρᾶγμα τὸν κατ' ἐμοῦ μηνυτὴν ἠφάνισαν. καὶ εἰ μὲν ἐγὼ τὸν ἄνδρα ἠφάνισα ἢ μὴ ἤθελον ἐκδοῦναι τούτοις ἢ ἄλλον τινὰ ἔφευγον ἔλεγχον, αὐτοῖς ἂν τούτοις ἰσχυροτάτοις εἰς τὰ πράγματα ἐχρῶντο καὶ ἦν ταῦτα αὐτοῖς μέγιστα τεκμήρια κατ'

36. ἐχρῆν μὲν] μὲν om. N. — τῶν λόγων] τῷ λ. pr. A. — πότερα] πρότερα pr. A.

37. τῷ ψεύδ.] τὸ ψ. N et pr. A. — διὰ τούτου] δια τοῦτο N et pr. A (Mr.). — ἦσαν οἱ ἀφαν. κτέ.] S. ci: ὥστε μηδ. εἰς τὸ ἀλ. καταστ. ἦσαν οἱ ἀφ. (scil αὐτόν).

38. ἂν μηνύῃ N Mr.: μηνύῃ ἄν. — αὐτοὶ κλέπτουσι] οὗτοι κλ. S. — ἐκκλέπτουσι Hi. — αὐτοῖς ἂν τούτοις Sp.: αὐτοὶ δὴ τούτοις. cf. § 84; 1, 11; 6, 27. 28. ἂν particulam deesse

ἐμοῦ· νῦν δέ, ὁπότε αὐτοὶ οὗτοι προκαλουμένων τῶν
φίλων τῶν ἐμῶν ταῦτ᾽ ἔφυγον, ἐμοὶ δήπου κατὰ
τούτων εἶναι χρὴ ταῦτα τεκμήρια, ὡς οὐκ ἀληθῆ
τὴν αἰτίαν ἐπέφερον ἣν ᾐτιῶντο.
Ἔτι δὲ καὶ τάδε λέγουσιν, ὡς ὡμολόγει ὁ ἄν- 39
θρωπος βασανιζόμενος συναποκτεῖναι τὸν ἄνδρα. ἐγὼ
δέ φημι ταῦτα μὲν οὐ λέγειν αὐτόν, ὅτι δὲ ἐξαγάγοι
ἐμὲ καὶ τὸν ἄνδρα ἐκ τοῦ πλοίου, καὶ ὅτι ἤδη τε-
θνεῶτα αὐτὸν ὑπ᾽ ἐμοῦ συνανελὼν καὶ ἐνθεὶς εἰς
τὸ πλοῖον καταποντώσειε. καίτοι σκέψασθε ὅτι πρῶ- 40
τον μέν, πρὶν ἐπὶ τὸν τροχὸν ἀναβῆναι, ὁ ἀνὴρ
μέχρι τῆς ἐσχάτης ἀνάγκης τῇ ἀληθείᾳ ἐχρῆτο καὶ
ἀπέλυέ με τῆς αἰτίας· ἐπειδὴ δὲ ἐπὶ τὸν τροχὸν ἀνέ-
βη, τῇ ἀνάγκῃ χρώμενος ἤδη κατεψεύδετό μου, βου-
λόμενος ἀπηλλάχθαι τῆς βασάνου· ἐπειδὴ δὲ ἐπαύ- 41
σατο βασανιζόμενος, οὐκέτι ἔφη με τούτων εἰργάσθαι
οὐδέν, ἀλλὰ τὸ τελευταῖον ἀπῴμωξεν ἐμέ τε καὶ
αὐτὸν ὡς ἀδίκως ἀπολλυμένους, οὐ χάριτι τῇ ἐμῇ —
πῶς γάρ; ὅς γε κατεψεύσατο —, ἀλλ᾽ ἀναγκαζόμενος
ὑπὸ τοῦ ἀληθοῦς καὶ βεβαιῶν τοὺς πρώτους λόγους
ὡς ἀληθεῖς εἰρημένους. ἔπειτα δὲ ὁ ἕτερος ἄνθρωπος, 42
ὁ ἐν τῷ αὐτῷ πλοίῳ πλέων καὶ παρὼν διὰ τέλους

etiam S. iudicavit. — ταῦτα τεκμ. Bk. Dobr.: ταῦτα τὰ τεκμ. — ᾐτιῶντο Dobr. coll. 6, 27 (Turr.): ᾤοντο.

39. ἐξαγάγοι Bait. Turr.: ἐξάγοι AB, ἐξάγει NZM. — συνανελὼν καὶ add. Mr. e N, qui praebet συνελὼν (sicut § 42) καὶ. etiam A habet . . . ενθεὶς.

40. ὅτι πρῶτον μὲν om. A pr., quod non improbat S.

41. ἀδίκως] ἀδίκους N.

42. ὁ ἐν τῷ NMr.: om. ὁ v. — ὡς ἀληθέσιν οὖσι] ὡς ἀλ. εἰρημένοις (sicut exstat 41 extr.) NMr. — μ᾽ ἔφη NMr.: με ἔφη ABk., ἔφη με cett. — συνελεῖν N (sicut § 39). — οὐδ᾽ ἐκβῆναί μ᾽ ἔφη NMr.: ἔφη οὐκ ἐκβῆναί με.

*καὶ συνών μοι, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος τοῖς
μὲν πρώτοις καὶ τοῖς ὕστερον λόγοις τοῖς τοῦ ἀνθρώ-
που συνεφέρετο ὡς ἀληθέσιν οὖσι, διὰ τέλους γάρ
με ἀπέλυε, τοῖς δ' ἐπὶ τοῦ τροχοῦ λεγομένοις, οὓς
ἐκεῖνος ἀνάγκῃ μᾶλλον ἢ ἀληθείᾳ ἔλεγε, τούτοις δὲ
διεφέρετο. ὁ μὲν γὰρ ἐκβάντα μ' ἔφη ἐκ τοῦ πλοίου
ἀποκτεῖναι τὸν ἄνδρα, καὶ αὐτὸς ἤδη τεθνεῶτα συν-
ανελεῖν μοι· ὁ δὲ τὸ παράπαν οὐδ' ἐκβῆναί μ' ἔφη*
43 *ἐκ τοῦ πλοίου. Καίτοι τὸ εἰκὸς σύμμαχόν μοί ἐστιν.
οὐ γὰρ δήπου οὕτω κακοδαίμων (ἦν) ἐγώ, ὥστε τὸ
μὲν ἀποκτεῖναι τὸν ἄνδρα προὐνοησάμην μόνος, ἵνα
μοι μηδεὶς συνειδείη, ἐν ᾧ μοι ὁ πᾶς κίνδυνος ἦν,
ἤδη δὲ πεπραγμένου μοι τοῦ ἔργου μάρτυρας καὶ*
44 *συμβούλους ἐποιούμην. καὶ ἀπέθανε μὲν ὁ ἀνὴρ
οὑτωσὶ ἐγγὺς τῆς θαλάσσης καὶ τῶν πλοίων, ὡς ὁ
τούτων λόγος ἐστίν· ὑπὸ δὲ ἑνὸς ἀνδρὸς ἀποθνήσκων
οὔτε ἀνέκραγεν οὔτ' αἴσθησιν οὐδεμίαν ἐποίησεν
οὔτε τοῖς ἐν τῇ γῇ οὔτε τοῖς ἐν τῷ πλοίῳ; καὶ μὴν
πολλῷ πλέον γεγωνεῖν ἔστι νύκτωρ ἢ μεθ' ἡμέραν,
ἐπ' ἀκτῆς ἢ κατὰ πόλιν· καὶ μὴν ἔτι ἐγρηγορότων*
45 *φασὶν ἐκβῆναι τὸν ἄνδρα ἐκ τοῦ πλοίου. ἔπειτα ἐν
τῇ γῇ μὲν ἀποθανόντος, ἐντιθεμένου δὲ εἰς τὸ πλοῖον,
οὔτε ἐν τῇ γῇ σημεῖον οὐδὲ αἷμα ἐφάνη οὔτε ἐν τῷ
πλοίῳ, νύκτωρ μὲν ἀναιρεθέντος, νύκτωρ δ' ἐντι-
θεμένου εἰς τὸ πλοῖον. ἢ δοκεῖ ἂν ὑμῖν ἄνθρωπος*

44. *ὁ ἀνὴρ* NMr.: *ἀνηρ* (*ἅνὴρ* W.). — *οὑτοσὶ* omnes. — *ἀνδρὸς* om. Bk. Turr. — vv. *καὶ μὴν πολλῷ* — *κατὰ πόλιν* transposuit ante *ἢ δοκεῖ ἂν ὑμῖν* § 45 Mr. — *πλέον γεγωνεῖν* Cobet. Mnem. IV, 153: *πλέον γε ἀγνοεῖν* (*πλ. γε ἀκούειν* Br., *ἧσσόν γε ἀγνοεῖν* ipse aliquando proposui).

45. *σημεῖον* (*οὐδὲν*) Cob. Hi., qui deinceps delet *οὐδὲ*

δύνασθαι ἐν τοιούτῳ πράγματι ὧν τά τε ἐν τῇ γῇ ὄντα ἀναξύσαι καὶ τὰ ἐν τῷ πλοίῳ ἀποσπογγίσαι, ἃ οὐδὲ μεθ' ἡμέραν (ἄν) τις οἷός τε ἐγένετο, ἔνδον ὢν αὐτοῦ καὶ μὴ πεφοβημένος, τὸ παράπαν ἀφανίσαι; ταῦτα, ὦ ἄνδρες, πῶς εἰκότα ἐστίν; Ὃ δὲ καὶ μά- 46
λιστα δεῖ ἐνθυμεῖσθαι, — καὶ μή μοι ἄχθεσθε, ἂν ὑμᾶς πολλάκις ταὐτὰ διδάξω. μέγας γὰρ ὁ κίνδυνός ἐστιν, καθ' ὅ τι δ' ἂν ὑμεῖς ὀρθῶς γνῶτε, κατὰ τοῦτο σώζομαι, καθ' ὅ τι δ' ἂν ψευσθῆτε τἀληθοῦς, κατὰ τοῦτο ἀπόλλυμαι. μὴ οὖν ἐξέληται τοῦτο ὑμῶν μηδείς, ὅτι τὸν μηνυτὴν ἀπέκτειναν, καὶ διετείναντο αὐτὸν μὴ εἰσελθεῖν εἰς ὑμᾶς, μηδ' ἐμοὶ ἐγγενέσθαι παρόντι ἄξαι τὸν ἄνδρα καὶ βασανίσαι αὐτόν. καί- 47
τοι πρὸς τούτων ἦν τοῦτο. νῦν δὲ πριάμενοι τὸν ἄνδρα, ἰδίᾳ ἐπὶ σφῶν αὐτῶν ἀπέκτειναν τὸν μηνυτήν, οὔτε τῆς πόλεως ψηφισαμένης, οὔτε αὐτόχειρα ὄντα τοῦ | ἀνδρός. ὃν ἐχρῆν δεδεμένον αὐτοὺς φυ- 135
λάσσειν, ἢ τοῖς φίλοις τοῖς ἐμοῖς ἐξεγγυῆσαι, ἢ τοῖς ἄρχουσι τοῖς ὑμετέροις παραδοῦναι, καὶ ψῆφον περὶ αὐτοῦ γενέσθαι. νῦν δὲ αὐτοὶ καταγνόντες τὸν θάνατον τοῦ ἀνδρὸς ἀπεκτείνατε· ὃ οὐδὲ πόλει ἔξεστιν, ἄνευ Ἀθηναίων οὐδένα θανάτῳ ζημιῶσαι. καὶ τῶν

αἷμα. — ἀνασπογγίσαι NMr. — ἂν post ἡμέραν add. Bait.; ἐγένετ' ἂν Dobr.

46. μάλιστα ἐνθυμεῖσθε N; δεῖ om. etiam pr. A. — ταὐτὰ N: ταῦτα cett. cod. et Ald. — ἐξελεῖται N et pr. A; ἐξέλητε M Ald. — διετείναντο] cf. Harp.: διετείνοντο. ἰδίως Ἀ. τοῦτ' ἔταξεν ἐν τῷ περὶ τοῦ Ἡρώδου φόνου, ἀντὶ τοῦ διὰ συντόνου σπουδῆς ἀπηρνήσαντο. Igitur Harp. quoque, ut vidit Bk., διετείναντο legit: quamquam impf. exstat etiam ap. Suid. Zonar. Cram. Anecd. II p. 492, 33. — ἄξαι] ἐξαιτεῖν Baiter.

μὲν ἄλλων λόγων τῶν ἐκείνου τουτουσὶ κριτὰς ἠξιώσατε γενέσθαι, τῶν δὲ ἔργων αὐτοὶ δικασταὶ ἐγίγνεσθε.
48 καίτοι οὐδὲ οἱ τοὺς δεσπότας ἀποκτείναντες, ἐὰν ἐπ' αὐτοφώρῳ ληφθῶσιν, οὐδ' οὗτοι ἀποθνήσκουσιν ὑπ' αὐτῶν τῶν προσηκόντων, ἀλλὰ παραδιδόασιν αὐτοὺς τῇ ἀρχῇ κατὰ νόμους ὑμετέρους πατρίους. εἴπερ γὰρ καὶ μαρτυρεῖν ἔξεστι δούλῳ κατὰ τοῦ ἐλευθέρου τὸν φόνον, καὶ τῷ δεσπότῃ, ἂν δοκῇ, ἐπεξελθεῖν ὑπὲρ τοῦ δούλου, καὶ ἡ ψῆφος ἴσον δύναται τῷ δοῦλον ἀποκτείναντι καὶ τῷ ἐλεύθερον, εἰκός τοι καὶ ψῆφον γενέσθαι περὶ αὐτοῦ ἦν, καὶ μὴ ἄκριτον ἀποθανεῖν αὐτὸν ὑφ' ὑμῶν. ὥστε πολλῷ ἂν δικαιότερον ὑμεῖς ἐκρίνεσθε ἢ ἐγὼ νῦν φεύγω ὑφ' ὑμῶν ἀδίκως.

49 Σκοπεῖτε δὲ ὦ ἄνδρες καὶ ἐκ τοῖν λόγοιν τοῖν ἀνδροῖν ἑκατέροιν τοῖν βασανισθέντοιν τὸ δίκαιον καὶ τὸ εἰκός. ὁ μὲν γὰρ δοῦλος δύο λόγω ἔλεγε· τοτὲ μὲν ἔφη με εἰργάσθαι τὸ ἔργον, τοτὲ δὲ οὐκ ἔφη· ὁ δὲ ἐλεύθερος οὐδέπω νῦν εἴρηκε περὶ ἐμοῦ φλαῦρον οὐδέν, τῇ αὐτῇ βασάνῳ βασανιζόμενος·
50 τοῦτο μὲν γὰρ οὐκ ἦν αὐτῷ ἐλευθερίαν προτείναντας ὥσπερ τὸν ἕτερον πεῖσαι· τοῦτο δὲ μετὰ τοῦ ἀληθοῦς ἐβούλετο κινδυνεύων πάσχειν ὅ τι δέοι. ἐπεὶ

47. *ἄλλων* abesse mal. Dobr. Bait. — *ἐγίγνεσθε* scripsi: *γίνεσθαι* Z Turr., *γίνεσθε* cett.

48. *ἀποθνήσκουσιν* N Mr.: *θνήσκουσιν*. — *τῷ ἐλεύθερον* ci. R., recep. Bk.: *τὸν ἐλεύθερον*. — *δικαιότ. ὑμεῖς* N Mr.: *ὑμεῖς δικαιότερον*. — *κρίνεσθε* codd.; *κρίνοισθε* v. — *φεύγω* add. N A Bk.

49. *σκοπεῖτε δὲ*] *σκ. δὴ* NAB. — *ἑκατέρον?* — *δύο*] *δύω* A Ald. (Turr.), *δὺν* B, *σὺν* ZM. cf. 3 β 12; 6, 31.

50. *προτείναντας* N A et ci. R., *προτείναντον* B, *προτείναντι* v. ante Bk. — *ὅτι δέοι* NAB Bk. in Add. Turr.

τό γε συμφέρον καὶ οὗτος ἠπίστατο, ὅτι τότε παύ-
σοιτο στρεβλούμενος, ὁπότε εἴποι τὰ τούτοις δοκοῦν-
τα. ποτέρῳ οὖν εἰκός ἐστι πιστεῦσαι, τῷ διὰ τέλους
τὸν αὐτὸν ἀεὶ λόγον λέγοντι, ἢ τῷ τοτὲ μὲν φάσκοντι
τοτὲ δ' οὔ; ἀλλὰ καὶ ἄνευ βασάνου τοιαύτης οἱ τοὺς
αὐτοὺς αἰεὶ περὶ τῶν αὐτῶν λόγους λέγοντες πιστό-
τεροί εἰσι τῶν διαφερομένων σφίσιν αὐτοῖς. ἔπειτα 51
δὲ καὶ ἐκ τῶν λόγων τῶν τοῦ ἀνθρώπου μερὶς ἑκα-
τέρῳ ἴση ἐστί, τούτοις μὲν τὸ φάσκειν, ἐμοὶ δὲ τὸ
μὴ φάσκειν, ἔκ τε ἀμφοῖν τοῖν ἀνδροῖν τοῖν βασα-
νισθέντοιν· ὁ μὲν γὰρ ἔφησεν, ὁ δὲ διὰ τέλους ἔξαρ-
νος ἦν. καὶ μὲν δὴ τὰ ἐξ ἴσου γενόμενα τοῦ φεύ-
γοντός ἐστι μᾶλλον ἢ τοῦ διώκοντος, εἴπερ γε καὶ
τῶν ψήφων ὁ ἀριθμὸς ἐξ ἴσου γιγνόμενος τὸν φεύ-
γοντα μᾶλλον ὠφελεῖ ἢ τὸν διώκοντα.

Ἡ μὲν βάσανος ὦ ἄνδρες τοιαύτη γεγένηται, ᾗ 52
οὗτοι πιστεύοντες εὖ εἰδέναι φασὶν ὑπ' ἐμοῦ ἀποθα-
νόντα τὸν ἄνδρα. καίτοι τὸ παράπαν ἔγωγ' ἂν εἴ
τι συνῄδειν ἐμαυτῷ καὶ εἴ τι ἐμοὶ τοιοῦτον εἴργα-
στο, ἠφάνισ' ἂν τὼ ἀνθρώπω, ὅτε ἐπ' ἐμοὶ ἦν τοῦ-
το μὲν εἰς τὴν Αἶνον ἀπάγειν ἅμα ἐμοί, τοῦτο δὲ
εἰς τὴν ἤπειρον διαβιβάσαι, καὶ μὴ ὑπολείπεσθαι
μηνυτὰς κατ' ἐμαυτοῦ τοὺς συνειδότας. φασὶ δὲ 53

Mr.: ἔτι δ. Z, εἴ τι δ. v. — παύσοιτο Cob.: παύσαιτο. — ἀεὶ λόγον NMr.: λόγον ἀεὶ v. (ἀεὶ om. Z et pr. A, quod prob. S.).

51. τοῦ ἑτέρου ἀνθρ. Hi., qui del. vv. ἔκ τε ἀμφ. — ἔξαρνος ἦν. — ἑκατέροις W. — ἴση ἐστί] ἴσον ἐπὶ ut videtur pr. A, ἴσον εἰ N. num igitur μέρος olim fuit? — τούτοις μὲν τὸ] τοῦτον μέν τοι N, τοῦτο μέντοι pr. A. — (πρὸς) τοῦ φεύγοντος Hi. — γιγνόμενος N: γενόμενος.

52. γεγένηται N: ἐγένετο. — εἴ τι ἐμοὶ] εἴ τ' ἐμοὶ N et pr. A. — ἀπάγων N et pr. A.

γραμματείδιον εὑρεῖν ἐν τῷ πλοίῳ, ὃ ἔπεμπον ἐγὼ
Λυκίνῳ, ὡς ἀποκτείναιμι τὸν ἄνδρα. καίτοι τί ἔδει
με γραμματείδιον πέμπειν, αὐτοῦ συνειδότος τοῦ τὸ
γραμματείδιον φέροντος; ὥστε τοῦτο μὲν σαφέστε-
ρον αὐτὸς ἔμελλεν ἐρεῖν ὁ εἰργασμένος, τοῦτο δὲ
οὐδὲν ἔδει κρύπτειν αὐτόν· ἃ γὰρ μὴ οἷόν τε εἰδέναι
τὸν φέροντα, ταῦτ᾽ ἄν τις μάλιστα συγγράψας πέμ-
54 ψειεν. ἔπειτα δὲ ὅ τι μὲν μακρὸν εἴη πρᾶγμα, τοῦτο
μὲν ἄν τις ἀναγκασθείη γράψαι τῷ μὴ διαμνημο-
νεύειν τὸν ἀπαγγέλλοντα ὑπὸ πλήθους· τοῦτο δὲ
βραχὺ ἦν ἀπαγγεῖλαι, ὅτι τέθνηκεν ὁ ἀνήρ. ἔπειτα
ἐνθυμεῖσθε ὅτι διάφορον ἦν τὸ γραμματείδιον τῷ
βασανισθέντι, διάφορος δ᾽ ὁ ἄνθρωπος τῷ γραμμα-
τειδίῳ· ὁ μὲν γὰρ βασανιζόμενος αὐτὸς ἔφη ἀποκτεῖ-
ναι, τὸ δὲ γραμματείδιον ἀνοιχθὲν ἐμὲ τὸν ἀποκτεί-
55 ναντα ἐμήνυε. καίτοι ποτέρῳ χρὴ πιστεῦσαι; τὸ μὲν
γὰρ πρῶτον οὐχ εὗρον ἐν τῷ πλοίῳ ζητοῦντες τὸ
γραμματείδιον, ὕστερον δέ. τότε μὲν γὰρ οὔπω οὕ-
τως ἐμεμηχάνητο αὐτοῖς· ἐπειδὴ δὲ ὁ ἄνθρωπος ὁ
πρότερος βασανισθεὶς οὐδὲν ἔλεγε κατ᾽ ἐμοῦ, τότε

53. γραμματείδιον ubique Bk.: γραμματίδιον. — post φέροντος codd. omnes inserunt: τίνος γε δὴ ἕνεκα — ἐμοὶ κἀκείνῳ (§ 57 init.), quae verba suo loco omissa sunt. Transposuit Aldus. — αὐτὸς ci. R. (Turr.): αὐτοῖς. — ἐρεῖν] εὑρεῖν N. — κρύπτειν αὐτόν editt.: κρ. αὐτά codd. — μὴ post ἃ γὰρ ex NA add. Bk. — συγγράψας πέμψ.] συγγράψειεν ZM et v. ante Bk.

54. μὲν post τοῦτο (τούτου N, τοῦ A pr.) add. NMr. — τῷ μὴ] τοῦ μὴ N (quod prob. Fr.), τὸ μὴ A corr. — διάφορον mal. R. Bk. (Turr.): διαφέρον. — γραμματιδίῳ ci. Mr.: γραμματίῳ (γραμματείῳ Bk.). — γραμματίδιον NZM Mr.: γραμμάτιον cett. (γραμματεῖον Bk.).

55. τὸ μὲν γὰρ πρῶτον] haec parum integra videntur. — οὕτω N. — πρότερος NMr. (sicut ὕστερος § 56): πρότερον.

εἰσβάλλουσιν εἰς τὸ πλοῖον τὸ γραμματείδιον, ἵνα ταύτην ἔχοιεν ἐμοὶ τὴν | αἰτίαν ἐπιφέρειν· ἐπειδὴ δὲ ἀνεγνώσθη τὸ γραμματείδιον καὶ ὁ ὕστερος βασανι- 136
ζόμενος οὐ συνεφέρετο τῷ γραμματειδίῳ, οὐκέτι οἷόν τ' ἦν ἀφανίσαι τὰ ἀναγνωσθέντα. εἰ γὰρ ἡγήσαντο τὸν ἄνδρα πείσειν ἀπὸ πρώτης καταψεύδεσθαί μου, οὐκ ἄν ποτ' ἐμηχανήσαντο τὰ ἐν τῷ γραμματειδίῳ. Καί μοι μάρτυρας τούτων κάλει.

ΜΑΡΤΥΡΕΣ.

Τίνος γε δὴ ἕνεκα τὸν ἄνδρα ἀπέκτεινα; οὐδὲ 57
γὰρ ἔχθρα οὐδεμία ἦν ἐμοὶ κἀκείνῳ. λέγειν δὲ τολμῶσιν ὡς ἐγὼ χάριτι τὸν ἄνδρα ἀπέκτεινα. καὶ τίς πώποτε χαριζόμενος ἑτέρῳ τοῦτο εἰργάσατο; οἶμαι μὲν γὰρ οὐδένα, ἀλλὰ δεῖ μεγάλην τὴν ἔχθραν ὑπάρχειν τῷ τοῦτο μέλλοντι ποιήσειν, καὶ τὴν πρόνοιαν ἐκ πολλῶν φανερὰν εἶναι ἐπιβουλευομένην. ἐμοὶ δὲ κἀκείνῳ οὐκ ἦν ἔχθρα οὐδεμία. Εἶεν, ἀλλὰ δείσας 58
περὶ ἐμαυτοῦ μὴ αὐτὸς παρ' ἐκείνου τοῦτο πάθοιμι; καὶ γὰρ ἂν τῶν τοιούτων ἕνεκά τις ἀναγκασθείη τοῦτο ἐργάσασθαι. ἀλλὰ οὐδέν μοι τοιοῦτον ὑπῆρκτο εἰς αὐτόν. Ἀλλὰ χρήματα ἔμελλον λήψεσθαι ἀποκτείνας αὐτόν; ἀλλ' οὐκ ἦν αὐτῷ. ἀλλὰ σοὶ 59

56. ἀνεγνώσθη NA Bk.: ἀνεσώθη. — συνεπεφέρετο τὸ γραμματίδιον BZM; συνεπιφέρετο τῷ γρ. Ald. (συνεφέρ. iam R.). — οὐκέτι N: οὐκέτ' A, οὐκέθ' v.

57. οὐδὲ Ald.: οὔτε. — κἀκείνῳ NMr.: καὶ ἐκείνῳ. cf. autem de hoc enuntiato (τίνος — κἀκείνῳ) quae ad § 53 adnotavi. — ἀπέκτεινα W.: ἔκτεινα. — φανερὰν εἶναι NMr.: εἶναι φαν.

58. vv. ἀλλὰ χρήματα — οὐκ ἦν αὐτῷ in codd. post ἔχθρα οὐδεμία (§ 57 extr.) inferuntur: transp. Dobr. Bait. Mr.

μᾶλλον ἐγὼ τὴν πρόφασιν ταύτην ἔχοιμ' ἂν εἰκότως μετὰ τῆς ἀληθείας ἀναθεῖναι, ὅτι χρημάτων ἕνεκα ζητεῖς ἐμὲ ἀποκτεῖναι, μᾶλλον ἢ σὺ ἐμοὶ ἐκεῖνον· καὶ πολὺ ἂν δικαιότερον ἁλοίης σὺ τοῦ φόνου ἐμὲ ἀποκτείνας ὑπὸ τῶν ἐμοὶ προσηκόντων, ἢ ἐγὼ ὑπὸ σοῦ καὶ τῶν ἐκείνου ἀναγκαίων. ἐγὼ μὲν γάρ σοι φανερὰν τὴν πρόνοιαν εἰς ἐμὲ ἀποδείκνυμι, σὺ δέ με ἐν ἀφανεῖ λόγῳ ζητεῖς ἀπολέσαι.

60 Ταῦτα μὲν ὑμῖν λέγω, ὡς αὐτῷ μοι πρόφασιν οὐδεμίαν ἔχει ἀποκτεῖναι τὸν ἄνδρα· δεῖ δέ με καὶ ὑπὲρ Λυκίνου ἀπολογήσασθαι, ὡς ἔοικεν, ἀλλ' οὐχ ὑπὲρ αὑτοῦ μόνον, ὡς οὐδ' ἐκεῖνον εἰκότως αἰτιῶνται. λέγω τοίνυν ὑμῖν ὅτι ταὐτὰ ὑπῆρχεν αὐτῷ εἰς ἐκεῖνον ἅπερ ἐμοί· οὔτε γὰρ χρήματα ἦν αὐτῷ ὁπόθεν ἂν ἔλαβεν ἀποκτείνας ἐκεῖνον, οὔτε κίνδυνος αὐτῷ ὑπῆρχεν οὐδεὶς ὅντινα διέφευγεν ἀποθανόντος
61 ἐκείνου. τεκμήριον δὲ μέγιστον ὡς οὐκ ἐβούλετο αὐτὸν ἀπολέσαι· ἐξὸν γὰρ αὐτῷ ἐν ἀγῶνι καὶ κινδύνῳ μεγάλῳ καταστήσαντι μετὰ τῶν νόμων τῶν ὑμετέρων ἀπολέσαι ἐκεῖνον, εἴπερ προωφείλετο αὐτῷ κακόν, καὶ τό τε ἴδιον τὸ αὑτοῦ διαπράξασθαι καὶ τῇ πόλει τῇ ὑμετέρᾳ χάριν καταθέσθαι, εἰ ἐπέδειξεν ἀδικοῦντα ἐκεῖνον, οὐκ ἠξίωσεν, ἀλλ' οὐδ' ἦλθεν

59. σὺ ἐμοὶ] σὺν ἐμ. N, pr. A, ZM. — ἁλοίης NA: ἀλλοίης B, ἀλλοιεῖς ZM, ἁλῴης v. ante Bk. — σὺ τοῦ φόνου Ald. et v. ante Bk.: τοῦ φόνου codd. Bk., σὺ φόνου Mr.

60. ἔχει (ἀναθεῖναι) Bait.; εἶχε (τὸ) ἀποκτ. K. — δεῖ δέ με] δέ om. N.

61. προώφειλέ τι Dobr. — ἦλθεν ἐπὶ τοῦτον Mr. e N. — post αὐτῷ deesse videtur παρέξομαι δὲ τούτων τοὺς μάρτυρας vel simile quid. idem accidit 6, 15 (cf. etiam 5, 83).

ἐπὶ τοῦτο. καίτοι καλλίων γε ἦν ὁ κίνδυνος αὐτῷ.

. . . .

ΜΑΡΤΥΡΕΣ.

Ἀλλὰ γὰρ ἐνταῦθα μὲν ἀφῆκεν αὐτόν· οὐ 62
γὰρ ἔδει κινδυνεύειν αὐτὸν περί τε αὑτοῦ καὶ περὶ
ἐμοῦ· ἐνταῦθα δ' ἐπεβούλευεν, ἐν ᾧ γνωσθεὶς ἂν
ἀπεστέρει μὲν ἐμὲ τῆς πατρίδος, ἀπεστέρει δὲ αὑ-
τὸν ἱερῶν καὶ ὁσίων καὶ τῶν ἄλλων ἅπερ μέγιστα
καὶ περὶ πλείστου ἐστὶν ἀνθρώποις. Ἔπειτα δ' εἰ
καὶ ὡς μάλιστα ἐβούλετο αὐτὸν ὁ Λυκῖνος τεθνάναι
— εἶμι γὰρ καὶ ἐπὶ τὸν τῶν κατηγόρων λόγον —, οὗ
αὐτὸς οὐκ ἠξίου αὐτόχειρ γενέσθαι, τοῦτο τὸ ἔργον
ἐγώ ποτ' ἂν ἐπείσθην ἀντ' ἐκείνου ποιῆσαι; πότερα 63
ὡς ἐγὼ μὲν ἦν τῷ σώματι ἐπιτήδειος διακινδυνεύειν,
ἐκεῖνος δὲ χρήμασι τὸν ἐμὸν κίνδυνον ἐκπρίασθαι;
οὐ δῆτα· τῷ μὲν γὰρ οὐκ ἦν χρήματα, ἐμοὶ δὲ ἦν·
ἀλλ' αὐτὸ τοὐναντίον ἐκεῖνος τοῦτο θᾶσσον ἂν ὑπ'
ἐμοῦ ἐπείσθη κατά γε τὸ εἰκὸς ἢ ἐγὼ ὑπὸ τούτου,
ἐπεὶ ἐκεῖνός γ' ἑαυτὸν οὐδ' ὑπερήμερον γενόμενον
ἑπτὰ μνῶν δυνατὸς ἦν λύσασθαι, ἀλλ' οἱ φίλοι αὐ-
τὸν ἐλύσαντο. καὶ μὲν δὴ καὶ τῆς χρείας τῆς ἐμῆς
καὶ τῆς Λυκίνου τοῦτο ὑμῖν μέγιστον τεκμήριόν ἐστιν,
ὅτι οὐ σφόδρα ἐχρώμην ἐγὼ Λυκίνῳ φίλῳ, ὡς πάντα
ποιῆσαι ἂν τὰ ἐκείνῳ δοκοῦντα· οὐ γὰρ δή που ἑπτὰ
μὲν μνᾶς οὐκ ἀπέτισα ὑπὲρ αὐτοῦ δεδεμένου καὶ

62. οὐ γὰρ] οὐδὲ N, οὕπερ οὐκ Ald. et v. ante Bk. — περὶ ἐμοῦ] περὶ add. N Mr.

63. αὐτὸ τοὐναντίον S.: αὐτὸ τοῦτο ἐν. N et pr. A, αὐτὸ τὸ ἐν. v. — vv. τῷ μὲν γὰρ — ἐμοὶ δὲ ἦν cum R. post ὑπὸ τούτου transposita mal. Bait. — τεκμήριόν ἐστιν] num τ. ἔσται? — ἐπέτισα N. — ὑπὲρ αὐτοῦ Meier. Mr.: περὶ αὐτοῦ.

λυμαινομένου, κίνδυνον δὲ τοσοῦτον ἀράμενος ἄν-
δρα ἀπέκτεινα δι' ἐκεῖνον.
64 Ὡς μὲν οὖν οὐκ αὐτὸς αἴτιός εἰμι τοῦ πράγμα-
τος οὐδὲ ἐκεῖνος, ἀποδέδεικται καθ' ὅσον ἐγὼ δύνα-
137 μαι | μάλιστα. τούτῳ δὲ χρῶνται πλείστῳ λόγῳ οἱ
κατήγοροι, ὅτι ἀφανής ἐστιν ὁ ἀνήρ, καὶ ὑμεῖς ἴσως
περὶ τούτου αὐτοῦ ποθεῖτε ἀκοῦσαι. εἰ μὲν οὖν
τοῦτο εἰκάζειν με δεῖ, ἐξ ἴσου τοῦτό ἐστι καὶ ὑμῖν
καὶ ἐμοί· οὔτε γὰρ ὑμεῖς αἴτιοι τοῦ ἔργου ἐστὲ οὔτε
ἐγώ· εἰ δὲ δεῖ τοῖς ἀληθέσι χρῆσθαι, τῶν εἰργασμέ-
νων τινὰ ἐρωτώντων· ἐκείνου γὰρ (ἂν) ἄριστα πύ-
65 θοιντο. ἐμοὶ μὲν γὰρ τῷ μὴ εἰργασμένῳ τοσοῦτον
το μακρότατον τῆς ἀποκρίσεώς ἐστιν, ὅτι οὐκ εἴρ-
γασμαι· τῷ δὲ ποιήσαντι ῥαδία ἐστὶν ἡ ἀπόδειξις,
καὶ μὴ ἀποδείξαντι εὖ εἰκάσαι. οἱ μὲν γὰρ πανουρ-
γοῦντες ἅμα τε πανουργοῦσι καὶ πρόφασιν εὑρί-
σκουσι τοῦ ἀδικήματος· τῷ δὲ μὴ εἰργασμένῳ χαλε-
πὸν περὶ τῶν ἀφανῶν εἰκάζειν. οἶμαι δ' ἂν καὶ
ὑμῶν ἕκαστον εἴ τίς τινα ἔροιτο ὅ τι μὴ τύχοι εἰ-
δώς, τοσοῦτον ἂν εἰπεῖν, ὅτι οὐκ οἶδεν· εἰ δέ τις
περαιτέρω κελεύοι λέγειν, ἐν πολλῇ ἂν ἔχεσθαι ὑμᾶς
66 ἀπορίᾳ δοκῶ. μὴ τοίνυν ἐμοὶ νείμητε τὸ ἄπορον
τοῦτο, ἐν ᾧ μηδ' ἂν αὐτοὶ εὐπορεῖτε· μηδὲ ἐὰν εὖ

64. περὶ τούτου αὐτοῦ] π. τ. αὐτοὶ R. — με δεῖ N Mr.: δεῖ με. — ἂν ante ἄριστα add. Dobr. (Turr.); ἄριστ' ἂν Hi.

65. μακρότατον (ci. R.) N Mr.: μακρότερον. — τῷ δὲ μὴ εἰργασμ.] τ. δ. μ. ἐργασαμένῳ N. — εἴ τίς τινα] num εἴ τίς τι? — εἶπεν pr. A. — εἰ δ' ἔτι περ. Dobr.; εἰ δέ τι καὶ περ. ci. R. — κελεύοι R Bk. Turr. Mr.: κελεύει. — ἔχεσθαι ὑμᾶς N Mr.: ὑμ. ἔχ. AB Bk. Dobs. Turr.; ὑμ. ἔσεσθαι ceteri.

66. εὐπορεῖτε B Bk.; εὐποροῖτε A; εὐπορῆτε v. — ἀξιοῦται pr. A. — ἐὰν μὴ ἐξεύρω codd.; μὴ uncis incl. R., om. Turr.

εἰκάζω, ἐν τούτῳ μοι ἀξιοῦτε τὴν ἀπόφευξιν εἶναι,
ἀλλ' ἐξαρκείτω μοι ἐμαυτὸν ἀναίτιον ἀποδεῖξαι τοῦ
πράγματος. ἐν τούτῳ οὖν ἀναίτιός εἰμι, οὐκ ἐὰν
ἐξεύρω ὅτῳ τρόπῳ ἀφανής ἐστιν ἢ ἀπόλωλεν ἁνήρ,
ἀλλ' εἰ μὴ προσήκει μοι μηδὲν ὥστ' ἀποκτεῖναι αὐ-
τόν. Ἤδη δ' ἔγωγε καὶ πρότερον ἀκοῇ ἐπίσταμαι 67
γεγονός, τοῦτο μὲν τοὺς ἀποθανόντας τοῦτο δὲ τοὺς
ἀποκτείναντας οὐχ εὑρεθέντας· οὔκουν ἂν καλῶς
ἔχοι, εἰ τούτων δέοι τὰς αἰτίας ὑποσχεῖν τοὺς συγ-
γενομένους. πολλοὶ δέ γ' ἤδη σχόντες ἑτέρων πραγ-
μάτων αἰτίας, πρὶν τὸ σαφὲς αὐτῶν γνωσθῆναι,
προαπώλοντο. αὐτίκα Ἐφιάλτην τὸν ὑμέτερον πο- 68
λίτην οὐδέπω νῦν εὕρηνται οἱ ἀποκτείναντες· εἰ οὖν
τις ἠξίου τοὺς συνόντας ἐκείνῳ εἰκάζειν οἵτινες ἦσαν
οἱ ἀποκτείναντες Ἐφιάλτην, εἰ δὲ μή, ἐνόχους εἶναι
τῷ φόνῳ, οὐκ ἂν καλῶς εἶχε τοῖς συνοῦσιν. ἔπειτα
οἵ γε Ἐφιάλτην ἀποκτείναντες οὐκ ἐζήτησαν τὸν
νεκρὸν ἀφανίσαι, οὐδ' ἐν τούτῳ κινδυνεύειν μηνῦ-
σαι τὸ πρᾶγμα, ὥσπερ οἵδε φασὶν ἐμὲ τῆς μὲν ἐπι-
βουλῆς οὐδένα κοινωνὸν ποιήσασθαι τοῦ θανάτου,
τῆς δ' ἀναιρέσεως. τοῦτο δ' ἐντὸς οὐ πολλοῦ χρό- 69
νου παῖς ἐζήτησεν οὐδὲ δώδεκα ἔτη γεγονὼς τὸν
δεσπότην ἀποκτεῖναι· καὶ εἰ μὴ φοβηθείς, ὡς ἀνε-
βόησεν, ἐγκαταλιπὼν τὴν μάχαιραν ἐν τῇ σφαγῇ
ᾤχετο φεύγων ἀλλ' ἐτόλμησε μεῖναι, ἀπώλοντ' ἂν οἱ
ἔνδον ὄντες ἅπαντες· οὐδεὶς γὰρ ἂν ᾤετο τὸν παῖδα
τολμῆσαί ποτε τοῦτο· νῦν δὲ συλληφθεὶς αὐτὸς ὕστε-

— ἢ ἀπόλωλεν uncis incl. Mr. — ἁνήρ Turr.: ἀνήρ. — προσήσκει N.

69. ἐν post τὴν μάχαιραν add. N Mr. — ὄντες post ἔν-δον add. N Mr. — τολμῆσαί ποτε τοῦτο N Mr.: ποτε τ. τολμ.

ρον κατεῖπεν αὑτοῦ. τοῦτο δὲ περὶ χρημάτων αἰτίαν
ποτὲ σχόντες οὐκ οὖσαν, ὥσπερ ἐγὼ νῦν, οἱ Ἑλλη-
νοταμίαι οἱ ὑμέτεροι, ἐκεῖνοι μὲν ἅπαντες ἀπέθανον
ὀργῇ μᾶλλον ἢ γνώμῃ, πλὴν ἑνός, τὸ δὲ πρᾶγμα
70 ὕστερον καταφανὲς ἐγένετο. τοῦ δ' ἑνὸς τούτου —
Σωσίαν ὄνομά φασιν αὐτῷ εἶναι — κατέγνωστο μὲν
ἤδη θάνατος, ἐτεθνήκει δὲ οὔπω· καὶ ἐν τούτῳ ἐδη-
λώθη τῷ τρόπῳ ἀπωλώλει τὰ χρήματα, καὶ ὁ ἀνὴρ
ἀπελύθη ὑπὸ τοῦ δήμου τοῦ ὑμετέρου παραδεδομέ-
νος ἤδη τοῖς ἕνδεκα, οἱ δ' ἄλλοι ἐτέθνασαν οὐδὲν
71 αἴτιοι ὄντες. ταῦθ' ὑμῶν αὐτῶν ἐγὼ οἶμαι μεμνῆ-
σθαι τοὺς πρεσβυτέρους, τοὺς δὲ νεωτέρους πυνθά-
νεσθαι ὥσπερ ἐμέ. οὕτως ἀγαθόν ἐστι μετὰ τοῦ
χρόνου βασανίζειν τὰ πράγματα. καὶ τοῦτ' ἴσως ἂν
φανερὸν γένοιτ' ἂν ὕστερον, (ὑπὸ τοῦ) καὶ ὅτῳ τρόπῳ
τέθνηκεν ὁ ἄνθρωπος. μὴ οὖν ὕστερον τοῦτο γνῶτε,
ἀναίτιόν με ὄντα ἀπολέσαντες, ἀλλὰ πρότερόν γ' εὖ
72 βουλεύσασθε καὶ μὴ μετ' ὀργῆς καὶ διαβολῆς· ὡς
τούτων οὐκ ἂν γένοιντο ἕτεροι πονηρότεροι σύμβου-
λοι. οὐ γάρ ἐστιν ὅ τι ἂν ὀργιζόμενος ἄνθρωπος εὖ
γνοίη· αὐτὸ γὰρ ᾧ βουλεύεται, τὴν γνώμην διαφθεί-
ρει τοῦ ἀνθρώπου. μέγα τοι ἡμέρα παρ' ἡμέραν

— αὑτοῦ corr. A Bk. (αὐτοῦ pr. A N): ἑαυτοῦ. — ἀπέθανον] ἀποθανόντες N A pr.

70. ἀπελύθη K.: ἀπήχθη (ἀνήχθη Dobr., ἀπηλλάχθη Bait.).

71. πυνθάνασθαι N. — ἂν post ἴσως om. N (del. Sp., ἴσως ἄρα S). — ὑπὸ τοῦ add. S. καὶ ante ὅτῳ om. N et v. ante Bk. — μήτε οὖν N|A B.

72. vv. οὐ γάρ ἐστιν — τοῦ ἀνθρώπου affert Stob. flor. 20, 44. — ὅ τι ἂν ὀργ. ἄνθρ. εὖ γνοίη Stob.: ὅτι ὀργ. ἄνθρ. ἂν γνοίη codd. — ᾧ βουλ.] ὃ βουλ. Stob. et ci. Steph. (ᾧ βουλεύσεται pr. A, οὐ βούλεται Z M). — τοι N Mr.: τι A (Bk.

γιγνομένη γνώμην, ὦ ἄνδρες, ἐξ ὀργῆς μεταστῆσαι καὶ
τὴν ἀλήθειαν εὑρεῖν τῶν γεγενημένων. | Εὖ δὲ ἴστε 73
ὅτι ἐλεηθῆναι ὑφ' ὑμῶν ἄξιός εἰμι μᾶλλον ἢ δίκην 138
δοῦναι· δίκην μὲν γὰρ εἰκός ἐστι διδόναι τοὺς ἀδικοῦντας, ἐλεεῖσθαι δὲ τοὺς ἀδίκως κινδυνεύοντας. κρεῖσσον δὲ χρὴ γίγνεσθαι ἀεὶ τὸ ὑμέτερον δυνάμενον ἐμὲ δικαίως σώζειν, ἢ τὸ τῶν ἐχθρῶν βουλόμενον ἀδίκως με ἀπολλύναι. ἐν μὲν γὰρ τῷ ἐπισχεῖν ἔστι καὶ τὰ δεινὰ ταῦτα ποιῆσαι ἃ οὗτοι κελεύουσιν· ἐν δὲ τῷ παραχρῆμα οὐκ ἔστιν ἀρχὴν ὀρθῶς βουλεύεσθαι.

Δεῖ δέ με καὶ ὑπὲρ τοῦ πατρὸς ἀπολογήσασθαι. 74
καίτοι γε πολλῷ μᾶλλον εἰκὸς ἦν ἐκεῖνον ὑπὲρ ἐμοῦ ἀπολογήσασθαι πατέρα ὄντα· ὁ μὲν γὰρ πολλῷ πρεσβύτερός ἐστι τῶν ἐμῶν πραγμάτων, ἐγὼ δὲ πολλῷ νεώτερος τῶν ἐκείνῳ πεπραγμένων. καὶ εἰ μὲν ἐγὼ τούτου ἀγωνιζομένου κατεμαρτύρουν ἃ μὴ σαφῶς ᾔδειν ἀκοῇ δὲ ἠπιστάμην, δεινὰ ἂν ἔφη
πάσχειν ὑπ' ἐμοῦ· νῦν δὲ ἀναγκάζων ἐμὲ ἀπολογεῖ- 75
σθαι ὧν ἐγὼ πολλῷ νεώτερός εἰμι καὶ λόγῳ οἶδα, ταῦτα οὐ δεινὰ ἡγεῖται εἰργάσθαι. ὅμως μέντοι καθ' ὅσον ἐγὼ οἶδα, οὐ προδώσω τὸν πατέρα κακῶς ἀκούοντα ἐν ὑμῖν ἀδίκως. καίτοι τάχ' ἂν σφαλείην, ἃ ἐκεῖνος ὀρθῶς ἔργῳ ἔπραξε, ταῦτ' ἐγὼ λόγῳ μὴ
ὀρθῶς εἰπών· ὅμως δ' οὖν κεκινδυνεύσεται. Πρὶν 76

Dobs. Turr.), *τε* v. — *ἡμέρα* et *γιγνομένη* ci. Steph. R. (Bk.): *ἡμέραν* — *γιγνομένην*. — *ἄνδρες*] *ἀνδρὸς* N. num igitur *γνώμην ἀνδρὸς*? — *μεταστήσειν* codd., em. Steph. (Bk).

73. *δὲ χρὴ*] *δὴ χρὴ* N. — *γίγνεσθαι ἀεὶ* NMr.: *ἀεὶ γίγνεσθαι*. — post *παραχρῆμα* deesse aliquid videtur (*ἐξεργάσασθαι*? cf. § 92). — *ἀρχὴ ἢ* codd.; *ἀρχὴν* Ald.

75. *καὶ κινδυνεύσεται* N et pr. A.

μὲν γὰρ τὴν ἀπόστασιν τῶν Μιτυληναίων γενέσθαι, ἔργῳ τὴν εὔνοιαν ἐδείκνυε τὴν εἰς ὑμᾶς· ἐπειδὴ δὲ ἡ πόλις ὅλη κακῶς ἐβουλεύσατο [ἀποστᾶσα] καὶ ἥμαρτε τῆς ὑμετέρας γνώμης, μετὰ τῆς πόλεως ὅλης ἠναγκάσθη συνεξαμαρτεῖν. τὴν μὲν οὖν γνώμην ἔτι καὶ ἐν ἐκείνοις ὅμοιος ἦν εἰς ὑμᾶς, τὴν δὲ εὔνοιαν οὐκέτι ἦν ἐπ᾽ ἐκείνῳ τὴν αὐτὴν εἰς ὑμᾶς παρέχειν. οὔτε γὰρ ἐκλιπεῖν τὴν πόλιν εὐρόπως εἶχεν αὐτῷ· ἱκανὰ γὰρ ἦν τὰ ἐνέχυρα ἃ εἴχετο αὐτοῦ, οἵ τε παῖδες καὶ τὰ χρήματα· τοῦτο δ᾽ αὖ μένοντι πρὸς τὴν
77 πόλιν αὐτῷ ἀδυνάτως εἶχεν ἰσχυρίζεσθαι. ἐπεὶ δ᾽ ὑμεῖς τοὺς αἰτίους τούτων ἐκολάσατε, ἐν οἷς οὐκ ἐφαίνετο ὢν ὁ ἐμὸς πατήρ, τοῖς δ᾽ ἄλλοις Μιτυληναίοις ἄδειαν ἐδώκατε οἰκεῖν τὴν σφετέραν αὐτῶν, οὐκ ἔστιν ὅ τι ὕστερον αὐτῷ ἡμάρτηται, [τῷ ἐμῷ πατρί,] οὐδ᾽ ὅ τι οὐ πεποίηται τῶν δεόντων, οὐδ᾽ ἧς τινος λειτουργίας ἡ πόλις ἐνδεὴς γεγένηται, οὔτε ἡ ὑμετέρα οὔτε ἡ Μιτυληναίων, ἀλλὰ καὶ χορηγίας
78 χορηγεῖ καὶ τέλη κατατίθησιν. εἰ δ᾽ ἐν Αἴνῳ χωροφιλεῖ, τοῦτο οὐκ ἀποστερῶν γε τῶν εἰς τὴν πόλιν ἑαυτὸν οὐδενὸς οὐδ᾽ ἑτέρας πόλεως πολίτης γεγενημένος, ὥσπερ ἑτέρους ὁρῶ τοὺς μὲν εἰς τὴν ἤπειρον ἰόντας καὶ οἰκοῦντας ἐν τοῖς πολεμίοις τοῖς ὑμετέροις, (τοὺς δὲ) καὶ δίκας ἀπὸ ξυμβόλων ὑμῖν δικαζο-

76. ἀποστᾶσα del. Hi. et deinceps τῆς ὑμετέρας γνώμης, pro quo τῆς ἀσφαλεστέρας sive τῆς ἀμείνονος γν. rescribi vult Dobr. — τὴν δὲ εὔνοιαν] haec parum integra puto: an τὴν δὲ ἐκ τῶν ἔργων εὔνοιαν? — παρέχεσθαι Hi.
77. τῷ ἐμῷ πατρί del. Dobr.; cf. § 21. (αὐτῶν pro αὐτῷ ci. R.) — ἐχορήγει libri. — κατατίθησιν N: κατετίθει.
78. χωροφιλεῖ] cf. Poll. 9, 13: χωροφιλεῖν παρὰ Ἀντιφῶντι. — τοῦτο οὐκ κτέ.] ποιεῖ desid. R., ἀλλὰ add. W. Num ἀλλὰ τούτων? — ἑαυτὸν bis A pr. — τοὺς δὲ inseri

μένους, οὐδὲ φεύγων τὸ πλῆθος τὸ ὑμέτερον, τοὺς
δ' οἵους ὑμεῖς μισῶν συκοφάντας. ἃ μὲν οὖν μετὰ 79
τῆς πόλεως ὅλης ἀνάγκῃ μᾶλλον ἢ γνώμῃ ἔπραξε,
τούτων οὐ δίκαιός ἐστιν ὁ ἐμὸς πατὴρ ἰδίᾳ δίκην
διδόναι. ἅπασι γὰρ Μιτυληναίοις ἀείμνηστος ἡ τότε
ἁμαρτία γεγένηται· ἠλλάξαντο μὲν γὰρ πολλῆς εὐ-
δαιμονίας πολλὴν κακοδαιμονίαν, ἐπεῖδον δὲ τὴν
ἑαυτῶν πατρίδα ἀνάστατον γενομένην. ἃ δὲ ἰδίᾳ
οὗτοι διαβάλλουσι τὸν ἐμὸν πατέρα, μὴ πείθεσθε·
χρημάτων γὰρ ἕνεκα ἡ πᾶσα παρασκευὴ γεγένηται
ἐπ' ἐμοὶ κἀκείνῳ. πολλὰ δέ ἐστι τὰ συμβαλλόμενα
τοῖς βουλομένοις τῶν ἀλλοτρίων ἐφίεσθαι. γέρων
μὲν ἐκεῖνος ὥστ' ἐμοὶ βοηθεῖν, νεώτερος δ' ἐγὼ
πολλῷ ἢ ὥστε δύνασθαι ἐμαυτῷ τιμωρεῖν ἱκανῶς.
ἀλλ' ὑμεῖς βοηθήσατέ μοι, καὶ μὴ διδάσκετε τοὺς 80
συκοφάντας μεῖζον ὑμῶν αὐτῶν δύνασθαι. ἐὰν μὲν
γὰρ εἰσιόντες εἰς ὑμᾶς ἃ βούλονται πράσσωσι, δε-
δειγμένον ἔσται τούτους μὲν πείθειν, τὸ δ' ὑμέτερον
πλῆθος φεύγειν· ἐὰν δὲ εἰσιόντες εἰς ὑμᾶς πονηροὶ
μὲν αὐτοὶ δοκῶσιν εἶναι, πλέον δ' αὐτοῖς μηδὲν γέ-
νηται, ὑμετέρα ἡ τιμὴ καὶ ἡ δύναμις ἔσται, ὥσπερ
καὶ τὸ δίκαιον ἔχει. ὑμεῖς οὖν ἐμοί τε βοηθεῖτε καὶ
τῷ δικαίῳ.

Ὅσα | μὲν οὖν ἐκ τῶν ἀνθρωπίνων τεκμηρίων 81
καὶ μαρτυριῶν οἷά τε ἦν ἀποδειχθῆναι, ἀκηκόατε· 139
χρὴ δὲ καὶ τοῖς ἀπὸ τῶν θεῶν σημείοις γενομένοις
εἰς τὰ τοιαῦτα οὐχ ἥκιστα τεκμηραμένους ψηφίζεσθαι.

vult R. — ἡμέτερον pr. A.
79. ἐπ' ἐμοὶ] ὑπ' ἐμοὶ N. — γέρων μὲν γὰρ mal. Mr.
81. τοῖς τῶν ἀπὸ τῶν θεῶν A pr. —

καὶ γὰρ τὰ τῆς πόλεως κοινὰ τούτοις μάλιστα πιστεύοντες ἀσφαλῶς διαπράσσεσθε, τοῦτο μὲν τὰ εἰς τοὺς κινδύνους ἥκοντα, τοῦτο δὲ [εἰς] τὰ ἔξω τῶν
82 κινδύνων. χρὴ δὲ καὶ εἰς τὰ ἴδια ταῦτα μέγιστα καὶ πιστότατα ἡγεῖσθαι. οἶμαι γὰρ ὑμᾶς ἐπίστασθαι ὅτι πολλοὶ ἤδη ἄνθρωποι μὴ καθαροὶ χεῖρας ἢ ἄλλο τι μίασμα ἔχοντες συνεισβάντες εἰς τὸ πλοῖον συναπώλεσαν μετὰ τῆς αὑτῶν ψυχῆς τοὺς ὁσίως διακειμένους τὰ πρὸς τοὺς θεούς· τοῦτο δὲ ἤδη ἑτέρους ἀπολομένους μὲν οὔ, κινδυνεύσαντας δὲ τοὺς ἐσχάτους κινδύνους διὰ τοὺς τοιούτους ἀνθρώπους· τοῦτο δὲ ἱεροῖς παραστάντες πολλοὶ δὴ καταφανεῖς ἐγένοντο οὐχ ὅσιοι ὄντες καὶ διακωλύοντες τὰ ἱερὰ
83 μὴ γίγνεσθαι τὰ νομιζόμενα. ἐμοὶ τοίνυν ἐν πᾶσι τούτοις τὰ ἐναντία ἐγένετο. τοῦτο μὲν γὰρ ὅσοις συνέπλευσα, καλλίστοις ἐχρήσαντο πλοῖς· τοῦτο δὲ ὅπου ἱεροῖς παρέστην, οὐκ ἔστιν ὅπου οὐχὶ κάλλιστα τὰ ἱερὰ ἐγένετο. ἃ ἐγὼ ἀξιῶ μεγάλα μοι τεκμήρια εἶναι τῆς αἰτίας, ὅτι οὐκ ἀληθῆ μου οὗτοι κατηγοροῦσι .... τούτων μάρτυρες.

ΜΑΡΤΥΡΕΣ.

84 Ἐπίσταμαι δὲ καὶ τάδε, ὦ ἄνδρες δικασταί, ὅτι εἰ μὲν ἐμοῦ κατεμαρτύρουν οἱ μάρτυρες, ὥς τι

εἰς ante τὰ ἔξω seclus. Bk. Mr.
82. [τὸ] πλοῖον Dobr. — ἀπολουμένους pr. A. — τοῦτο δὲ ἱεροῖς] τοῦδε ἱεροῖς N. — καὶ ante διακωλ. del. S. — τὰ νομιζόμενα del. Hi. sed loquitur or. de eis tantum sacris, quae more fiunt; in aliis siquid infausti accideret, id potius concludendum erat, rem ob quam litabatur dis non placere.
83. ὅσοις] ὁσίοις A pr. — (καί μοι ἀνάβητε) τούτων μάρτ. Steph.

ἀνόσιον γεγένηται ἐμοῦ παρόντος ἐν πλοίῳ ἢ ἐν ἱεροῖς, αὐτοῖς γε τούτοις ἰσχυροτάτοις ἂν ἐχρῶντο, καὶ πίστιν τῆς αἰτίας ταύτην σαφεστάτην ἀπέφαινον, τὰ σημεῖα τὰ ἀπὸ τῶν θεῶν· νῦν δὲ τῶν τε σημείων ἐναντίων τοῖς τούτων λόγοις γεγενημένων, τῶν τε μαρτύρων ἃ μὲν ἐγὼ λέγω μαρτυρούντων ἀληθῆ εἶναι, ἃ δ' οὗτοι κατηγοροῦσι ψευδῆ, τοῖς μὲν μαρτυροῦσιν ἀπιστεῖν ὑμᾶς κελεύουσι, τοῖς δὲ λόγοις οὓς αὐτοὶ λέγουσι πιστεύειν ὑμᾶς χρῆναί φασι. καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι τοῖς ἔργοις τοὺς λόγους ἐλέγχουσιν, οὗτοι δὲ τοῖς λόγοις τὰ ἔργα ζητοῦσιν ἄπιστα καθιστάναι.

Ὅσα μὲν οὖν ἐκ τῶν κατηγορηθέντων μέμνημαι, 85
ὦ ἄνδρες, ἀπολελόγημαι· οἶμαι δὲ καὶ (πρὸς) ὑμῶν (εἶναι) ἀποψηφίσασθαι. ταὐτὰ γὰρ ἐμέ τε σώζει, καὶ ὑμῖν νόμιμα καὶ εὔορκα γίγνεται. κατὰ γὰρ τοὺς νόμους ὠμόσατε δικάσειν· ἐγὼ δὲ καθ' οὓς μὲν ἀπήχθην, οὐκ ἔνοχός εἰμι τοῖς νόμοις, ὧν δ' ἔχω τὴν αἰτίαν, ἀγών μοι νόμιμος ὑπολείπεται. εἰ δὲ δύο ἐξ ἑνὸς ἀγῶνος γεγένησθον, οὐκ ἐγὼ αἴτιος, ἀλλ' οἱ κατήγοροι. καίτοι οὐ δή που οἱ μὲν ἔχθιστοι οἱ ἐμοὶ δύο ἀγῶνας περὶ ἐμοῦ πεποιήκασιν, ὑμεῖς δὲ οἱ τῶν δικαίων ἴσοι κριταὶ προκαταγνώσεσθέ μου ἐν τῷδε τῷ ἀγῶνι τὸν φόνον. μὴ ὑμεῖς γε, ὦ ἄν- 86
δρες· ἀλλὰ δότε τι καὶ τῷ χρόνῳ, μεθ' οὗ ὀρθότατα

84. *ἀνόσιον*] *ἀπαίσιον* Dobr. — *γεγενημένων* W.: *γιγνομένων.* — *ἐμοὶ μαρτυροῦσιν* Ald. num *τοῖς μὲν μάρτυσι τοῖς ἐμοὶ μαρτυροῦσιν?* cf. 6, 28. — *τὰ ἔργα ζητοῦσιν* NMr.: *ζητοῦσι τὰ ἔργα.*

85. *καὶ* ante *ὑμῶν* om. N. *πρὸς ὑμῶν εἶναι* K. (*δέομαι* pro *οἶμαι* Dobr.). — *κριταὶ*] *κριτοὶ* A. — *μου*] *με* N. — *ἀγῶνι* ci. Mr.: *λόγῳ* omnes, quod defendit Fr.

εὑρίσκουσιν οἱ τὴν ἀκρίβειαν ζητοῦντες τῶν πραγμάτων. ἠξίουν μὲν γὰρ ἔγωγε περὶ τῶν τοιούτων, ὦ ἄνδρες, εἶναι τὴν δίκην κατὰ τοὺς νόμους, κατὰ μέντοι (τούτους) τὸ δίκαιον ὡς πλειστάκις ἐλέγχεσθαι. τοσούτῳ γὰρ ἄμεινον ἂν ἐγιγνώσκετο· οἱ γὰρ πολλοὶ ἀγῶνες τῇ μὲν ἀληθείᾳ σύμμαχοί εἰσι, τῇ δὲ
87 *διαβολῇ πολεμιώτατοι. φόνου γὰρ δίκη καὶ μὴ ὀρθῶς γνωσθεῖσα ἰσχυρότερον τοῦ δικαίου καὶ τοῦ ἀληθοῦς ἐστιν· ἀνάγκη γάρ, ἐὰν ὑμεῖς μου καταψηφίσησθε, καὶ μὴ ὄντα φονέα μηδ' ἔνοχον τῷ ἔργῳ χρῆσθαι τῇ δίκῃ καὶ τῷ νόμῳ· καὶ οὐδεὶς ἂν τολμήσειεν οὔτε τὴν δίκην τὴν δεδικασμένην παραβαίνειν πιστεύσας αὑτῷ ὅτι οὐκ ἔνοχός ἐστιν, οὔτε ξυνειδὼς αὑτῷ τοιοῦτον ἔργον εἰργασμένῳ μὴ οὐ χρῆσθαι τῷ νόμῳ· ἀνάγκη δὲ τῆς (τε) δίκης νικᾶσθαι παρὰ τὸ ἀληθές, αὐτοῦ τε τοῦ ἀληθοῦς, [ἄλλως τε]*
88 *καὶ ἐὰν μὴ ᾖ ὁ τιμωρήσων. αὐτῶν δὲ τούτων εἵνεκα οἵ τε νόμοι καὶ αἱ διωμοσίαι καὶ τὰ τόμια καὶ αἱ προρρήσεις, καὶ τἆλλα ὁπόσα γίγνεται τῶν δικῶν ἕνεκα τοῦ φόνου, πολὺ διαφέροντά ἐστιν ἢ [καὶ] ἐπὶ τοῖς ἄλλοις, ὅτι καὶ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ κίνδυνοι, περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι·*

86. *τῶν* ante *τοιούτων* om. pr. A. — *τούτους* add. S.; possis etiam *κατὰ μέντοι τούτους δίκαιον ὡς πλ. ἐλ.* (scil. *τὰ τοιαῦτα*), vel *κατὰ μ. τούτ. καὶ τὸ δίκαιον* (h. e. *καὶ κατὰ τὸ δίκ.*). — *ἄμεινον ἂν* NMr.: *ἂν ἄμεινον*.
87. *καὶ* ante *μὴ ὀρθῶς* om. Ald. (cf. 6, 3); del. etiam Fr. — *ἰσχυροτέρα* Ald. (cf. 6, 3). — *τε* ante *δίκης* addidi coll. 6, 5, quo loco duce (cf. etiam 6, 4) etiam *ἄλλως τε* cum Sp. delendum erat.
88. *εἵνεκα* NMr.: *ἕνεκα* sicut 6, 6. — *τἆλλα ὅσα* N sicut exstat 6, 6; *τἄλλ' ὁπόσα* cett. — *καὶ* post *ἢ* del. Mr. Turr. coll. 6, 6. — *ὀρθῶς γιγνώσκεσθαι* om. BZM.

| ὀρθῶς μὲν γὰρ γνωσθέντα τιμωρία ἐστὶ τῷ ἀδικη-
θέντι, φονέα δὲ τὸν μὴ αἴτιον ψηφισθῆναι ἁμαρτία
καὶ ἀσέβειά ἐστιν εἴς τε τοὺς θεοὺς καὶ εἰς τοὺς
νόμους. καὶ οὐκ ἴσον ἐστὶ τόν τε διώκοντα μὴ ὀρ- 89
θῶς αἰτιάσασθαι καὶ ὑμᾶς τοὺς δικαστὰς μὴ ὀρθῶς
γνῶναι. ἡ μὲν γὰρ τούτων αἰτίασις οὐκ ἔχει τέλος,
ἀλλ' ἐν ὑμῖν ἐστι καὶ τῇ δίκῃ· ὅ τι δ' ἂν ὑμεῖς ἐν
αὐτῇ τῇ δίκῃ μὴ ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν ὅποι
ἄν τις ἀνενεγκὼν τὴν ἁμαρτίαν ἀπολύσαιτο. πῶς 90
ἂν οὖν ὀρθῶς δικάσαιτε περὶ αὐτῶν; εἰ τούτους τε
ἐάσετε τὸν νομιζόμενον ὅρκον διομοσαμένους κατη-
γορῆσαι, κἀμὲ περὶ αὐτοῦ τοῦ πράγματος ἀπολογή-
σασθαι. πῶς δὲ ἐάσετε; ἐὰν νυνὶ ἀποψηφίσησθέ
μου. διαφεύγω γὰρ οὐδ' οὕτω τὰς ὑμετέρας γνώμας,
ἀλλ' ὑμεῖς ἔσεσθε οἱ κἀκεῖ περὶ ἐμοῦ διαψηφιζόμενοι.
καὶ ἀποψηφισαμένοις μὲν ὑμῖν ἐμοῦ νῦν ἔξεστι τό-
τε χρῆσθαι ὅ τι ἂν δὴ βούλησθε, ἀπολέσασι δὲ οὐδὲ
βουλεύσασθαι ἔτι περὶ ἐμοῦ ἐγχωρεῖ. καὶ μὴν εἰ 91
δέοι ἁμαρτεῖν τι, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον ἂν
εἴη τοῦ μὴ δικαίως ἀπολέσαι· τὸ μὲν γὰρ ἁμάρτημα

89. *αἰτίασις*] cf. Poll. 3, 138: *Ἀ. δὲ καὶ αἰτίασις εἴρηκεν.*

90. *δικάσαιτε* Bk.: *δικάσητε.* — *κἀκεῖ* Ald.: *κακοὶ* codd. — *ἀποψηφισαμ.* Ald. (ed. omnes): *ψηφισαμ.* ABZM, *φεισαμένοις* N, quod ft. praestat, praesertim cum praecedat *διαψηφιζ.* — *ὅ τι ἂν δὴ βούλησθε* scripsi: *ὅτι ἃ* (*ἃ* om. BZ Bk.) *δὴ βούλεσθε* (*ἔτι. ἃ δὲ βούλεσθε ψηφισαμένοις οὐδὲ κτἑ.* Ald.). — *βούλεσθαι* NA. — *ἀπολέσασι δὲ* Dobr. (Mr. Turr.): *ἀπολογήσασθαι.*

91. vv. *εἰ δέοι* — *ἀσέβημα* affert Stob. flor. 46, 19. — *ἁμαρτεῖν τι, τὸ* ci. Mr.: *τι ἁμ. τὸ* Stob., *ἁμ. ἐπί τῳ* NBk., *ἁμ. ἐπὶ τῷ* cett. cod. (add. *δικάζειν* Ald.). — *ἂν εἴη τοῦ* Dobr. Scheib. (Mr.): *ἂν ᾖ τὸ* codd. (*ἂν ᾖ τοῦ* v.), *τοῦ* Stob. (*ἂν ἦ τὸ* S. Turr.; *ἁμαρτ., ἐπὶ τῳ ἀδ. ἀπ. ὁσ. ἂν ἦ τῳ* Emp.). — *μὴ δικαίως*] *ἀδίκως* Stob. — *ἁμ. μόνον* NMr.:

*μόνον ἐστί, τὸ δὲ ἕτερον καὶ ἀσέβημα. ἐν ᾧ χρὴ
πολλὴν πρόνοιαν ἔχειν, μέλλοντας ἀνήκεστον ἔργον
ἐργάζεσθαι. ἐν μὲν γὰρ ἀκεστῷ πράγματι καὶ ὀργῇ
χρησαμένους καὶ διαβολῇ πειθομένους ἔλασσον ἔστιν
ἐξαμαρτεῖν· μεταγνοὺς γὰρ ἔτι ἂν ὀρθῶς βουλεύσαιτο·
ἐν δὲ τοῖς ἀνηκέστοις πλέον βλάβος τὸ μετανοεῖν
καὶ γνῶναι ἐξημαρτηκότας. ἤδη δέ τισιν ὑμῶν καὶ
μετεμέλησεν ἀπολωλεκόσι. καίτοι οὔπω (ἀπολελυκό-
σιν) ὑμῖν οὐδ᾽ ἐξαπατηθεῖσι μετεμέλησεν, εἰ καὶ πάνυ*
92 *τοι χρὴ τούς γε ἐξαπατῶντας ἀπολωλέναι. ἔπειτα δὲ
τὰ μὲν ἀκούσια τῶν ἁμαρτημάτων ἔχει συγγνώμην,
τὰ δὲ ἑκούσια οὐκ ἔχει. τὸ μὲν γὰρ ἀκούσιον ἁμάρ-
τημα ὦ ἄνδρες τῆς τύχης ἐστί, τὸ δὲ ἑκούσιον τῆς
γνώμης. ἑκούσιον δὲ πῶς ἂν εἴη μᾶλλον ἢ εἴ τις,
ὧν βουλὴν ποιοῖτο, ταῦτα παραχρῆμα ἐξεργάζοιτο;
καὶ μὴν τὴν ἴσην γε δύναμιν ἔχει, ὅστις τε ἂν τῇ*
93 *χειρὶ ἀποκτείνῃ ἀδίκως καὶ ὅστις τῇ ψήφῳ. εὖ δ᾽
ἴστε ὅτι οὐκ ἄν ποτ᾽ ἦλθον εἰς τὴν πόλιν, εἴ τι ξυν-
ῄδειν ἐμαυτῷ τοιοῦτον· νῦν δὲ πιστεύων τῷ δικαίῳ,
οὗ πλέονος οὐδέν ἐστιν ἄξιον ἀνδρὶ συναγωνίζεσθαι,
μηδὲν αὑτῷ συνειδότι ἀνόσιον εἰργασμένῳ μηδ᾽ εἰς*

μόνον ἁμαρτ. v., om. *μόνον* ZM Stob. — *τὸ δὲ ἕτερον καὶ*] *τὸ δὲ ἀδίκως ἀποκτεῖναι* Stob. — *ἀνήκεστον* cum Stephano R.: *ἀνηκέστερον*. — *ἀκεστῷ* cum Steph. R.: *ἑκάστῳ*. — *ἔλαττόν ἐστιν* Fr. — *ἔτι ἂν ὀρθῶς βουλ.*] (*ἄν τις τὸ γεγονὸς*) *ἐπανορθώσαιτο* speciose Cob. — *ἀπολελωκόσι* N. — *ἀπολελυκόσιν* h. l. inserit W. — *ὑμῖν οὐδ᾽* scripsi: *ὑμῖν τοῖς*. Dobr. vel *ὑμῖν*, vel *τοῖς*, vel *ὑμῶν τοῖς*. — *τοι* codd., quod prob. Fr.: *τι* v. — *ἀπολωλέναι* NMr.: *ἀπωλωλέναι* A, *ἀπολωλεκέναι* v. (*κ. οὔπω τοῖς ἐ. μ., εἰ καὶ μὴ πάνυ τι χρή, τούς γε ἐξ. ἀπολελυκέναι* S.; *ὑμῶν τοῖς* — om. *μὴ* — *ἀπολελυκόσι* K.).

92. *τὸ μὲν γὰρ*] *γὰρ* om. N. — post *γνώμης* add. *ἐστὶ* N. — *ἐξεργάζοιτο* NMr.: *ἐργάζοιτο*.

93. *ἐστι ἄξιον* N. — *εἰργασμένον* ABZM. — *μηδ᾽* Fr.:

τοὺς θεοὺς ἠσεβηκότι· ἐν γὰρ τῷ τοιούτῳ ἤδη καὶ τὸ σῶμα ἀπειρηκὸς ἡ ψυχὴ συνεξέσωσεν, ἐθέλουσα ταλαιπωρεῖν διὰ τὸ μὴ ξυνειδέναι ἑαυτῇ· τῷ δὲ ξυνειδότι τοῦτο αὐτὸ πρῶτον πολέμιόν ἐστιν· ἔτι γὰρ καὶ τοῦ σώματος ἰσχύοντος ἡ ψυχὴ προαπολείπει, ἡγουμένη [τὴν] τιμωρίαν οἱ ἥκειν ταύτην τῶν ἀσεβημάτων· ἐγὼ δ᾽ ἐμαυτῷ τοιοῦτον οὐδὲν ξυνειδὼς ἥκω εἰς ὑμᾶς. τὸ δὲ τοὺς κατηγόρους διαβάλλειν 94 οὐδέν ἐστι θαυμαστόν. τούτων γὰρ ἔργον τοῦτο, ὑμῶν δὲ τὸ μὴ πείθεσθαι τὰ μὴ δίκαια. τοῦτο μὲν γὰρ ἐμοὶ πειθομένοις ὑμῖν μεταμελῆσαι ἔστιν, καὶ τούτου φάρμακον τὸ αὖθις κολάσαι, τοῦ δὲ τούτοις πειθομένους ἐξεργάσασθαι ἃ οὗτοι βούλονται οὐκ ἔστιν ἴασις. οὐδὲ χρόνος πολὺς ὁ διαφέρων, ἐν ᾧ ταῦτα νομίμως πράξεσθ᾽ ἃ νῦν ὑμᾶς παρανόμως πείθουσιν οἱ κατήγοροι ψηφίσασθαι. οὔ τοι τῶν ἐπειγομένων ἐστὶ τὰ πράγματα, ἀλλὰ τῶν εὖ βουλευομένων. νῦν μὲν οὖν γνωρισταὶ γίγνεσθε τῆς δίκης, τότε δὲ δικασταὶ τῶν μαρτύρων· νῦν μὲν δοξασταί, τότε δὲ κριταὶ τῶν ἀληθῶν. Ῥᾷστον δέ τοί ἐστιν 95 ἀνδρὸς περὶ θανάτου φεύγοντος τὰ ψευδῆ καταμαρτυρῆσαι. ἐὰν γὰρ τὸ παραχρῆμα μόνον πείσωσιν

μήτ᾽. — συνεξέωσεν N. — τὴν del. S. K.; Mr. aut τὴν deleri aut pro ταύτην rescribi τὴν debere iudicat. — ἀσεβημάτων Bk. et sic N: ἀσεβηκότων ABZM, ἠσεβηκότων v.

94. τὸ δὲ Ald.: τῷ codd. — ἔργῳ AB. — πειθομένοις ἡμῖν A. — πράξεσθ᾽ NB, πράσσεσθ᾽ ZM, πράσεσθ᾽ Ald. — ἃ νῦν] ἂν νῦν N. — τῶν μαρτ. post δοξασταὶ transp. S. (E. cr. p. 118); γν. γ. τῶν μαρτ., τότε δὲ δικασταὶ τῆς δίκης ci. Mr.; τῆς δίκης del. Emp.; add. τῶν εἰκότων post δοξ. K.

95. ῥᾷστον δέ τοι Dobrei est coniectura (Turr. Mr.): om. N, ἀραῖς τῶν δέ τοι cett.

ὥστε ἀποκτεῖναι, ἅμα τῷ σώματι καὶ ἡ τιμωρία ἀπόλωλεν. οὔτε γὰρ οἱ φίλοι ἔτι θελήσουσιν ὑπὲρ ἀπολωλότος τιμωρεῖν· ἐὰν δὲ καὶ βουληθῶσιν, τί
96 ἔσται πλέον τῷ γε ἀποθανόντι; νῦν μὲν οὖν ἀποψηφίσασθέ μου· ἐν δὲ τῇ τοῦ φόνου δίκῃ οὗτοί τε τὸν νομιζόμενον ὅρκον διομοσάμενοι ἐμοῦ κατηγορήσουσι, καὶ ὑμεῖς περὶ ἐμοῦ κατὰ τοὺς κειμένους νόμους διαγνώσεσθε, καὶ ἐμοὶ οὐδεὶς λόγος ἔσται
141 ἔτι, ἐάν τι | πάσχω, ὡς παρανόμως ἀπωλόμην. ταῦτά τοι δέομαι ὑμῶν, οὔτε τὸ ὑμέτερον εὐσεβὲς παρεὶς οὔτε ἐμαυτὸν ἀποστερῶν τὸ δίκαιον· ἐν δὲ τῷ ὑμετέρῳ ὅρκῳ καὶ ἡ ἐμὴ σωτηρία ἔνεστι. πειθόμενοι δὲ τούτων ὅτῳ βούλεσθε, ἀποψηφίσασθέ μου.

6.

ΠΕΡΙ ΤΟΥ ΧΟΡΕΥΤΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Πόσοι μέν εἰσιν Ἀθήνησι χορηγοί, καὶ τίνος προβάλλονται χάριν, καὶ πόσους τρέφειν ἀναγκάζονται παῖδας, ἐκ τῶν Δημοσθένους ἀκριβῶς ἔγνωμεν λόγων. τὸ μέντοι νῦν ἐν τοῖς χρόνοις Ἀντιφῶντος τοῦ ῥήτορος χορηγός τις εἶναι λαχὼν τῆς αὐτοῦ φυλῆς Ἐρεχθηίδος, καὶ προσέτι Κεκροπίδος, τοὺς χορεύειν μέλλοντας ἐπὶ τῆς οἰκίας ἔτρεφε παῖδας. τούτων εἷς εὐφωνίας χάριν ἔπιε φάρμακον, καὶ πιὼν τέθνηκεν. ὁ οὖν πατὴρ τοῦ τεθνεῶτος παιδὸς κατηγορεῖ τοῦ χορηγοῦ ὡς αὐτοῦ πε-

96. *ἐὰν δὲ τῇ — κατηγορήσωσι* N. — *ἔσται* AB Bk.: *ἐστὶ* N, om. v. — *ἐάν τι* Bk.: *ἐάν τε* codd., *ἐάν γε* v. — *παρανόμως* R.: *παράνομος.* — *ἀπωλόμην* NA Bk.: *ἀπολώμην* ZM, *ἀπόλωμαι* cett. — *ὅτῳ*] *ὁποτέρῳ?*
VI. Ὑπόθ.] *τὸ μέντοι νῦν*] *ὁ μέντοι νῦν* AM, *ὁ μὲν τοίνυν* cett. — *χορηγοῦ* utrobique et *ὁ χορηγὸς* Spanh.: libri

ποιηκότος τὸν φόνον. ἀπολογεῖται δὲ ὁ χορηγὸς ἀρνούμενος τὸν φόνον. Ἡ στάσις στοχασμός. ἀδήλου (γὰρ) τοῦ ἐγκλήματος ὄντος, σημεῖον φανερὸν ὁ κατήγορος λαμβάνει τὸ ἐν τῇ οἰκίᾳ τοῦ χορηγοῦ γυμνάζεσθαι τοὺς παῖδας· ὅπερ ἐστὶν ἀνεύθυνον μέν, πιθανὸν δ᾽ εἰς ὑποψίαν.

Ἥδιστον μὲν, ὦ ἄνδρες δικασταί, ἀνθρώπῳ ὄντι μὴ γενέσθαι μηδένα κίνδυνον περὶ τοῦ σώματος, καὶ εὐχόμενος ἄν τις ταῦτα εὔξαιτο· εἰ δ᾽ ἄρα τις καὶ ἀναγκάζοιτο κινδυνεύειν, τοῦτο γοῦν ὑπάρχειν, ὅπερ μέγιστον ἐγὼ νομίζω ἐν πράγματι τοιούτῳ, αὐτὸν ἑαυτῷ συνειδέναι μηδὲν ἐξημαρτηκότι, ἀλλ᾽ εἴ τις καὶ συμφορὰ γίγνοιτο, ἄνευ κακότητος καὶ αἰσχύνης γίγνεσθαι, καὶ τύχῃ μᾶλλον ἢ ἀδικίᾳ. καὶ τοὺς 2
μὲν νόμους οἳ κεῖνται περὶ τῶν τοιούτων πάντες ἂν ἐπαινέσειαν κάλλιστα νόμων κεῖσθαι καὶ ὁσιώτατα. ὑπάρχει μὲν γὰρ αὐτοῖς ἀρχαιοτάτοις εἶναι ἐν τῇ γῇ ταύτῃ, ἔπειτα τοὺς αὐτοὺς αἰεὶ περὶ τῶν αὐτῶν, ὅπερ μέγιστον σημεῖον νόμων καλῶς κειμένων· ὁ χρόνος γὰρ καὶ ἡ ἐμπειρία τὰ μὴ καλῶς ἔχοντα διδάσκει τοὺς ἀνθρώπους. ὥστ᾽ οὐ δεῖ ὑμᾶς ἐκ τῶν λόγων τοῦ κατηγοροῦντος τοὺς νόμους μαθεῖν εἰ καλῶς ἔχουσιν ἢ μή, ἀλλ᾽ ἐκ τῶν νόμων τοὺς τούτων λόγους, εἰ ὀρθῶς ὑμᾶς καὶ νομίμως διδάσκουσιν ἢ οὔ. Ὁ μὲν οὖν ἀγὼν ἐμοὶ μέγιστος τῷ κινδυνεύοντι 3
καὶ διωκομένῳ· ἡγοῦμαι μέντοι γε καὶ ὑμῖν τοῖς δι-

χορευτοῦ et *ὁ χορευτής*, vitio etiam prooemiographi inscitiam superante. — vv. *ἀπολογεῖται* — *τὸν φόνον* om. N.

1. *ὦ* om. N. — *δ᾽ ἄρα* Ald.: *δ᾽* om. codd. — *ὅπερ* NMr.: *ὃ* (*ἢ* Z).

2. *ἐπαινέσειαν* N (R. Bk. Mr.): *ἐπαινέσειεν* cett. (*ἐπαινέσαιεν* Turr.). cf. § 51. — *νόμων ἁπάντων* 5, 14. — *ἀεὶ* MAld., ut est 5, 14. — *δεῖ ὑμᾶς* NMr. (sicut est 5, 14): *ὑμ.* post *κατηγοροῦντος* v.

κασταῖς περὶ πολλοῦ εἶναι τὰς φονικὰς δίκας ὀρθῶς
διαγιγνώσκειν, μάλιστα μὲν τῶν θεῶν ἕνεκα καὶ τοῦ
εὐσεβοῦς, ἔπειτα δὲ καὶ ὑμῶν αὐτῶν. ἔστι μὲν γὰρ
περὶ τοῦ τοιούτου [αὐτοῦ] μία δίκη· αὕτη δὲ μὴ
ὀρθῶς καταγνωσθεῖσα ἰσχυροτέρα ἐστὶ τοῦ δικαίου
4 καὶ τοῦ ἀληθοῦς. ἀνάγκη γάρ, ἐὰν ὑμεῖς καταψη-
φίσησθε, καὶ μὴ ὄντα φονέα μηδὲ ἔνοχον τῷ ἔργῳ
χρήσασθαι τῇ δίκῃ, καὶ νόμῳ εἴργεσθαι πόλεως ἱερῶν
θυσιῶν ἀγώνων, ἅπερ μέγιστα καὶ παλαιότατα τοῖς
ἀνθρώποις. τοσαύτην γὰρ ἀνάγκην ὁ νόμος ἔχει,
ὥστε καὶ ἄν τις κτείνῃ τινὰ ὧν αὐτὸς κρατεῖ καὶ μὴ
ἔστιν ὁ τιμωρήσων, τὸ νομιζόμενον καὶ τὸ θεῖον
δεδιὼς ἁγνεύει τε ἑαυτὸν καὶ ἀφέξεται ὧν εἴρηται
5 ἐν τῷ νόμῳ, ἐλπίζων οὕτως ἂν ἄριστα πράξειν. ἔστι
μὲν γὰρ τὰ πλείω τοῖς ἀνθρώποις τοῦ βίου ἐν ταῖς
ἐλπίσιν· ἀσεβῶν δὲ καὶ παραβαίνων τὰ εἰς τοὺς θεοὺς
καὶ αὐτῆς ἂν τῆς ἐλπίδος, ὅπερ μέγιστόν ἐστιν ἀν-
θρώποις ἀγαθόν, αὐτὸς αὑτὸν ἀποστεροίη. καὶ οὐ-
δεὶς ἂν τολμήσειεν οὔτε τὴν δίκην τὴν δεδικασμένην
παραβαίνειν πιστεύσας ὅτι οὐκ ἔνοχός ἐστι τῷ ἔργῳ,
οὔτ' αὖ συνειδὼς αὐτὸς αὑτῷ ἔργον εἰργασμένος
τοιοῦτον μὴ οὐ χρῆσθαι τῷ νόμῳ· ἀνάγκη δὲ τῆς τε

3. τοῦ τοιούτου NA Dobs. Turr. Mr.: τοιούτου. — αὐτοῦ del. Mr. (τοῦ αὐτοῦ Sch.).

4. νόμῳ NAB Bk.: τῷ νόμῳ v. (Turr.), ut est or. 5, 87. — ἱερῶν ἀγώνων θυσιῶν NA; ἀγώνων ἱερῶν θυσ. B; θυσ. ἱερ. ἀγ. Ald. pro θυσιῶν mal. ὁσίων Dobr. — παλαιότ.] τιμιώτατα ci. Valck. cf. autem 5, 62. — ἁγνεύσει ci. R. — ἑαυτὸν] αὑτὸν N. — „vel del. ἂν vel l. πρᾶξαι.“ Dobr.

5. μέγιστόν ἐστι (sic!) N Mr.: ἐστὶ μέγιστον. — post μέγ. ἀνθρ. add. τοῦ βίου BZM et v. ante Bk. — τολμ. οὔτ' ἂν N. — δεδικασμένην cum Steph. Bk. coll. 5, 87: δεδοκιμασμένην. —

δίκης νικᾶσθαι παρὰ τὸ ἀληθές, αὐτοῦ τε τοῦ ἀλη-
θοῦς, κἂν μὴ ὁ τιμωρήσων ᾖ. αὐτῶν δὲ τούτων 6
ἕνεκα οἵ τε νόμοι καὶ αἱ διωμοσίαι καὶ τὰ τόμια καὶ
αἱ προρρήσεις, καὶ τἆλλα ὅσα γίγνεται τῶν δικῶν
τοῦ φόνου ἕνεκα, πολὺ διαφέροντά ἐστιν ἢ ἐπὶ τοῖς
ἄλλοις, | ὅτι καὶ αὐτὰ τὰ πράγματα, περὶ ὧν οἱ κίν- 142
δυνοι, περὶ πλείστου ἐστὶν ὀρθῶς γιγνώσκεσθαι·
ὀρθῶς μὲν γὰρ γνωσθέντα τιμωρία ἐστὶν ὑπὲρ τοῦ
ἀδικηθέντος, φονέα δὲ τὸν μὴ αἴτιον ψηφισθῆναι
ἁμαρτία καὶ ἀσέβεια εἴς τε τοὺς θεοὺς καὶ τοὺς νό-
μους. καὶ οὐκ ἴσον ἐστὶ τόν τε διώκοντα μὴ ὀρθῶς
αἰτιάσασθαι καὶ ὑμᾶς τοὺς δικαστὰς μὴ ὀρθῶς γνῶ-
ναι. ἡ μὲν γὰρ τούτου αἰτίασις οὐκ ἔχει νῦν τέλος,
ἀλλ' ἐν ὑμῖν ἐστι καὶ τῇ δίκῃ· ὅ τι δ' ἂν ὑμεῖς μὴ
ὀρθῶς γνῶτε, τοῦτο οὐκ ἔστιν ὅποι ἂν ἀνενεγκὼν
τις τὴν αἰτίαν ἀπολύσαιτο.

Ἐγὼ δέ, ὦ ἄνδρες, οὐ τὴν αὐτὴν γνώμην ἔχω 7
περὶ τῆς ἀπολογίας ἥνπερ οἱ κατήγοροι περὶ τῆς
κατηγορίας. οὗτοι (μὲν) γὰρ τὴν μὲν δίωξιν εὐσεβείας
ἕνεκά φασι ποιεῖσθαι καὶ τοῦ δικαίου, τὴν δὲ κατη-
γορίαν ἅπασαν πεποίηνται διαβολῆς ἕνεκα καὶ ἀπά-
της, ὅπερ ἀδικώτατόν ἐστι τῶν ἐν ἀνθρώποις, καὶ
οὐκ ἐλέγξαντες, εἴ τι ἀδικῶ, δικαίως με βούλονται

νικᾶσθαι] δικᾶσθαι N.

6. διωμοσίαι] δημόσιαι N. — αὐτὰ τὰ Ald.: αὐτὰ ταῦτα codd. — ὀρθῶς μὲν γὰρ] γὰρ om. N. — τόν τε διώκοντα R. Bk. et habet N: τόν γε διώκ. cett. — αἰτιάσασθαι Bk. coll. 5, 89: αἰτιᾶσθαι Ald., qui add. vv. αἰτ. — ὀρθῶς, in codd. omissa. — νῦν uncis incl. R. coll. 5, 89· — ἂν ἀνενεγκὼν R. coll. 5, 89: ἂν ἐνεγκὼν (ἀνενεγκὼν NBk.). — αἰτίαν] ἁμαρτίαν or. 5.

7. εἴ τι Bk. coll. 9. 10: εἴ γ'. — διαβαλόντες Bait.: διαβαλλόντες Z, διαβάλλοντες v.

τιμωρεῖσθαι, ἀλλὰ διαβαλόντες, καὶ εἰ μηδὲν ἀδικῶ,
8 ζημιῶσαι καὶ ἐξελάσαι ἐκ τῆς γῆς ταύτης. ἐγὼ δὲ
ἀξιῶ πρῶτον μὲν περὶ αὐτοῦ τοῦ πράγματος ἀπο-
κρίνεσθαι, καὶ διηγήσασθαι ἐν ὑμῖν τὰ γενόμενα
πάντα· ἔπειτα περὶ τῶν ἄλλων ὧν οὗτοι κατηγοροῦ-
σιν, ἐὰν ὑμῖν ἡδομένοις, βουλήσομαι ἀπολογήσα-
σθαι. ἡγοῦμαι γάρ μοι τιμὴν καὶ ὠφέλειαν αὐτὰ οἴ-
σειν, τοῖς δὲ κατηγόροις καὶ τοῖς ἐπηρεάζουσιν
9 αἰσχύνην· ἐπεί τοί γε καὶ δεινόν, ὦ ἄνδρες· ἵνα μὲν
ἐξῆν αὐτοῖς, εἴ τι ἠδίκουν ἐγὼ τὴν πόλιν ἢ ἐν χορηγίᾳ
ἢ ἐν ἄλλοις τισίν, ἀποφήνασι καὶ ἐξελέγξασιν ἄνδρα
τε ἐχθρὸν τιμωρήσασθαι καὶ τὴν πόλιν ὠφελῆσαι,
ἐνταῦθα μὲν οὐδεὶς πώποτε οἷός τε ἐγένετο αὐτῶν
οὔτε μικρὸν οὔτε μέγα ἐξελέγξαι ἀδικοῦντα τόνδε
τὸν ἄνδρα τὸ πλῆθος τὸ ὑμέτερον· ἐν δὲ τούτῳ τῷ
ἀγῶνι, φόνου διώκοντες καὶ τοῦ νόμου οὕτως ἔχον-
τος, εἰς αὐτὸ τὸ πρᾶγμα κατηγορεῖν, μηχανῶνται ἐπ᾽
ἐμοὶ λόγους ψευδεῖς συντιθέντες καὶ διαβάλλοντες
τὰ εἰς τὴν πόλιν. καὶ τῇ μὲν πόλει, εἴπερ ἀδικεῖται,
κατηγορίαν ἀντὶ τιμωρίας ἀπονέμουσιν, αὐτοὶ δὲ
ὧν τὴν πόλιν φασὶν ἀδικεῖσθαι, τούτων ἰδίᾳ ἀξιοῦσι
10 δίκην λαμβάνειν. καίτοι αὗται αἱ κατηγορίαι οὔτε
χάριτος ἄξιαι οὔτε πίστεως. οὔτε γὰρ δὴ οἷ ἡ πόλις

8. ἀποκρίνεσθαι (h. e. ἀπολογεῖσθαι cf. 14. 18) ci. R.: κρίνεσθαι. — ἡδομένοις ᾖ Ald. Bk. cf. 5, 32. — μοι om. pr. A.
9. δεινῶν pr. A. — ἐξῇ ABZM. — ἠδίκουν ἐγὼ NMr.: ἐγὼ ἠδίκουν. — τιμωρήσεσθαι codd.: em. Ald. — οἷός τε ἐγένετο] εὑρέθη ZM, num igitur: εὑρέθη αὐτῶν οὐδ᾽ οἷός τε ἐγένετο? — ἐξελέγξαι NMr.: ἐλέγξαι. — (πᾶν) μηχαν. Dobr. — ἐπ᾽ ἐμὲ omnes; sed cf. § 36. 48. — εἴπερ] εἰ μὲν omnes. — ὧν] ᾧ codd. (ἐν ᾧ R.). — τούτου ἰδίᾳ ABL(Bk.). τούτου ἰδῇ N, τουτουὶ δὴ MZ; τουτουῒ δὴ v. — 10. ἄξιοι] num ἀξίαν? —

ἐλάμβανεν ἂν δίκην εἴ τι ἠδίκητο, ἐνταῦθα τὴν κατηγορίαν ποιεῖται, ὥστε χάριτος ἄξιον εἶναι τῇ πόλει· οὔτε ὅστις [οὐκ] ἄλλα κατηγορεῖ ἢ ἃ διώκει ἐν πράγματι τοιούτῳ, πιστεῦσαι δήπου αὐτῷ ἀξιώτερόν ἐστιν ἢ ἀπιστῆσαι. ἐγὼ δὲ σχεδὸν ἐπίσταμαι τὴν ὑμετέραν γνώμην, ὅτι οὔτ' ἂν καταψηφίσαισθε οὔτ' ἂν ἀποψηφίσαισθε ἑτέρου τινὸς ἕνεκα μᾶλλον ἢ αὐτοῦ τοῦ πράγματος· ταῦτα γὰρ καὶ ὅσια καὶ δίκαια. ἄρξομαι δὲ ἐντεῦθεν.

Ἐπειδὴ χορηγὸς κατεστάθην εἰς Θαργήλια καὶ 11 *ἔλαχον Πανταλέα διδάσκαλον καὶ Κεκροπίδα φυλὴν πρὸς τῇ ἐμαυτοῦ, [τουτέστι τῇ Ἐρεχθηίδι,] ἐχορήγουν ὡς ἄριστα ἐδυνάμην καὶ δικαιότατα. καὶ πρῶτον μὲν διδασκαλεῖον ᾗ ἦν ἐπιτηδειότατον τῆς ἐμῆς οἰκίας κατεσκεύασα, ἐν ᾧπερ καὶ Διονυσίοις ὅτε ἐχορήγουν ἐδίδασκον· ἔπειτα τὸν χορὸν συνέλεξα ὡς ἐδυνάμην ἄριστα, οὔτε ζημιώσας οὐδένα οὔτε ἐνέχυρα βίᾳ φέρων οὔτ' ἀπεχθανόμενος οὐδενί, ἀλλ' ὥσπερ ἂν ἥδιστα καὶ ἐπιτηδειότατα ἀμφοτέροις ἐγίγνετο, ἐγὼ μὲν ἐκέλευον καὶ ᾐτούμην, οἱ δ' ἑκόντες καὶ βουλόμενοι ἔπεμπον. ἐπεὶ δὲ ἧκον οἱ παῖδες, πρῶτον μέν μοι* 12

οὐκ del. R. Bk. Mr., *οὖν* Dobs. Turr. — *ὅτι οὔτ'* Turr.: *ὅτι οὐκ.* — *καταψηφίσαισθε* et *ἀποψηφίσαισθε* Bk.: *καταψηφίσησθε* (—*εσθε* N et pr. A) et *ἀποψηφίσησθε.* — *ἑτέρου τινὸς*] *ἑτέρου* pr. A, om. pr. M. — *ὅσια καὶ δίκαια* NMr.: *δίκ. καὶ ὅσια.*

11. *ἔλαχον*] *ἔλεγχον* N. — *Παντ.*] cf. Harpocr. s. v. *διδάσκαλος*: *Ἀ. ἐν τῷ περὶ τοῦ χορευτοῦ* „*ἔλαχόν*" *φησι* „*Πανταλέα διδάσκαλον.*" — post *ἐμαυτοῦ* in A XII litterae erasae, et deinde *πρὸς τῇ ἐμ.* repetitum punctis notatum est. — *τουτέστι τῇ Ἐρεχθηΐδι*] scholium hoc esse (cf. § 13) iam R. suspicatus est. — *διδασκάλιον* N. — *ᾗ ἦν* Bk.: *ἦν* codd., *ᾗ* Ald. — *ᾐτούμην* ci. Bk. (Turr.): *ἡγούμην.*

ἀσχολία ἦν παρεῖναι καὶ ἐπιμελεῖσθαι· ἐτύγχανε γάρ
μοι πράγματα ὄντα πρὸς Ἀριστίωνα καὶ Φιλῖνον, ἃ
ἐγὼ περὶ πολλοῦ ἐποιούμην, ἐπειδή περ εἰσήγγειλα,
ὀρθῶς καὶ δικαίως ἀποδεῖξαι τῇ βουλῇ καὶ τοῖς ἄλ-
λοις Ἀθηναίοις. ἐγὼ μὲν οὖν τούτοις προσεῖχον τὸν
νοῦν, κατέστησα δὲ ἐπιμελεῖσθαι, εἴ τι δέοι τῷ χορῷ,
Φανόστρατον, δημότην μὲν τουτωνὶ τῶν διωκόντων,
κηδεστὴν δ' ἐμαυτοῦ, ᾧ ἐγὼ δέδωκα τὴν θυγατέρα,
13 καὶ ἠξίουν αὐτὸν (ὡς) ἄριστα ἐπιμελεῖσθαι· ἔτι δὲ
πρὸς τούτῳ δύο ἄνδρας, τὸν μὲν Ἐρεχθηίδος Ἀμυνίαν,
143 ὃν αὐτοὶ οἱ φυλέται ἐψηφίσαντο | συλλέγειν καὶ ἐπι-
μελεῖσθαι τῆς φυλῆς ἑκάστοτε, δοκοῦντα χρηστὸν
εἶναι, τὸν δ' ἕτερον τῆς Κεκροπίδος, ὅσπερ ἑκάστοτε
εἴωθε ταύτην τὴν φυλὴν συλλέγειν· ἔτι δὲ τέταρτον
Φίλιππον, ᾧ προσετέτακτο ὠνεῖσθαι καὶ ἀναλίσκειν
εἴ τι φράζοι ὁ διδάσκαλος ἢ ἄλλος τις τούτων, ὅπως
(ὡς) ἄριστα χορηγοῖντο οἱ παῖδες καὶ μηδενὸς ἐνδεεῖς
εἶεν διὰ τὴν ἐμὴν ἀσχολίαν. καθειστήκει μὲν (οὖν)
14 ἡ χορηγία οὕτω. καὶ τούτων εἴ τι ψεύδομαι προφά-
σεως ἕνεκα, ἔξεστι τῷ κατηγόρῳ ἐξελέγξαντι ἐν τῷ
ὑστέρῳ λόγῳ ὅ τι ἂν βούληται εἰπεῖν· ἐπεί τοι οὕτως
ἔχει, ὦ ἄνδρες· πολλοὶ τῶν περιεστώτων τούτων τὰ
μὲν πράγματα ταῦτα πάντα ἀκριβῶς ἐπίστανται, καὶ
τοῦ ὁρκωτοῦ ἀκούουσι, καὶ ἐμοὶ προσέχουσι τὸν νοῦν
ἅττα ἐγὼ ἀποκρίνομαι, οἷς ἐγὼ βουλοίμην ἂν δοκεῖν

13. Ἀμηνιανόν NA, Ἀμηανόν B. — εἴωθεν NA. num igitur εἴωθεν ἑκάστοτε? ceterum nomen huius viri post Κεκρ. intercidisse iure S. suspic. — οὖν addi iubet R.

14. ἕνεκα in marg. habet pr. A. — ἐξελέγξαι v. (ἐλέγξαι ZM). contra εἰπεῖν del. Dobr. (εἰπών? S.). malim autem μ' εἰπεῖν. — βουλοίμην Dobr.: ἐβουλόμην.

αὐτός τε εὔορκος εἶναι καὶ ὑμᾶς τἀληθῆ λέγων πεῖσαι
ἀποψηφίσασθαί μου. πρῶτον μὲν οὖν ἀποδείξω ὑμῖν 15
ὅτι οὔτε ἐκέλευσα πιεῖν τὸν παῖδα τὸ φάρμακον οὔτ'
ἠνάγκασα οὔτ' ἔδωκα καὶ οὐδὲ παρῆν ὅτ' ἔπιεν. καὶ
οὐ τούτου ἕνεκα ταῦτα (οὕτω) σφόδρα λέγω, ὡς ἐμαυ-
τὸν ἔξω αἰτίας καταστήσω, ἕτερον δέ τινα εἰς αἰτίαν
ἀγάγω· οὐ δῆτα ἔγωγε, πλήν γε τῆς τύχης, ἥπερ
οἶμαι καὶ ἄλλοις πολλοῖς ἀνθρώπων αἰτία ἐστὶν ἀπο-
θανεῖν· ἣν οὔτ' ἂν ἐγὼ οὔτ' ἄλλος οὐδεὶς οἷός τ'
ἂν εἴη ἀποτρέψαι μὴ οὐ γενέσθαι ἥντινα δεῖ ἑκάστῳ.

. . . . ΜΑΡΤΥΡΕΣ.

Μεμαρτύρηται μὲν οὖν, ὦ ἄνδρες, περὶ τοῦ 16
πράγματος ἃ ἐγὼ ὑμῖν ὑπεσχόμην· ἐξ αὐτῶν δὲ
τούτων χρὴ σκοπεῖν ἅ τε οὗτοι διωμόσαντο καὶ ἃ
ἐγώ, πότεροι ἀληθέστερα καὶ εὐορκότερα. διωμόσαντο
δὲ οὗτοι μὲν ἀποκτεῖναί με Διόδοτον βουλεύσαντα
τὸν θάνατον, ἐγὼ δὲ μὴ ἀποκτεῖναι, μήτε χειρὶ ἐργα-
σάμενος μήτε βουλεύσας. αἰτιῶνται δὲ οὗτοι μὲν ἐκ 17
τούτων ὡς οὗτος ἐκέλευσε πιεῖν τὸν παῖδα τὸ φάρ-
μακον ἢ ἠνάγκασεν ἢ ἔδωκεν· ἐγὼ δ' ἐξ αὐτῶν τού-
των ὧν αἰτιῶνται οὗτοι ἀποφανῶ ὅτι οὐκ ἔνοχός

15. *πιεῖν τὸν παῖδα* N (cf. § 17): *τὸν παῖδα πιεῖν.* — *καὶ οὐδὲ* R. S. (Ep. cr.): *οὔτε* ZM Bk., *καὶ οὔτε* ABN et v. ante Bk. — *ἔπινεν* mal. W. — *οὕτω σφόδρα* ci. R. — *ἀγαγεῖν* A pr.; *ἀγαγὼν* M. — *ἢ οὐ δῆτα* N. — *ἀποτρέψαι* Dobr.: *ἀποστρέψαι.* — post *ἑκάστῳ* intercidisse videtur *καί μοι ἀνάβητε τούτων μάρτυρες*; cf. ad 5, 61.

16. *διωμόσαντο δὲ*] *δ. μὲν* ZM, *δ. γὰρ* Ald. — *ἐργασάμενος* Dobr. (*ἐργασάμενον* Valck.) coll. Andoc. 1, 94: *ἀράμενος* codd. Bk., *ἀράμενον.* nisi, quod idem Dobr. ci., *χεῖρα ἀράμενος* fuit. — *βουλεύσας* NA Bk.: *βουλεῦσαι.*

17. *ἐκέλευσε* Bait.: *κελεύσειε.* — *ἀποφωνῶ* N. num *ἀπο-*

εἰμι. οὔτε γὰρ ἐκέλευσα οὔτ' ἠνάγκασα οὔτ' ἔδωκα·
καὶ ἔτι προστίθημι αὐτοῖς ὅτι οὐδὲ παρεγενόμην πί-
νοντι. καὶ εἴ φασιν ἀδικεῖν εἴ τις ἐκέλευσεν, ἐγὼ
οὐκ ἀδικῶ· οὐ γὰρ ἐκέλευσα. καὶ εἴ φασιν ἀδικεῖν
εἴ τις ἠνάγκασεν, ἐγὼ οὐκ ἀδικῶ· οὐ γὰρ ἠνάγκασα.
καὶ εἰ τὸν δόντα τὸ φάρμακόν φασιν αἴτιον εἶναι,
18 ἐγὼ οὐκ αἴτιος· οὐ γὰρ ἔδωκα. αἰτιάσασθαι μὲν οὖν
καὶ καταψεύσασθαι ἔξεστι τῷ βουλομένῳ· αὐτὸς γὰρ
ἕκαστος τούτου κρατεῖ· γενέσθαι μέντοι τὰ μὴ γενό-
μενα καὶ ἀδικεῖν τὸν μὴ ἀδικοῦντα οὐκ ἐν τοῖς τού-
των λόγοις ἡγοῦμαι εἶναι, ἀλλ' ἐν τῷ δικαίῳ καὶ ἐν
τῷ ἀληθεῖ. ὁπόσα μὲν γὰρ λάθρᾳ πράττεται καὶ ἐπὶ
θανάτῳ βουλευθέντα, ὧν μή εἰσι μάρτυρες, ἀνάγκη
περὶ τῶν τοιούτων ἐξ αὐτῶν τῶν λόγων τῶν τε τοῦ
κατηγόρου καὶ τοῦ ἀποκρινομένου τὴν διάγνωσιν
ποιεῖσθαι καὶ θηρεύειν καὶ ἐπὶ σμικρὸν ὑπονοεῖν
τὰ λεγόμενα, καὶ εἰκάζοντας μᾶλλον ἢ σάφα εἰδότας
19 ψηφίζεσθαι περὶ τῶν πραγμάτων· ὅπου δὲ πρῶτον
μὲν αὐτοὶ οἱ κατήγοροι ὁμολογοῦσι μὴ ἐκ προνοίας
μηδ' ἐκ παρασκευῆς γενέσθαι τὸν θάνατον τῷ παιδί,
ἔπειτα τὰ πραχθέντα φανερῶς ἅπαντα πραχθῆναι
καὶ ἐναντίον μαρτύρων πολλῶν, καὶ ἀνδρῶν καὶ παί-
δων, καὶ ἐλευθέρων καὶ δούλων, ἐξ ὧνπερ καὶ εἴ
τίς τι ἠδίκηκε, φανερώτατος ἂν εἴη, καὶ εἴ τις μὴ
ἀδικοῦντα αἰτιῷτο, μάλιστ' ἂν ἐξελέγχοιτο.

φαίνω? — οὔτ' ἠνάγκασα οὔτ' ἔδωκα Dobr. (Turr. Mr.): οὔτ' ἔδωκα οὔτ' ἠνάγκασα. — ἔτι] ἐπὶ NABM. cf. 3 β 10. — ὅτι οὐδὲ] ὅτι οὐ. cf. 15; Dem. 19, 45, quem locum comp. W. — vv. ἐκέλευσεν — εἴ τις ex solo A add. Bk·

18. ἐν τῷ ἀληθεῖ] ἐν om. N. — λάθρᾳ scr.: λάθρα.

19. τίς τι NA Bk.: τίς τοι ZM, τις v. — τ' ἂν εἴη N. num igitur γ' ἂν εἴη? — μάλιστ' ἂν S. Turr.: μάλιστα.

Ἄξιον δ᾽ ἐνθυμηθῆναι, ὦ ἄνδρες, ἀμφότερα καὶ 20
τῆς γνώμης τῶν ἀντιδίκων καὶ οἵῳ τρόπῳ ἔρχονται
ἐπὶ τὰ πράγματα. ἐξ ἀρχῆς γὰρ οὐδὲν ὁμοίως οὗτοί
τε πρὸς ἐμὲ πράττουσι καὶ ἐγὼ πρὸς τούτους. ἔλεξε 21
μὲν γὰρ Φιλοκράτης οὑτοσὶ ἀναβὰς εἰς τὴν ἡλιακὴν
τὴν τῶν θεσμοθετῶν, τῇ ἡμέρᾳ ᾗ ὁ παῖς ἐξεφέρετο,
ὅτι ἀδελφὸν αὐτοῦ ἀποκτείναιμι ἐγὼ ἐν τῷ χορῷ,
φάρμακον ἀναγκάσας πιεῖν. ἐπειδὴ δὲ οὗτος ταῦτα
ἔλεγεν, ἀναβὰς ἐγὼ εἰς τὸ δικαστήριον τοῖς αὐτοῖς
δικασταῖς ἔλεξα ὅτι τὸ μὲν ὅλον οὐ δικαίως αὐτὸν
προκαθισταίη Φιλοκράτης κατηγορῶν καὶ διαβάλλων
εἰς τὸ δικαστήριον, μελλόντων ἔσεσθαί μοι ἀγώνων
πρὸς Ἀριστίωνα καὶ Φιλῖνον αὔριον καὶ τῇ ἔνῃ, ὧν-
περ ἕνεκα τοὺς λόγους τούτους | λέγοι· ἃ μέντοι αἰ- 22
τιῷτο καὶ διαβάλλοι, ῥᾳδίως ἐξελεγχθήσοιτο ψευδό- 144
μενος. εἶεν γὰρ οἱ συνειδότες πολλοί, καὶ ἐλεύθεροι
καὶ δοῦλοι, καὶ νεώτεροι καὶ πρεσβύτεροι, σύμπαντες
πλείους ἢ πεντήκοντα, οἳ τούς τε λόγους τοὺς λε-
χθέντας περὶ τῆς πόσεως τοῦ φαρμάκου καὶ τὰ πρα-
χθέντα καὶ τὰ γενόμενα πάντα ἠπίσταντο. καὶ εἰπόν 23
τε ταῦτα ἐν τῷ δικαστηρίῳ, καὶ προὐκαλούμην αὐ-

21. ἡλιακὴν] ἡλιαίαν Taylor. — τὸ μὲν ὅλον κτέ.] τὸν μὲν νόμον οὐ δίκαιον οὐ (οὐ om. pr. A) προκαθῆσθαι εἰ (sed προκαθισταίη N) Φιλ. κτέ. codd. Coniecturas virorum doctorum, qui omnes adhuc τὸν μὲν νόμον retinuerunt (nisi quod Emp. τῶν μ. νόμων οὐ δίκαιος προκαθῆσθαι εἴη proposuit) enumerare longum est. S. nunc: τὸν μ. ν. οὐ δίκαιον εἰ προφασίζεται Φ. — ἔσεσθαί] ἔσεσθε N. — πρὸς] πρὸ N. — αὔριον καὶ τῇ ἔνῃ ex coni. R. Turr.: αὔριον τῇ ἔνῃ (ἔννῃ) v., αὔριον καὶ ἔνῃ Mr. — λέγοι NMr.: λέγει.

22. εἶεν NMr.: εἰσὶ. — οἱ σύμπαντες e coni. R. rec. Mr. — τὰ γενόμενα ci. R.: τὰ λεγόμενα. — ἐπίσταιντο vel ἐπίστανται mal. Mr.

τὸν εὐθὺς τότε, καὶ αὖθις τῇ ὑστεραίᾳ ἐν τοῖς αὐτοῖς
δικασταῖς, καὶ ἰέναι ἐκέλευον λαβόντα μάρτυρας ὁπό-
σους βούλοιτο ἐπὶ τοὺς παραγενομένους, λέγων αὐτῷ
ὀνόματι ἕκαστον, (καὶ) τούτους ἐρωτᾶν καὶ ἐλέγχειν,
τοὺς μὲν ἐλευθέρους ὡς χρὴ τοὺς ἐλευθέρους, οἳ
σφῶν (τ' αὐτῶν) ἕνεκα καὶ τοῦ δικαίου ἔφραζον ἂν
τἀληθῆ καὶ τὰ γενόμενα, τοὺς δὲ δούλους, εἰ μὲν
αὐτῷ ἐρωτῶντι τἀληθῆ δοκοῖεν λέγειν, εἰ δὲ μή,
ἕτοιμος εἴην διδόναι βασανίζειν τούς τε ἐμαυτοῦ
πάντας, καὶ εἴ τινας τῶν ἀλλοτρίων κελεύοι, ὡμολό-
γουν πείσας τὸν δεσπότην παραδώσειν αὐτῷ βασα-
24 νίζειν τρόπῳ ὁποίῳ βούλοιτο. καὶ ταῦτα ἐμοῦ προ-
καλουμένου καὶ λέγοντος ἐν τῷ δικαστηρίῳ, οὗ καὶ
αὐτοὶ οἱ δικασταὶ καὶ ἕτεροι ἰδιῶται πολλοὶ μάρ-
τυρες παρῆσαν, οὔτε τότε παραχρῆμα οὔτε ὕστερον
ἐν παντὶ τῷ χρόνῳ οὐδεπώποτε ἠθέλησαν ἐλθεῖν ἐπὶ
τοῦτο τὸ δίκαιον, εὖ εἰδότες ὅτι οὐκ ἂν τούτοις κατ'
ἐμοῦ ἔλεγχος ἐγίγνετο οὗτος, ἀλλ' ἐμοὶ κατὰ τούτων
25 ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ᾐτιῶντο. ἐπίστασθε
δέ, ὦ ἄνδρες, ὅτι αἱ ἀνάγκαι αὗται ἰσχυρόταται καὶ
μέγισταί εἰσι τῶν ἐν ἀνθρώποις, καὶ ἔλεγχοι ἐκ τού-
των σαφέστατοι καὶ πιστότατοι περὶ τοῦ δικαίου,
ὅπου εἶεν μὲν ἐλεύθεροι πολλοὶ οἱ συνειδότες, εἶεν

23. αὐτῷ ὀνόματι codd. et defend. Turr. coll. § 40: αὐτῶν ὀνομαστὶ cum R. Bk., αὐτῷ ὀνομαστὶ Mr. — καὶ ante τούτους addi mal. S. — τ' αὐτῶν add. S., αὐτῶν R. — διδόναι post ἔφραζον ἂν add. NABZM (δηλονότι W.). — ἕτοιμος εἴην Taylor. Bk.: ἕτοιμος εἶεν A pr., ἕτοιμοι εἶεν ABZM, ἕτοιμός εἰμι NMr., ἕτοιμοι σταῖεν Ald., ἕτοιμος εἶναι Dobr. — vv. τούς τε ἐμ. — βασανίζειν add. NABk. — κελεύει NA (Bk. in Add., Mr.).

25. μὲν ἐλεύθεροι NMr.: ἐλεύθ. μὲν. —

δὲ δοῦλοι, καὶ ἐξείη μὲν τοὺς ἐλευθέρους ὅρκοις καὶ πίστεσιν ἀναγκάζειν, ἃ τοῖς ἐλευθέροις μέγιστα καὶ περὶ πλείστου ἐστίν, ἐξείη δὲ τοὺς δούλους ἑτέραις ἀνάγκαις, ὑφ' ὧν καὶ ἢν μέλλωσιν ἀποθανεῖσθαι κατειπόντες, ὅμως ἀναγκάζονται τἀληθῆ λέγειν· ἡ γὰρ παροῦσα ἀνάγκη ἑκάστῳ ἰσχυροτέρα ἐστὶ τῆς μελλούσης ἔσεσθαι. εἰς πάντα τοίνυν ἐγὼ ταῦτα 26
προὐκαλεσάμην τούτους, καὶ ἐξ ὧν γε χρὴ ἄνθρωπον ὄντα τἀληθῆ καὶ τὰ δίκαια πυνθάνεσθαι, ἐξῆν αὐτοῖς [πυνθάνεσθαι], καὶ πρόφασις οὐδεμία ὑπελείπετο. καὶ ἐγὼ μὲν ὁ τὴν αἰτίαν ἔχων καὶ ἀδικῶν, ὡς οὗτοί φασιν, ἕτοιμος ἦν αὐτοῖς κατ' ἐμαυτοῦ παρέχειν ἔλεγχον τὸν δικαιότατον· οἱ δ' αἰτιώμενοι καὶ φάσκοντες ἀδικεῖσθαι αὐτοὶ ἦσαν οἱ οὐκ ἐθέλοντες ἐλέγχειν εἴ τι ἠδικοῦντο. καὶ εἰ μὲν ἐγὼ τούτων 27
προκαλουμένων μὴ ἠθέλησα τοὺς παραγενομένους ἀποφῆναι, ἢ θεράποντας ἐξαιτοῦσι μὴ ἤθελον ἐκδιδόναι, ἢ ἄλλην τινὰ πρόκλησιν ἔφευγον, αὐτὰ ἂν ταῦτα μέγιστα τεκμήρια κατ' ἐμοῦ ἐποιοῦντο ὅτι ἀληθὴς ἦν ἡ αἰτία· ἐπεὶ δ' ἐμοῦ προκαλουμένου οὗτοι ἦσαν οἱ φεύγοντες τὸν ἔλεγχον, ἐμοὶ δήπου δίκαιον κατὰ τούτων τὸ αὐτὸ τοῦτο τεκμήριον γενέσθαι ὅτι οὐκ ἀληθὴς ἦν ἡ αἰτία ἣν αἰτιῶνται κατ'

ἐξείη μὲν N: ἐξείημεν cett. cod. — ἐξείη δὲ N: ἐξείημεν δὲ cett. cod.

26. πάντα τοίνυν ἐγὼ ταῦτα] πᾶν τ. ἐ. τ. AN, πᾶν τ. ἐ. πάντα ZM, πᾶν τοίνυν ἐγὼ v. — γε] σε AB, om. ZM. — αὐτοῖς πυνθάνεσθαι] pro πυνθ. καὶ πρό A pr. aliud quid habebat.

27. ἀποφήνασθαι pr. A. — ἢ θεράποντας Bk.: . θεράποντας A, θεράποντας cett. cod., θεράπ. ἢ v. — ἔφευγεν N. — ἡ αἰτία] om. ἡ AB.

28 ἐμοῦ. ἐπίσταμαι δὲ καὶ τάδε, ὦ ἄνδρες, ὅτι εἰ μὲν
τούτοις ἐμοῦ κατεμαρτύρουν οἱ μάρτυρες οἱ παρα-
γενόμενοι, αὐτοῖς ἂν τούτοις ἰσχυροτάτοις ἐχρῶντο
καὶ πίστιν ταύτην σαφεστάτην ἀπέφαινον, τοὺς μάρ-
τυρας τοὺς καταμαρτυροῦντας· τῶν αὐτῶν δὲ τού-
των μαρτυρούντων, ἃ μὲν ἐγὼ λέγω, ἀληθῆ εἶναι, ἃ
δὲ οὗτοι λέγουσιν, οὐκ ἀληθῆ, τοῖς μὲν μάρτυσι τοῖς
(ἐμοὶ) μαρτυροῦσιν ἀπιστεῖν ὑμᾶς διδάσκουσι, τοῖς
δὲ λόγοις οἷς αὐτοὶ λέγουσι πιστεύειν ὑμᾶς φασι
χρῆναι, οὓς ἐγὼ εἰ ἔλεγον ἄνευ μαρτύρων, ψευδεῖς
29 ἂν κατηγόρουν εἶναι. καίτοι δεινὸν εἰ οἱ αὐτοὶ μάρ-
τυρες τούτοις μὲν ἂν μαρτυροῦντες πιστοὶ ἦσαν, ἐμοὶ
δὲ μαρτυροῦντες ἄπιστοι ἔσονται. καὶ εἰ μὲν πάνυ
μὴ παρεγένοντο μάρτυρες, ἐγὼ δὲ παρειχόμην, ἢ τοὺς
παραγενομένους μὴ παρειχόμην, ἑτέρους δέ τινας,
εἰκότως ἂν οἱ τούτων λόγοι πιστότεροι ἦσαν τῶν
ἐμῶν μαρτύρων· ὅπου δὲ μάρτυράς τε ὁμολογοῦσι
παραγενέσθαι, καὶ ἐγὼ τοὺς παραγενομένους παρέ-
χομαι, (καὶ) εὐθὺς ἀπὸ τῆς πρώτης ἡμέρας καὶ αὐ-
τὸς ἐγὼ καὶ οἱ μάρτυρες ἅπαντες φανεροί ἐσμεν λέ-
γοντες ἅπερ νυνὶ πρὸς ὑμᾶς, πόθεν χρή, ὦ ἄνδρες,
145 ἢ τἀληθῆ πιστὰ ἢ τὰ | μὴ ἀληθῆ ἄπιστα ποιεῖν ἄλ-
30 λοθεν ἢ ἐκ τῶν τοιούτων; ὅπου μὲν γὰρ λόγῳ τις
διδάσκοι περὶ τῶν πραχθέντων, μάρτυρας δὲ μὴ
παρέχοιτο, μαρτύρων ἄν τις τοὺς λόγους τούτους

28. μαρτυρούντων N et pr. A (Bk.): καταμαρτυρούντων. — ἐμοὶ auctore R. add. Bk.

29. μάρτυρες τούτ. μὲν NMr.: μὲν μάρτ. τούτοις. — μὴ παρειχόμην] μὴ παρεσχόμην N, μὴ παρευχόμην A, μὴ παρεχόμην M Ald. — (καὶ) εὐθὺς ex coni. R. Turr. — ἅπαντες NMr.: πάντες.

30. διδάσκει A corr., B, Ald.— num τοὺς τούτου λόγους? —

ἐνδεεῖς φαίη εἶναι· ὅπου δὲ μάρτυρας μὲν παρέχοιτο, τεκμήρια δὲ αὖ τοῖς μαρτυροῦσιν ὅμοια μὴ ἀποφαίνοιτο, ταὐτὰ ἄν τις ἔχοι εἰπεῖν, εἰ βούλοιτο. ἐγὼ 31
τοίνυν τούς τε λόγους ὑμῖν εἰκότας ἀποφαίνω, καὶ τοῖς λόγοις τοὺς μάρτυρας ὁμολογοῦντας καὶ τοῖς μάρτυσι τὰ ἔργα, καὶ τεκμήρια ἐξ αὐτῶν τῶν ἔργων, καὶ ἔτι πρὸς τούτοις δύο τὼ μεγίστω καὶ ἰσχυροτάτω, τούτους μὲν αὐτούς τε ὑπὸ σφῶν αὐτῶν ἐξελεγχομένους καὶ ὑπ' ἐμοῦ, ἐμὲ δὲ ὑπό τε τούτων καὶ ὑπὸ ἐμαυτοῦ ἀπολυόμενον· ὅπου γὰρ ἐμοῦ ἐθέλοντος 32
ἐλέγχεσθαι περὶ ὧν ᾐτιῶντο οὗτοι μὴ ἤθελον ἐλέγχειν (εἴ τι) ἠδικοῦντο, ἐμὲ μὲν δήπου ἀπέλυον, αὐτοὶ δὲ κατὰ σφῶν αὐτῶν μάρτυρες ἐγένοντο ὅτι οὐδὲν δίκαιον οὐδ' ἀληθὲς ᾐτιῶντο. καίτοι εἰ πρὸς τοῖς ἐμαυτοῦ μάρτυσι τοὺς ἀντιδίκους αὐτοὺς μάρτυρας παρέχομαι, ποῖ ἔτι ἐλθόντα δεῖ ἢ πόθεν ἀποδείξαντα τῆς αἰτίας ἀπολελύσθαι;

Ἡγοῦμαι μὲν οὖν καὶ ἐκ τῶν εἰρημένων καὶ 33
ἀποδεδειγμένων, ὦ ἄνδρες, δικαίως ἄν μου ἀποψηφίσασθαι ὑμᾶς, καὶ ἐπίστασθαι ἅπαντας ὅτι οὐδέν μοι προσήκει τῆς αἰτίας ταύτης. ἵνα δ' ἔτι καὶ ἄμεινον μάθητε, τούτου ἕνεκα πλείω λέξω, καὶ ἀποδείξω ὑμῖν τοὺς κατηγόρους τούτους ἐπιορκοτάτους ὄντας καὶ ἀσεβεστάτους ἀνθρώπων, καὶ ἀξίους οὐ μόνον ὑπ' ἐμοῦ μισεῖσθαι ἀλλὰ καὶ ὑφ' ὑμῶν καὶ

μὲν παρέχοιντο et ἀποφαίνοιντο ABZM. — αὖ τοῖς R.: αὐτοῖς.
31. δύω A Turr., cf. 5, 49.
32. ἐμοῦ ἐθέλ. ἐλέγχ. NMr.: ἐθ. ἐλ. ἐμοῦ. — vv. οὗτοι μὴ — ᾐτιῶντο om. N. — εἴ τι ἠδικοῦντο] ἠδίκουν καὶ. (ἀδικοῦντα S.; cf. § 26).
33. καὶ τῶν ἄλλ. πολ. πάντων scripsi: πάντων καὶ τ. ἄλλ. πολιτῶν.

τῶν ἄλλων πολιτῶν πάντων τῆς δίκης ἕνεκα ταυ-
34 τησί. Οὗτοι γὰρ τῇ μὲν πρώτῃ ἡμέρᾳ ᾗ ἀπέθανεν
ὁ παῖς, καὶ τῇ ὑστεραίᾳ ᾗ προέκειτο, οὐδ' αὐτοὶ
ἠξίουν αἰτιᾶσθαι ἐμὲ οὐδ' ἀδικεῖν ἐν τῷ πράγματι
τούτῳ οὐδέν, ἀλλὰ συνῆσαν ἐμοὶ καὶ διελέγοντο·
τῇ δὲ τρίτῃ ἡμέρᾳ ᾗ ἐξεφέρετο ὁ παῖς, ταύτῃ δὴ
πεπεισμένοι ἦσαν ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν, καὶ
παρεσκευάζοντο αἰτιᾶσθαι καὶ προαγορεύειν εἴρ-
γεσθαι τῶν νομίμων. τίνες οὖν ἦσαν οἱ πείσαντες
αὐτούς; καὶ τίνος ἕνεκα καὶ πρόθυμοι ἐγένοντο
πεῖσαι [αὐτούς]; δεῖ γάρ με καὶ ταῦτα ὑμᾶς διδάξαι.
35 κατηγορήσειν ἔμελλον Ἀριστίωνος καὶ Φιλίνου καὶ
Ἀμπελίνου καὶ τοῦ ὑπογραμματέως τῶν θεσμοθετῶν,
μεθ' οὗπερ συνέκλεπτον, περὶ ὧν εἰσήγγειλα εἰς τὴν
βουλήν. καὶ αὐτοῖς ἐκ μὲν τῶν πεπραγμένων οὐδε-
μία ἦν ἐλπὶς ἀποφεύξεσθαι — τοιαῦτα γὰρ ἦν τὰ ἠδι-
κημένα —· πείσαντες δὲ τούτους ἀπογράφεσθαι καὶ
προαγορεύειν ἐμοὶ εἴργεσθαι τῶν νομίμων, ἡγήσαντο
ταύτην σφίσιν ἔσεσθαι σωτηρίαν καὶ ἀπαλλαγὴν τῶν
36 πραγμάτων ἁπάντων. ὁ γὰρ νόμος οὕτως ἔχει, ἐπει-
δάν τις ἀπογραφῇ φόνου δίκην, εἴργεσθαι τῶν νο-
μίμων· καὶ οὔτ' ἂν ἐγὼ οἷός τ' ἦν ἐπεξελθεῖν εἰργό-
μενος τῶν νομίμων, ἐκεῖνοί τε ἐμοῦ τοῦ εἰσαγγεί-
λαντος καὶ ἐπισταμένου τὰ πράγματα μὴ ἐπεξιόντος
ῥᾳδίως ἔμελλον ἀποφεύξεσθαι καὶ δίκην οὐ δώσειν
ὑμῖν ὧν ἠδίκησαν. καὶ τοῦτο οὐκ ἐπ' ἐμοὶ πρῶτον

34. ὑστέρᾳ N. — ταύτῃ] ταυτί ABZM. — post πεπεισμ. ἦσαν v. τινες additur, quod del. Dobr. (Turr. Mr.). — καὶ ante πρόθυμ. deleri mal. R.

35. αὐτοῖς ante ἐλπὶς iterat A pr. — γὰρ Bait.: ἄρ'. — καὶ προαγορ. εἴργ. τῶν νομ.] haec Dobreo suspecta sunt.

ἐμηχανήσαντο Φιλῖνος καὶ οἱ ἕτεροι, ἀλλὰ καὶ ἐπὶ
Λυσιστράτῳ πρότερον, ὡς αὐτοὶ ὑμεῖς ἠκούσατε.
καὶ οὗτοι τότε μὲν πρόθυμοι ἦσαν ἀπογράφεσθαί 37
με εὐθὺς τῇ ὑστεραίᾳ ᾗ ὁ παῖς ἐθάπτετο, πρὶν τὴν
οἰκίαν καθᾶραι καὶ τὰ νομιζόμενα ποιῆσαι, αὐτὴν
ταύτην φυλάξαντες τὴν ἡμέραν ἐν ᾗ ἔμελλεν ὁ πρῶ-
τος ἐκείνων κριθήσεσθαι, ὅπως μηδὲ καθ' ἑνὸς αὐ-
τῶν οἷός τε γενοίμην ἐπεξελθεῖν μηδ' ἐνδεῖξαι τῷ
δικαστηρίῳ τἀδικήματα· ἐπειδὴ δὲ αὐτοῖς ὁ βασι- 38
λεὺς τούς τε νόμους ἀνέγνω, καὶ (τὸν) χρόνον ἀπέ-
δειξεν ὅτι οὐκ ἐγχωροίη ἀπογράψασθαι καὶ τὰς κλή-
σεις καλεῖσθαι ὅσας ἔδει, καὶ ἐγὼ τοὺς ταῦτα μηχα-
νωμένους εἰσάγων εἰς τὸ δικαστήριον εἷλον ἅπαντας,
καὶ ἐτιμήθη αὐτοῖς ὧν ὑμεῖς ἐπίστασθε, καὶ οὗτοι
ὧν ἕνεκα ἐλάμβανον χρήματα οὐδὲν αὐτοῖς οἷοί τε
ἦσαν ὠφελῆσαι, τότε δὴ προσιόντες | αὐτῷ τ' ἐμοὶ 146
καὶ τοῖς φίλοις ἐδέοντο διαλλαγῆναι, καὶ δίκην ἕτοι-
μοι ἦσαν διδόναι τῶν ἡμαρτημένων. καὶ ἐγὼ πει- 39
σθεὶς ὑπὸ τῶν φίλων διηλλάγην τούτοις ἐν τῇ πόλει
ἐναντίον μαρτύρων, οἵπερ διήλλαττον ἡμᾶς πρὸς
τῷ νεῷ τῆς Ἀθηνᾶς· καὶ μετὰ τοῦτο συνῆσάν μοι
καὶ διελέγοντο ἐν τοῖς ἱεροῖς, ἐν τῇ ἀγορᾷ, ἐν

37. τότε μὲν πρόθυμοι N Mr.: μὲν πρόθ. τότε. — ὑστεραίᾳ ῇ ᾗ Bait. cf. Turr. ad Lys. 19, 22. — καθῆραι S. — ἐνδεῖξαι] ἐπιδεῖξαι?

38. χρόνους A (Turr.), χρόνου M Ald. cf. 45. (τὸν) χρόνον ci. Mr. — ἀπέδειξεν ὅτι Dobr. Mr.: ἀπέδειξε τί NAM (Turr.), ἀπέδειξεν τί BZ (Bk.). — αὐτοῖς οἷοί τε κτέ.] αὐτούς rescribere in promptu est.

39. ἐν τῇ πόλει] ἐν Διιπολείοις Scheibe coll. Harp.: Διιπόλια· ἑορτή τις ἦν Ἀθήνησι τὰ Διιπόλια· Ἀ. ἐν τῷ περὶ τοῦ χορευτοῦ. Tempus sane Diipoliorum convenit, sed nisi erravit Harp. (exstat Δ. or. 2 δ 8), de extrema potius

τῇ ἐμῇ οἰκίᾳ, ἐν τῇ σφετέρᾳ αὐτῶν καὶ ἑτέρωθι παν-
40 ταχοῦ. τὸ τελευταῖον, ὦ Ζεῦ καὶ θεοὶ πάντες, Φιλο-
κράτης αὐτὸς οὑτοσὶ ἐν τῷ βουλευτηρίῳ ἐναντίον
τῆς βουλῆς, ἑστὼς μετ' ἐμοῦ ἐπὶ τοῦ βήματος, ἁπτό-
μενος ἐμοῦ διελέγετο, ὀνόματι οὗτος ἐμὲ προσα-
γορεύων, καὶ ἐγὼ τοῦτον, ὥστε δεινὸν δόξαι εἶναι
τῇ βουλῇ, ἐπειδὴ ἐπύθετο προειρημένον μοι εἴργε-
σθαι τῶν νομίμων ὑπὸ τούτων, οὓς ἑώρα μοι τῇ
41 προτεραίᾳ συνόντας καὶ διαλεγομένους. σκέψασθε
δὲ καί μοι μνήσθητε, ὦ ἄνδρες· ταῦτα γὰρ οὐ μόνον
μάρτυσιν ὑμῖν ἀποδείξω, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν
ἔργων ἃ τούτοις πέπρακται ῥᾳδίως γνώσεσθε ὅτι
ἀληθῆ λέγω. καὶ πρῶτον (μὲν) ἃ τοῦ βασιλέως κα-
τηγοροῦσι καὶ διὰ τὴν ἐμὴν σπουδὴν οὔ φασιν ἐθέ-
λειν αὐτὸν ἀπογράφεσθαι τὴν δίκην, τοῦτο δὲ κατ'
αὐτῶν τούτων ἔσται τεκμήριον ὅτι οὐκ ἀληθῆ λέγου-
42 σιν. ἔδει μὲν γὰρ τὸν βασιλέα, ἐπειδὴ ἀπεγράψατο,
τρεῖς προδικασίας ποιῆσαι ἐν τρισὶ μησί, τὴν δίκην
δ' εἰσάγειν τετάρτῳ μηνί, ὥσπερ νυνί· τῆς δ' ἀρχῆς
αὐτῷ λοιποὶ δύο μῆνες ἦσαν, Θαργηλιὼν καὶ Σκιρο-
φοριών. καὶ οὔτ' εἰσάγειν δήπου οἷός τ' ἂν ἦν ἐφ'

parte orationis, quam mancam esse satis patet, cogitandum erit. — καὶ ἐν τῃ σφ. ἑαυτῶν N. — ἑτέροθι AMAld.

40. οὗτος NMr.: ὁ τοιοῦτος. an οὗτός τε? (οὕτως αὐτός τ' W.) — ἐπειδή ... A, εἴργεσθαι sine μοι A pr.; fuit igitur ἐπειδή μοι. μοι εἴργεσθαι NMr.: εἴργεσθαί μοι cett. — προτεραίᾳ Turr.: προτέρᾳ. — ante § 41 intercidisse ΜΑΡΤΥΡΕΣ susp. S.

41. μὲν post πρῶτον add. Dobr. — ἐθέλειν αὐτὸν NMr.: αὐτὸν ἐθέλειν. — τοῦτο δὴ Bait. — λέγουσι N.

42. εἰ δὴ ἀπεγρ. W. — προδικασίας] cf. Poll. 8, 24: προδικασία ὡς Ἀντιφῶν. προδιαδικασίας NA, προδικασίας A pr. (Bk.); διαδικασίας v. — γαρθηλιὼν AB. — Σκιροφοριών NABMr.: Σκιρροφοριών. — οἷός τ' ἂν ἦν] οἷός

ἑαυτοῦ, οὔτε παραδοῦναι φόνου δίκην ἔξεστιν, οὐδὲ παρέδωκεν οὐδεὶς πώποτε βασιλεὺς ἐν τῇ γῇ ταύτῃ. ἥν τινα οὖν μήτε εἰσάγειν μήτε παραδοῦναι ἐξῆν αὐτῷ, οὐδ' ἀπογράφεσθαι ἠξίου παρὰ τοὺς ὑμετέρους νόμους. καὶ ὅτι οὐκ ἀδικεῖ αὐτούς, μέγιστον 43
σημεῖον· Φιλοκράτης γὰρ οὑτοσὶ ἑτέρους (μὲν) τῶν ὑπευθύνων ἔσειε καὶ ἐσυκοφάντει, τούτου δὲ τοῦ βασιλέως, ὅν φασι δεινὰ καὶ σχέτλια εἰργάσθαι, οὐκ ἦλθε κατηγορήσων εἰς τὰς εὐθύνας. καίτοι τί ἂν ὑμῖν τούτου μεῖζον τεκμήριον ἀποδείξαιμι, ὅτι οὐκ ἠδικεῖτο οὔθ' ὑπ' ἐμοῦ οὔθ' ὑπ' ἐκείνου; .... ἐπειδὴ 44
γὰρ οὑτοσὶ ὁ βασιλεὺς εἰσῆλθεν, ἐξὸν αὐτοῖς ἀπὸ τῆς πρώτης ἡμέρας ἀρξαμένοις τοῦ Ἑκατομβαιῶνος μηνὸς τριάκονθ' ἡμέρας συνεχῶς τούτων ᾗ τινι ἐβούλοντο ἀπογράφεσθαι, ἀπεγράφοντο οὐδεμιᾷ· καὶ αὖθις τοῦ Μεταγειτνιῶνος μηνὸς ἀπὸ τῆς πρώτης ἡμέρας ἀρξαμένοις ἐξὸν αὐτοῖς ἀπογράφεσθαι ᾗ τινι ἐβούλοντο, οὐδ' αὖ ἐνταῦθα ἀπεγράψαντο, ἀλλὰ παρεῖσαν καὶ τούτου τοῦ μηνὸς εἴκοσιν ἡμέρας· ὥστε

τ' ἂν A. ἂν del. Bk. Dobs. Turr. — οὔτε παραδοῦναι Bk.: οὐδὲ παρ. — δίκην post φόνου add. N Mr. — ὑμετέρους NA Dobs. Mr.: ἡμετέρους.

43. ἠδίκει cum R. Bk. Turr. — εἰργάσθαι NA (Bk.): εἰργάσασθαι M corr. et Ald., ἐργάσασθαι cett. — τούτου μεῖζον NZM Mr.: μεῖζ. τούτου.

44. init. intercidisse quaedam videntur, hac sententia: „nunc alterum majus etiam considerate.“ — τριάκονθ' ἡμέρας] τρ. ἡμέρας ὁ B, τρ. ἡμέραι ὁ NA. — ἀπογρ. ᾗ τινι] ᾗ om. NAB. — αὖ Bk.: αὐτῷ NA, αὖ τῷ Dobs., αὐτὸ v. — num ἐνταῦθα (εὐθὺς)? — παρεῖσαν Dobr. Turr.: παρῆσαν. — εἴκοσιν et πλέον ἢ πεντήκοντα corrupta esse vidit Mr., coll. § 45 πρυτανεύσας κτέ. Fort. πέντε (h. e. ε') ἡμέρας et πέντε καὶ τριάκοντα rescribenda sint. — εἴκ. ἡμέρας] εἴκοσιν ἡμέραις N et corr. A; εἴκ. ἡμέραι A pr.

αἱ σύμπασαι ἡμέραι ἐγένοντο αὐτοῖς πλέον ἢ πεντή-
κοντα ἐπὶ τούτου τοῦ βασιλέως, ἐν αἷς ἐξὸν αὐτοῦ
45 ἀπογράψασθαι οὐκ ἀπεγράψαντο. καὶ οἱ μὲν ἄλλοι
ἅπαντες ὅσοις ἐπὶ τοῦ αὐτοῦ βασιλέως ὁ χρόνος μὴ
ἐνεχώρει, ... οὗτοι δ' ἐπιστάμενοι μὲν τοὺς νό-
μους ἅπαντας, ὁρῶντες δ' ἐμὲ βουλεύοντα καὶ εἰσιόντ'
εἰς τὸ βουλευτήριον — καὶ ἐν αὐτῷ τῷ βουλευτηρίῳ
Διὸς βουλαίου καὶ Ἀθηνᾶς βουλαίας ἱερόν ἐστι, καὶ
εἰσιόντες οἱ βουλευταὶ προσεύχονται, ὧν κἀγὼ εἷς
ἦν, καὶ ταῦτα πράττων, καὶ εἰς τἆλλα ἱερὰ πάντα
εἰσιὼν μετὰ τῆς βουλῆς, καὶ θύων καὶ εὐχόμενος
ὑπὲρ τῆς πόλεως ταύτης, καὶ πρὸς τούτοις πρυτα-
νεύσας τὴν πρώτην πρυτανείαν ἅπασαν πλὴν δυοῖν
ἡμέραιν, καὶ ἱεροποιῶν καὶ θύων ὑπὲρ τῆς δημο-
κρατίας, καὶ ἐπιψηφίζων καὶ λέγων γνώμας περὶ τῶν
μεγίστων καὶ πλείστου ἀξίων τῇ πόλει φανερὸς ἦν·
46 καὶ οὗτοι παρόντες καὶ ἐπιδημοῦντες, ἐξὸν αὐτοῖς
ἀπογράφεσθαι καὶ εἴργειν ἐμὲ τούτων ἁπάντων, οὐκ
ἠξίουν ἀπογράφεσθαι· καίτοι ἱκανά γ' ἦν ὑπομνῆσαι
καὶ ἐνθυμηθῆναι, εἴπερ ἠδικοῦντο, ἀμφότερα καὶ
σφῶν αὐτῶν ἕνεκα καὶ τῆς πόλεως. διὰ τί οὖν οὐκ
ἀπεγράφοντο; διὰ τί συνῆσαν καὶ διελέγοντο; συνῆ-
σάν τε γάρ μοι οὐκ ἀξιοῦντες φονέα εἶναι, καὶ οὐκ

45. ἐχώρει N; ἐγχωρεῖ Dobr. Lacunam post hoc voc. esse primus vidit R. — εἰσιόντ' εἰς N Mr.: εἰσιόντες (εἰσιόντ' ἐς A R. Bk.). — καὶ ταῦτα πράττων S.: ὁ ταῦτα πρ. — ἱερὰ πάντα N Mr.: πάντα ἱερά. — πρυτανεύων ci. Mr.

46. ἐξὸν] ἐξ ὧν AB. — καίτοι auct. R. Bk.: καί. — ἱκανά γ' NA Bk.: ἱκανόν. — οὖν οὐκ ἀπεγρ. R. Bk.: ὅπου κατεγρ. (ὅπου ἀπεγρ. N). — τί συνῆσαν R. Bk. et praebet N: τί συνήεσαν. — αὐτοῦ] γε ZM. num igitur τούτου γε αὐτοῦ?

| ἀπεγράφοντο τούτου αὐτοῦ ἕνεκα, οὐχ ἡγούμενοί 147
με ἀποκτεῖναι τὸν παῖδα οὐδ' ἔνοχον εἶναι τοῦ φό-
νου οὐδὲ προσήκειν μοι τούτου τοῦ πράγματος οὐδέν.
καίτοι πῶς ἂν ἄνθρωποι σχετλιώτεροι ἢ ἀνομώτεροι 47
γένοιντο, οἵ τινες ἅπερ αὐτοὶ σφᾶς αὐτοὺς οὐκ ἔπει-
σαν, ταῦθ' ὑμᾶς ἀξιοῦσι πεῖσαι, καὶ ἃ αὐτοὶ ἔργῳ
ἀπεδίκασαν, ταῦτα ὑμᾶς κελεύουσι καταδικάσαι; καὶ
οἱ μὲν ἄλλοι ἄνθρωποι τοῖς ἔργοις τοὺς λόγους ἐξε-
λέγχουσιν, οὗτοι δὲ τοῖς λόγοις ζητοῦσι τὰ ἔργα
ἄπιστα καταστῆσαι. καίτοι εἰ μηδὲν ἄλλο μήτε εἶπον 48
μήτε ἀπέφηνα μήτε μάρτυρας παρεσχόμην, ἀλλὰ
(αὐτὰ) ταῦτα ὑμῖν ἀπέδειξα, τούτους ὅπου μὲν χρή-
ματα λαμβάνοιεν ἐπ' ἐμοί, αἰτιωμένους καὶ προαγο-
ρεύοντας, ὅπου δὲ μὴ εἴη ὁ δώσων, συνόντας καὶ
διαλεγομένους, ἱκανὰ ἦν καὶ αὐτὰ ταῦτα ἀκούσαντας
ἀποψηφίσασθαι καὶ τούτους νομίζειν ἐπιορκοτάτους
καὶ ἀνοσιωτάτους πάντων ἀνθρώπων. οὗτοι γὰρ 49
ποίαν δίκην οὐ δικάσαιντ' ἂν ἢ ποῖον δικαστήριον
οὐκ ἐξαπατήσειαν ἢ τίνας ὅρκους οὐκ ἂν τολμήσειαν
παραβαίνειν, οἵ τινες καὶ νῦν τριάκοντα μνᾶς ἐπ'
ἐμοὶ λαβόντες παρὰ τῶν ποριστῶν καὶ τῶν πωλητῶν
καὶ τῶν πρακτόρων καὶ τῶν ὑπογραμματέων οἳ τού-
τοις ὑπεγραμμάτευον, ἐξελάσαντές με ἐκ τοῦ βου-
λευτηρίου, ὅρκους τοιούτους διωμόσαντο, ὅτι πρυ-
τανεύων πυθόμενος αὐτοὺς δεινὰ καὶ σχέτλια ἐργά-

47. ταῦτα NAB: ταῦθ' ZM (Bk.). — καταδικάσειν N (καταδικάζειν W.). — ἄπιστα R. Bk.: πιστά.

48. καίτοι εἰ] καίτοι οἱ N. — μόνον post ταῦτα add. R. — τούτους Ald.: τούτοις. — ἱκανὰ ἂν ἦν Dobr. — ante ἀκούσαντας addi vult ὥστε ὑμᾶς Mr.

49. πωλητῶν R.: πολιτῶν. — διωμόσαντο R.: διομί-

ξεσθαι εἰσῆγον εἰς τὴν βουλήν, καὶ ἐδίδαξα ὡς χρὴ
50 *ζητοῦντας ἐπεξελθεῖν τῷ πράγματι. καὶ νῦν δίκην*
διδόασιν ὧν ἠδικήκασιν αὐτοί τε καὶ οἱ μεσεγγυησά-
μενοι, [καὶ] παρ' οἷς ἐτέθη τὰ χρήματα, καὶ τὰ
πραχθέντα φανερὰ γεγένηται, ὥστ' οὐδ' ἂν οὗτοι
βούλωνται ἀρνεῖσθαι ῥᾳδίως οἷοί τ' ἔσονται· οὕτως
51 *αὐτοῖς πέπρακται τὰ πράγματα. ποῖον οὖν δικαστή-*
ριον οὐκ ἂν ἔλθοιεν ἐξαπατήσοντες, ἢ τίνας ὅρκους
οὐκ ἂν τολμήσαιεν παραβαίνειν οὗτοι οἱ ἀνοσιώτα-
τοι, οἵτινες καὶ ὑμᾶς εἰδότες εὐσεβεστάτους τῶν Ἑλ-
λήνων δικαστὰς καὶ δικαιοτάτους (ὄντας) καὶ ἐφ'
ὑμᾶς ἥκουσιν ἐξαπατήσοντες εἰ δύναιντο, ὅρκους
τοιούτους διομοσάμενοι.

σαντος NAB, *διωμόσαντες* M, *διομόσαντες* Z Ald. — *ἐδί-δαξεν* BZM. — *πράμματι* AB.
50. *μεσεγγυησάμενοι* NA Bk.: *μετεγγυησ.* — *καὶ* post *μεσ.* delendum esse susp. Platner. (Proc. u. Klag. II p. 364.) — *οὗτοι*] *οὗτος* B, *οὕτως* ZM.
51. *τολμήσαιεν* NA (Bk. Dobs. Turr. Mr.): *τολμήσειεν* BZM Ald.; *τολμήσειαν* v. — *τοιούτους* Mr. coll. 49 (cf. etiam 5, 15): *τοσούτους*.

FRAGMENTA.

A. FRAGMENTA ANTIPHONTIS ORATORIS.

I. ΠΕΡΙ ΤΗΣ ΜΕΤΑΣΤΑΣΕΩΣ.

V. Plutarch. V. Antiph. §§ 11. 20 quaeque ad hunc locum adnotavi.

1. *Στασιώτης· Ἀ. ἐν τῷ περὶ τῆς μεταστάσεως· περὶ τοίνυν ὧν Ἀπόληξις κατηγόρηκεν, ὡς στασιώτης ἦν (καὶ) ἐγὼ καὶ ὁ πάππος ὁ ἐμός. ἔοικε νῦν ὁ ῥήτωρ ἰδίως ἐπὶ τοῦ δορυφόρου κεχρῆσθαι τῷ ὀνόματι· ἐν γοῦν τοῖς ἑξῆς φησιν ὅτι· οὐκ ἂν τοὺς μὲν τυραννοῦντας ἠδυνήθησαν οἱ πρόγονοι κολάσαι, τοὺς δὲ δορυφόρους ἠδυνάτησαν.* Harp. cf. Suid. Phot.

2. *διαστῆσαι ἀντὶ τοῦ διαταράξαι καὶ οἷον ἀδύνατον ποιῆσαι Ἀ. ἐν τῷ π. τ. μεταστ.* Harpocr.

3. *Ἀ. ἐν τῷ περὶ τῆς μεταστ.· καὶ τοὺς ἐμποδὼν ἐκολάσατε, ἀντὶ τοῦ τοὺς ἐμπεσόντας.* Harpocr. s. v. *ἐμποδών*, cf. Etym. M. p. 336, 35.

4. *ἐπεσκήψατο — — λέγεται δὲ ἐνίοτε κατὰ τὸ σπάνιον καὶ ἐπὶ τοῦ ἐγκαλέσαι φόνου, ὡς Ἀ. ἐν τῷ π.τ. μεταστ.* Harpocr. cf. Suid. Etym. M. p. 355, 36.

1. *κολάσαι* Dobr. S.: *καλέσαι*.

5. *Ἠετιωνία· Ἀ. ἐν τῷ π. τ. μεταστ.* Harpocr.

6. *τετρακόσιοι· Ἀ. ἐν τῷ π. τ. μεταστ.* Harpocr.

II. ΠΕΡΙ ΑΝΔΡΑΠΟΔΙΣΜΟΥ.

7. *Ἐπειδὴ γὰρ ἀπῳκίσθην Ἀθήναζε καὶ ἀπηλλάγην τῆς κληρουχίας.* B. A. p. 352, 23 (Bachm. Anecd. p. 40, 19).

III. ΠΡΟΣ ΤΗΝ ΔΗΜΟΣΘΕΝΟΥΣ ΓΡΑΦΗΝ ΑΠΟΛΟΓΙΑ.

Cf. Plut. Vit. Antiph. § 20: *ὁ πρὸς Δημοσθένην τὸν στρατηγὸν παρανόμων.*

8. *Ἄλλος δέ ἐστιν Ἀλκιβιάδης οὗ μνημονεύει Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημοσθένους γραφὴν ἀπολογίᾳ· — — ἔστι δὲ Φηγούσιος, Ἀλκιβιάδου ξένος.* Harpocr. s. v. *Ἀλκιβ.*; cf. Bekker. Anecd. p. 378, 22.

9. *ἀποτειχίσαι τὸ ἀπολαβεῖν τείχει καὶ ἀποκλεῖσαι τῆς ἐξόδου, ἀποτετειχισμένος δὲ ὁ ἀπειλημμένος καὶ ἀποκεκλεισμένος τῷ τείχει· Ἀντιφῶν ἐν τῇ πρὸς τὴν Δημ. γρ. ἀπολ. καὶ Θουκυδίδης.* Harp. cf. Suid., Bekk. Anecd. p. 437, 28.

10. *δεκατευτὰς ἀντὶ τοῦ τελώνας τοὺς τὴν δεκάτην ἐκλέγοντας Ἀ. ἐν τῇ πρὸς Δημ. γρ. ἀπολ.* Harp., cf. Suid.

11. *κελέοντες· Ἀ. ἐν τῇ πρὸς Δημ. γρ. ἀπολ.· ἵνα τοὺς κελέοντας κατέπηξεν. κυρίως μὲν κελέοντές εἰσιν οἱ ἱστόποδες — —· μεταφορικῶ*

5. *ἠετιωνεία* A; *Ἠετιώνεια* Thuc. — 7. *ἀπωκίσθην* S. *ἀπῴκεις τὴν.* — 8. *ξένος*] *ἀνεψιός* suo iure ci. S. coll. Xen. Hell. 1, 2, 13. — 9. *τὴν* om. CF. — *δημοσθένην* C, *δρό-μους* F. — *γραφ. ἀπολ.* om. ABCF. — 10. *δημοσθένην γραφῇ* om. *ἀπολ.* ABC *ἀπολ.* om. etiam J. — 11. *ἱστόποδες* in alter gl. Phot.: *ἰνόποδες* (*ἰνοπώλιδες, οἰνοπώλιδες*) cett.

δὲ νῦν ὁ ῥήτωρ λέγοι ἂν τὰ ὀρθὰ ξύλα. Harp. cf. Suid. Phot.

12. σκαφίον· Ἀ. ἐν τῇ πρὸς τὴν Δημ. γρ. ἀπολ. ὅτι δὲ τὸ σκαφίον εἶδος κουρᾶς, καὶ Ἀριστοφάνης Γήρᾳ. Harp. cf. Phot.

13. συνήγοροι· Ἀντ. ἐν τῇ πρὸς τὴν Δημ. γρ. ἀπολ. καὶ ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. Harp. cf. Suid. Phot.

14. Ἄνδρων· Ἀ. ἐν τῷ πρὸς τὴν Δημ. ἀντιγραφήν. Ἄνδρωνά φησιν εἶναι Κρατερὸς ἐν θ′ τῶν ψηφισμάτων τὸν γράψαντα τὸ ψήφισμα τὸ περὶ Ἀντιφῶντος τοῦ ῥήτορος. ἦν δὲ εἷς τῶν υ′ ὁ Ἄνδρων. Harp.

IV. ΕΠΙΤΡΟΠΙΚΟΣ ΚΑΤΑ ΚΑΛΛΙΣΤΡΑΤΟΥ.

15. ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου· Ἀ. ἐπιτροπικῷ κατὰ Καλλιστράτου καὶ Σόλων ἐν κα′ Νόμων. Harp.

V. ΕΠΙΤΡΟΠΙΚΟΣ ΤΙΜΟΚΡΑΤΕΙ.

16. Σπάρτωλος· Ἀ. ἐν τῷ ἐπιγραφομένῳ Ἐπιτροπικὸς Τιμοκράτει.

VI. ΚΑΤΑ ΙΠΠΟΚΡΑΤΟΥΣ.

Cf. Plut. Vit. Antiph. § 21 quaeque ad eum locum

12. τὴν Δημ.] διογένους BCG. — 13. ἐν τῇ] ἐν τῶ C, om. BG. — ἀπολ. om. BCG. — 14. τῷ] τῇ C. — ἀντιγραφὴν om. A. Iure igitur S. hic quoque ἐν τῇ πρὸς τὴν Δημ. γρ. ἀπολ. legendum censet. — 15. κατὰ add. S.: nisi Καλλιστράτῳ ut Τιμοκράτει legendum est. — 16. τιμοκράτης A, τιμοκράτω B.

de lectione codicum (τοῦ ἰατροῦ στρατηγοῦ) et virorum doctorum dissensione adnotavi.

VII. ΠΡΟΣ ΤΗΝ ΚΑΛΛΙΟΥ ΕΝΔΕΙΞΙΝ ΑΠΟΛΟΓΙΑ.

18 17. ἀντὶ δὲ τοῦ ἀποδεδόμεθα διεθέμεθα εἶπεν Ἀ. ἐν τῷ πρὸς τὴν Καλλίου ἔνδειξιν. Harp. s. v. διάθεσις.

19 18. ἕρμα ἡ ὕφαλος πέτρα· Ἀ. ἐν τῇ πρὸς Καλλίου ἔνδειξιν ἀπολογίᾳ. Harp. cf. Suid. Phot.

20 19. ᾖσμεν ἀντὶ τοῦ ᾔδειμεν. Ἀ. πρὸς τὴν Καλλ. ἔνδ. ἀπολογίᾳ· ἡμεῖς μὲν οὖν οὔτε ναυτικὸν ᾖσμεν ὁπόσον δέοι. Harp.

21 20. μοιροδοκῆσαι ἀντὶ τοῦ μέρους μεταλαβεῖν Ἀ. ἐν τῇ πρὸς Καλλίου ἔνδ. ἀπολ. Harp. cf. Suid. Phot. p. 275, 11. — μοιρολογχῆσαι ὡς Ἀ. Poll. 4, 176.

VIII. ΚΑΤΑ ΛΑΙΣΠΟΔΙΟΥ.

22 21. ἀπιστεῖν ἀντὶ τοῦ ἀπειθεῖν Ἀ. κατὰ Λαισποδίου. Harpocr.

23 22. Γαληψός· Ἀ. κατὰ Λαισποδίου. Harp.

24 23. ἐπίσκοπος· Ἀ. ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ ἐν τῷ κατὰ Λαισποδίου. ἐοίκασιν ἐκπέμπεσθαί τινες ὑπὸ Ἀθηναίων εἰς τὰς ὑπηκόους πόλεις ἐπισκεπτόμενοι τὰ παρ' ἑκάστοις. Harpocr.

25 24. Οἰσύμη· Ἀ. ἐν τῷ κατὰ Λαισποδίου. Harp.

17. διεθέμεθα] δοώμεθα B, δὴ διώσμεθα AJ. — 18. ἕρμα ἡ Blomfield S.: ἑρμᾶν (ἑρμιάν) codd. — 19. ᾖσμεν Valckenaer. S.: ᾖσμεν B, ceteri ἤεμεν. — ὁπόσον postulat S.; nisi verbum post δέοι excidit. — 21. λαισπονδίου A, λαισπονδίου cett. — 24. λαισπονδίου C, λεσπονδίου A.

IX. ΠΕΡΙ ΤΟΥ ΛΙΝΔΙΩΝ ΦΟΡΟΥ. x

25. *Ἀμφίπολις· Ἀ. περὶ τοῦ Λινδίων φόρου.* Harpocr. 26

26. *ἀπειπεῖν ἀντὶ τοῦ ἀποκαμεῖν καὶ ἀδυνατῆσαι Ἀ. ἐν τῷ περὶ τοῦ Λινδίων φόρου, καὶ ἀντὶ τοῦ ἀπαρνήσασθαι παρὰ τῷ αὐτῷ.* Harpocr. 27

27. *ἅττα* (h. l. *ἅττα* scil.) *ἀντὶ μὲν τοῦ ὅσα ἢ ἅτινα Ἀ. ἐν τῷ περὶ τοῦ Λινδίων φόρου.* Harpocr. cf. Suid. 28

28. *δι' ἐνιαυτοῦ ἀντὶ τοῦ δι' ὅλου τοῦ ἐνιαυτοῦ Ἀ. περὶ τοῦ Λινδίων φόρου.* Harpocr. 29

29. *ἐπαγγελία· — — λέγεται δὲ — τὸ ἐπαγγέλλεσθαι καὶ ἀντὶ τοῦ προςτάττειν ἢ αἰτεῖσθαι, ὡς παρά τε Ἀντιφῶντι ἐν τῷ περὶ τοῦ Λινδίων φόρου καὶ Δημοσθένει ἐν τῷ περὶ πρεσβείας.* Harp. cf. Suid. 30

30. *ἐπίσκοπος.* V. fr. 23. 31

31. *προςφορὰ ἀντὶ τοῦ πρόςοδος Ἀ. ἐν τῷ περὶ τοῦ Λινδίων φόρου.* Harp. cf. Suid. Phot. 32

32. *συνήγοροι.* V. fr. 13. 33

33. *τριβωνευόμενοι· Ἀ. ἐν τῷ περὶ τοῦ Λινδίων φόρου. ἤτοι ἀντὶ τοῦ τριβὰς ἐμποιοῦντες, ἢ ἀντὶ τοῦ τεχνάζοντες ἀπὸ τοῦ τρίβωνες εἶναι πραγμάτων.* Harpocr. 34

X. ΥΠΕΡ ΜΥΡΡΟΥ. XI

34. 35. *Ἀντιφῶν τῷ ἅττα κέχρηται ἀντὶ τοῦ* 35

25. *ληναίων φόρον* M, *ληναίον φόρον* A, *ληναιοφόρον* C, *ληναιφόρον* BF; *Λινδίων φ.* Valesius. At *Λιμναίων φόρον* S., novam orationem (IX) inde efficiens. — 26. Ante *καὶ ἀντὶ* S. e collatione Suidae s. v. et Cramer. Anecd. IV p. 490, 5 aliquid excidisse suspicatur, in hunc modum ut *τῷ αὐτῷ* ad Lysiam iam referendum sit. — 27. *λιδίων* F. — *φόνον* A. — 28. *λινδῶν* ABJN. — 31. *προφορά* A. — 33. *λινδίον* C.

36 *ἅτινα ἐν τῇ ἀπολογίᾳ τοῦ Μύρρου· οὐ γάρ πω ἐπε-πόνθειν ταῦτα, ἅττα νῦν πέπονθα ὑπὸ τού-του. καὶ αὖθις· Οἱ γὰρ ἄνθρωποι ἅττα ἂν ὁρῶσι τῇ ὄψει πιστότερα ἡγοῦνται ἢ οἷς εἰς ἀφανὲς ἥκει ὁ ἔλεγχος τῆς ἀληθείας.* Suid. 1, 1 p. 822, 15 Bernh.

XII ## XI. ΠΡΟΣ ΝΙΚΟΚΛΕΑ ΠΕΡΙ ΟΡΩΝ.

37 36. *ἀργυροκοπεῖον· Ἀ. ἐν τῷ πρὸς Νικοκλέα. ὅπου κόπτεται τὸ νόμισμα· ὃ νῦν σημαντήριόν τινες καλοῦσι.* Harpocr.

38 37. *διὰ μέσου τεῖχος· Ἀ. πρὸς Νικοκλέα. τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ — —, τοῦ τε βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τῶν παρ' ἑκάτερα ἐλέγετο τὸ νότιον.* Harp.

39 38. *ὅτι δὲ καὶ Ἑρμῶν στοά τις ἐλέγετο, δεδήλωκε καὶ Ἀ. ἐν τῷ πρὸς Νικοκλέα.* Harp. s. v. *Ἑρμαῖ.*

40 39. *εὐθύωρον τὸ κατ' εὐθεῖαν Ἀ. ἐν τῷ πρὸς Νικ.* Harp. cf. Suid. Phot.

41 40. *Κεραμεικός· Ἀ. ἐν τῷ πρὸς Νικ. περὶ ὅρων. ὅτι δύο εἰσὶ Κεραμεικοί, ὡς καὶ ὁ ῥήτωρ φησίν, ὁ μὲν ἔνδον τῆς πόλεως ὁ δὲ ἕτερος ἔξω — —, δηλοῖ Καλλικράτης ἢ Μενεκλῆς ἐν τῷ περὶ Ἀθηνῶν.* Harp.

42 41. *λέσχαι· Ἀ. ἐν τῷ πρὸς Νικοκλέα. λέσχας*

34. *Μύρου* E et Med. — *οὐ γάρ πω* Cob. N. L. p. 277: *οὐ γὰρ ἐγὼ.* — *πέπονθα* E; *ἐπεπόνθη* Cob. — *ταῦτα*] *τότε* mal. S. — 35. cf. Poll. 2, 57 ex Antiphonte: *τῇ ὄψει, ἤγουν τοῖς ὀφθαλμοῖς.* — *ἀφανὲς*] *ἀσφαλὲς* B. — 37. *τείχους* (*τοῦ τείχους* A) codd., quod defendit S.; *τεῖχος* Dindorf. et Bergk. — 38. *Ἑρμῶν* Sluiter S.: *Θρᾳκῶν.*

ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο οἱ πολλοί. Harp.

42. παράβυστον. οὕτως ἐκαλεῖτό τι τῶν παρ' 43
Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ ια'· Ἀ. ἐν τῷ πρὸς Νικ. περὶ ὅρων. Harp.

43. πρυτανείας· Ἀ. ἐν τῷ πρὸς Νικοκλέα. 44
ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λς' ἢ λε', ἃς ἑκάστη φυλὴ πρυτανεύει. Harpocr.

44. Στεφανηφόρος· Ἀ. ἐν τῷ πρὸς Νικοκλέα. 45
Στεφανηφόρου ἡρῷον, ὡς ἔοικεν, ἦν ἐν ταῖς Ἀθήναις. Harp. cf. Suid. Phot.

45. Ὑπέρβολος· Ἀ. ἐν τῷ πρὸς Νικοκλέα. ἦν 46
δὲ δημαγωγός. Harp.

XII. ΠΑΡΑΝΟΜΩΝ ΚΑΤΗΓΟΡΙΑ. XIII

46. Ναυμάχους ὡς περὶ δωρεῶν μὲν εἰ- 47
πεῖν κατάγειν δεῦρο. Suid. 1, 1 p. 1217, 16.

XIII. ΠΡΟΣ ΠΟΛΥΕΥΚΤΟΝ. XIV

47. ἀνάδεξαι· οἷον ἐγγυῆσαι. Ἀ. πρὸς Πο- 48
λύευκτον. Antiattic. B. A. 82, 29.

XIV. ΚΑΤΑ ΠΡΥΤΑΝΕΩΣ ΕΙ ΓΝΗΣΙΟΣ. XV

48. ἴσως δὲ καὶ κατὰ τοῦτο ῥητορικαὶ γραφαί 49
τινες καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ κατὰ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, ὡς Ἀ. ἐν τῷ κατὰ πρυτάνεως, εἰ γνήσιος, ὑποσημαίνει. Harp. s. v. ῥητορικὴ γραφή.

41. οἱ πολλοί Toupius S.: πολλοί. — 45. τῷ] τῇ A. — XII. Recte Saupp. hanc orationem discernit ab ea quae fuit πρὸς Δημοσθένην παρανόμων, quacum confudit Westermannus. — 46. frg. corruptum. S. ci.: ἐκ ναυμαχίας ὡς περὶ δωρ. συνειπεῖν κατάγει δεῦρο. — XIV. an Πρυτάνεως?

XVI ## XV. ΠΕΡΙ ΤΟΥ ΣΑΜΟΘΡΑΙΚΩΝ ΦΟΡΟΥ.

50 49. *Σαμοθράκη — φασὶ δὲ Σαμίους οἰκίσαντας αὐτὴν τὸ ὄνομα θέσθαι τοῦτο· καὶ ἔστι παρὰ Ἀντιφῶντι ἐν τῷ Σαμοθρακικῷ λόγῳ οὕτως εἰρημένον· καὶ γὰρ οἱ τὴν ἀρχὴν οἰκίσαντες τὴν νῆσον ἦσαν Σάμιοι, ἐξ ὧν ἡμεῖς ἐγενόμεθα. κατῳκίσθησαν δὲ ἀνάγκῃ, οὐκ ἐπιθυμίᾳ τῆς νήσου· ἐξέπεσον γὰρ ὑπὸ τυράννων ἐκ Σάμου καὶ τύχῃ ἐχρήσαντο ταύτῃ ** καὶ λείαν λαβόντες ἀπὸ τῆς Θρᾴκης ἀφικνοῦνται εἰς τὴν νῆσον.* Suid.

51 50. *Ἡ μὲν γὰρ νῆσος, ἣν ἔχομεν, δήλη μὲν καὶ πόρρωθεν (ὅτι) ἐστὶν ὑψηλὴ καὶ τραχεῖα· καὶ τὰ μὲν χρήσιμα καὶ ἐργάσιμα μικρὰ αὐτῆς ἐστι, τὰ δ' ἀργὰ πολλά, μικρᾶς αὐτῆς οὔσης.* Demetr. *π. ἑρμην.* § 53, orationis nomine
52 non addito.

51. *Καίτοι οὐκ ἂν τῆς μὲν τῶν ἄλλων πολιτῶν ταλαιπωρίας προὐσκέψαντο, τῆς δὲ σφετέρας αὐτῶν σωτηρίας οὐκ ἐνεθυμήθησαν.* Priscian. 18 § 280 (*Ἀ. Σαμοθρᾳκικῷ*).

49. *οἰκίσαντες* Boeckh. cum E corr. et B. A. p. 305, 10 (S.): *οἰκήσαντες.* — Asteriscos post *ταύτῃ* posuit S. — *καὶ* ante *λείαν* om. AVE Med. — *ὑπὸ* pro *ἀπὸ* A. — 50. Frg. huc rettulit Victorius. — *μὲν* post *ἡ* add. Capperonerius; hoc enim adicit rhetor: *τρισὶ* (*δυσὶ* margo cod. b) *γὰρ τοῖς μὲν συνδέσμοις εἷς ὁ δὲ ἀνταποδίδοται.* — *ἣν ἔχομεν* libri m b Victorii: ceteri *ἣν ἐχομένη* vel *ἀνεχομένη.* — *ὅτι* add. S. (*ἐστιν ὅτι* Spengel.). — 51. *Ἐκλογεῖς* dici videntur; cf. fr. 52. — *Σαμοθρακικῷ* cod. Paris 7496: *σιμοεοακικωy* Monac., *ὀλιγαρχικῷ* relicui. — *προὐσκέψαντο* Spengel. S.: *πουσκέψαντο* Paris. et Mon., *προεσκέψαντο* ceteri. — *σφετέρας* Paris.: *φετέρας* Monac., *σωτηρίας* ceteri. — *σωτηρίας* Spengel. S.: *ατηρίας* Paris. et Monac., *ἐχυρᾶς* ceteri.

52. *ἐκλογεῖς* οἱ ἐκλέγοντες καὶ εἰςπράττοντες 53
τὰ ὀφειλόμενα τῷ δημοσίῳ. Ἀ. ἐν τῷ περὶ τοῦ Σαμ. φόρου· ἡρέθησαν γὰρ *ἐκλογεῖς* παρ' ἡμῖν οἷς *πλεῖστα ἐδόκει χρήματα εἶναι*. Harpocr.

53. *ἀεὶ* ἀντὶ τοῦ ἕως παρ' Ἀντιφῶντι Σαμο- 54
θρᾳκικῷ. Harp.

54. *ἀποδιδόμενοι* Ἀ. ἐν τῷ π. τ. Σαμ. φόρου 55
ἀντὶ τοῦ ἀποδιδόντες. ἑξῆς δέ φησιν *ἀποδιδόμεθα* ἤτοι ἀντὶ τοῦ ἀποδίδομεν ἢ ἀντὶ τοῦ πιπράσκομεν. Harp. cf. B. A. p. 427, 18.

55. *ἀπόταξις* τὸ χωρὶς τετάχθαι τοὺς πρότερον 56
ἀλλήλοις συντεταγμένους εἰς τὸ ὑποτελεῖν τὸν ὡρισμένον φόρον· Ἀ. ἐν τῷ π. τ. Σαμ. φόρου. Harp. cf. Suid.

56. *συντελεῖς* οἱ συνδαπανῶντες καὶ συνεις- 57
φέροντες· τὸ δὲ πρᾶγμα *συντέλεια* καλεῖται, ὡς ἔστιν εὑρεῖν ἐν τῷ Ἀντιφῶντος π. τ. Σαμ. φόρου. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Harp.

XVI. ΠΡΟΣ ΕΡΑΣΙΣΤΡΑΤΟΝ ΠΕΡΙ ΤΩΝ ΤΑΩΝ. XVII

Cf. Plut. Vit. Antiph. § 20.

57. Ἀντιφῶντι δὲ τῷ ῥήτορι λόγος μὲν γέγρα- 58
πται ἔχων ἐπίγραμμα περὶ ταῶν καὶ ἐν αὐτῷ τῷ λόγῳ οὐδεμία μνεία τοῦ ὀνόματος γίνεται, ὄρνεις δὲ ποικίλους πολλάκις ἐν αὐτῷ ὀνομάζει, φάσκων τούτους τρέφειν Δῆμον τὸν Πυριλάμπους, καὶ πολλοὺς παραγίνεσθαι κατὰ πόθον τῆς τῶν ὀρνίθων θέας ἔκ τε

56. *συντελεῖς* est apud Dem. § 104; ex Antiphonte nonnisi *συντέλεια* affertur. — 57. *Δῆμον τὸν Πυριλάμπους*] huc referenda Harp. glossa (fr. 61 S.): *Πυριλάμπης*· Ἀ. ἐν τῷ περὶ τῶν ταῶν. ὄνομα κύριον. —

Λακεδαίμονος καὶ Θετταλίας καὶ σπουδὴν ποιεῖσθαι τῶν ᾠῶν μεταλαβεῖν. περὶ δὲ τῆς ἰδέας αὐτῶν λέγων γράφει· εἴ τις ἐθέλοι καταβαλεῖν εἰς πόλιν τοὺς ὄρνιθας, οἰχήσονται ἀναπτόμενοι· ἐὰν δὲ τῶν πτερύγων ἀποτέμῃ, τὸ κάλλος ἀφαιρήσεται· τὰ πτερὰ γὰρ αὐτῶν τὸ κάλλος ἐστίν, ἀλλ' οὐ τὸ σῶμα. ὅτι δὲ καὶ περισπούδαστος ἦν αὐτῶν ἡ θέα, ἐν τῷ αὐτῷ λόγῳ πάλιν φησίν· ἀλλὰ τὰς μὲν νουμηνίας ὁ βουλόμενος εἰςῄει· τὰς δ' ἄλλας ἡμέρας εἴ τις ἔλθοι βουλόμενος θεάσασθαι, οὐκ ἔστιν ὅςτις ἔτυχε. καὶ ταῦτα οὐκ ἐχθὲς οὐδὲ πρῴην, ἀλλ' ἔτη πλέον ἢ τριάκοντά ἐστιν. Ath. IX p. 397 CD.

59 58. *ἐτιμῶντο δὲ τὸν ἄρρενα καὶ τὸν θῆλυν δραχμῶν χιλίων, ὥς Ἀ. ἐν τῷ πρὸς Ἐρασίστρατον λόγῳ φησί.* Aelianus H. A. 5, 21.

60 59. *εὐοφθάλμως ἀντὶ τοῦ εὐπρεπῶς Ἀ. ἐν τῷ περὶ ταώνων.* Harp. cf. Suid. Phot.

XVIII XVII. ΥΠΕΡ ΤΗΣ ΕΙΣ ΤΟΝ ΕΛΕΥΘΕΡΟΝ ΠΑΙΔΑ ΥΒΡΕΩΣ. (?)

62 60. *ἀξιοῖ ἀντὶ τοῦ νομίζει Ἀ. ὑπὲρ τῆς εἰς τὸν ἐλ. παῖδα ὕβρεως.* Harp. cf. Suid., B. A. 412, 28.

ἀλλὰ τὰς μὲν νουμηνίας κτέ.] Saupp. conferri iubet Ael. H. A. 5, 21; Eustath. ad Iliad. 2, 782. — 58. *χιλίων*] *μυρίων* Mc et mg. v, *ὡρίων* bv. *Μυρίων* post *ἄρρενα* addendum esse ci. S. — 60. Lysiae nomen ante orationis inscriptionem intercidisse putat Meierus: nempe Harpocr. codd. DE et Suidas grammaticusque in B. A. ita hanc glossam exhibent: *ἀξιοῖ Ἀντ. καὶ Λυσίας ἀντὶ τοῦ νομίζει.* Itaque iam incertum fit, Antiphontisne an Lysiae haec oratio fuerit. — *ὕβρεως* add. Goesiana, om. codd.

XVIII. ΚΑΤΑ ΦΙΛΙΝΟΥ. XIX

Cf. or. VI § 12. 21. 35.

61. *θῆτες καὶ θητικόν· Ἀ. ἐν τῷ κατὰ Φιλίνου* 63
φησί· τούς τε θῆτας ἅπαντας ὁπλίτας ποιῆσαι. Harp.

62. *ἀκροᾶσθαι ἀντὶ τοῦ ὑπακούειν Ἀ. ἐν τῷ* 64
κατὰ Φιλ. Harp. cf. Suid.; B. A. p. 366, 28.

63. *ἀπολαχεῖν ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν Ἀ. ἐν* 65
τῷ κατὰ Φιλ. Harp. cf. Suid.; B. A. p. 430, 9; Bachm. Anecd. 1 p. 127, 9.

64. *διάληξις. διαλαγχάνειν τὸ κλήρῳ διαιρεῖ-* 66
σθαι, διάληξις δὲ τὸ πρᾶγμα· Ἀ. ἐν τῷ κατὰ Φιλίνου. Harp.

XIX. ΠΡΟΣ ΦΙΛΙΠΠΟΝ ΑΠΟΛΟΓΙΑ ΕΙ ΓΝΗΣΙΟΣ. XX

65. *δημοτευόμενος. δημοτεύεσθαί ἐστι τὸ* 67
τοῦδέ τινος δήμου κοινωνεῖν καὶ χρηματίζειν ἀπ' αὐτοῦ· Ἀ. ἐν τῇ πρὸς Φίλιππον ἀπολ., εἰ γνήσιος. Harpocr.

XX. ΑΛΚΙΒΙΑΔΟΥ ΛΟΙΔΟΡΙΑΙ. XXI

66. *Ἐν δὲ ταῖς Ἀντιφῶντος λοιδορίαις γέγρα-* 68
πται, ὅτι παῖς ὢν ἐκ τῆς οἰκίας ἀπέδρα πρὸς Δημοκράτη τινὰ τῶν ἐραστῶν, βουλομένου δ' αὐτὸν ἀποκηρύττειν Ἀρίφρονος Περικλῆς οὐκ εἴασεν εἰπών, εἰ μὲν τέθνηκεν, ἡμέρᾳ μιᾷ διὰ τὸ κήρυγμα φανεῖσθαι

62. *φιλοίνου* F. — 63. *φιλοίνου* F. — 64. cf. fr. 138. — 65. *δημοτευόμενοι* BC. — XX. Secundum Plutarchum (cf. extrema eius verba) haec fuit orationis inscriptio: (*κατ'*) *Ἀλκιβιάδου λοιδορίαι*, et hoc praefert S.; secundum autem Athenaei codices: *κατ' Ἀλκιβ. λοιδορίας*, id quod Meiero magis placet.

πρότερον, εἰ δὲ σῶς ἐστιν, ἄσωστον αὐτῷ τὸν λοιπὸι βίον ἔσεσθαι· καὶ ὅτι τῶν ἀκολουθούντων τινὰ κτεί- νειεν ἐν τῇ Σιβυρτίου παλαίστρᾳ ξύλῳ πατάξα. ἀλλὰ τούτοις μὲν οὐκ ἄξιον ἴσως πιστεύειν, ἅ γ' ε λοιδορεῖσθαί τις αὐτῷ δι' ἔχθραν ὁμολογῶν εἶπ ν. Plut. Alcib. c. 3.

69 67. Ἐπειδὴ ἐδοκιμάσθης ὑπὸ τῶν ἐπιτρό πων, παραλαβὼν παρ' αὐτῶν τὰ σαυτοῦ χρή- ματα, ᾤχου ἀποπλέων εἰς Ἄβυδον, οὔτε χρέ ς ἴδιον σαυτοῦ πραξόμενος οὐδὲν οὔτε προξε- νίας οὐδεμιᾶς ἕνεκεν, ἀλλὰ τῇ σαυτοῦ παρι- νομίᾳ καὶ ἀκολασίᾳ τῆς γνώμης ὁμοίους ἔρ γων τρόπους μαθησόμενος παρὰ τῶν ἐν Ἀβύ δῳ γυναικῶν, ὅπως ἐν τῷ ἐπιλοίπῳ βίῳ σαυτοι ἔχοις χρῆσθαι αὐτοῖς. Ath. XII p. 525 B (Ἀ. ἐι τῷ κατ' Ἀλκιβ. λοιδορίας).

XXII XXI. ΠΡΟΟΙΜΙΑ ΚΑΙ ΕΠΙΛΟΓΟΙ.

70 68. Ἐγραψάμην ταύτην τὴν γραφὴν ἠδι- κημένος ὑπὸ τούτου νὴ Δία πολλά, ἔτι δὲ κα πλείω ὑμᾶς ᾐσθημένος ἠδικημένους καὶ τοὺ ἄλλους πολίτας. Suid. 1, 2 p. 54, 10 (Ἀ. ἐν προοι- μίοις), cf. B. A. p. 359, 6.

71 69. ἀλλ' εἰ τό τε πρᾶγμά μοι κρεῖττον φαί νεται ἅμα τε μαρτυρίας ἀκριβεῖς παρέξομαι. Suid. 1, 1 p. 255 (ἐν Προοιμίοις).

67. Saupp. fort. ἐν ταῖς κατ' Ἀλκ. λοιδορίαις restituen dum putat. — 69. τό τε Spengel. S.: τότε. μαρτυρίᾳ ἀρε- τῆς πράξομαι codd.; μαρτυρίαν ἀρετῆς παρέξομαι Bern- hardy; μαρτυρίας S., ἀκριβεῖς A. Schaeferus probante S. Se(παρέξομαι cum φαίνεται male convenit; alterutrum mutan- dum esse puto.

70. Ἀντιφῶν δὲ — τῷ μὲν μοχθηρῷ ἐχρήσατο 72 ὐκ ἐπὶ τοῦ κακοῦ ἀνδρὸς καὶ εἰςαγομένου εἰς δικα-τήριον ἵνα κατηγορηθῇ, ἀλλ' ἐπὶ πατρὸς δίκην αχόντος ὑπὲρ ἀπεσφαγμένου παιδὸς τὸν μοχθηρὸν ταξεν· καί φησιν οὕτως ἐν Προοιμίοις καὶ ἐπιλόγοις· ἀγὼ μὲν ὁ μοχθηρός, ὅντινα ἐχρῆν τεθνη-ιέναι, ζῶ τοῖς ἐχθροῖς κατάγελως. Photius p. ?78, 1; Suid. 2, 1 p. 896.

XXII. ΡΗΤΟΡΙΚΑΙ ΤΕΧΝΑΙ ΑΒΓ ΕΙ ΓΝΗΣΙΑΙ. XXIII

71. Ἀ. τε ἐν ταῖς ῥητορικαῖς τέχναις τὸ μὲν τὰ 73 ταρόντα ἔφη καὶ ὑπάρχοντα καὶ παρακείμενα αἰσθάνεσθαι κατὰ φύσιν εἶναι ἡμῖν· παρὰ φύσιν δὲ τὸ φυλάττειν αὐτῶν ἐκποδὼν γενο-μένων ἐναργῆ τὸν τύπον. Longin. Sp. Rh. Gr. I p. 318, 9.

72. σημεῖον καὶ τεκμήριον διαφέρει. Ἀ. ἐν τῇ 74 τέχνῃ τὰ μὲν παρῳχημένα σημείοις πιστοῦ-σθαι, τὰ δὲ μέλλοντα τεκμηρίοις. Ammon. π. διαφ. λέξ. p. 127 Valck. cf. Eranius Philo p. 173 Valck., qui nomen scriptoris omisit.

73. ἀστοργία, φιλοστοργία, στοργή· Ἀ. ἐν 75 δευτέρῳ π. τῆς ῥητ. τέχνης. Antiattic. B. A. p. 78, 6.

74. ἀπαρασκεύαστον· Ἀ. τρίτῳ ῥητορικῆς 76 τέχνης. Antiatt. B. A. 79, 1. ἀπαρασκεύαστον δὲ ἐν ταῖς ῥητορικαῖς τέχναις· δοκοῦσι δ' οὐ γνή-σιαι. Poll. VI § 143.

70. οὕτως Suid.: οὗτος Phot. — 71. τὸν τύπον Finckh-ius: τὸν πόθον. — 72. μὲν παρῳχημένα Eranius S.: παροιχό-μενα Ammon. — πιστοῦσθαι Eran. S.: πιστεύεσθαι Ammonius.

77 75. *ὀλιγοφιλίαν· Ἀ. τρίτῳ.* Antiattic. B. A 110, 33. *πολυφιλίαν δὲ καὶ ὀλιγοφιλίαν Ἀντιφῶν.* Poll. III § 63.

78 76. *ὅτι δὲ καὶ αὐτὸς ἕκαστος τῶν περὶ λόγους ἐχόντων ἠξίου ποιεῖν ὀνόματα καινά, δηλοῖ μὲν καὶ Ἀ. ἱκανῶς, ὅς γε ὅπως αὐτὰ ποιητέον ἐκδιδάσκει.* Galen. *ἐξήγ. τῶν Ἱπποκρ. γλωσσῶν* 19, p. 66 Kühn.

XXIII. ΑΠΑΡΑΣΗΜΑ.

137 77. *Περὶ τοῦ μὴ ἐλεεῖν ὑμᾶς ἐμὲ ἐδεήθη, δείσας μὴ ἐγὼ δάκρυσι καὶ ἱκετείαις πειρῶμαι ὑμᾶς ἀναπείθειν.* Suid. 1, 2 p. 977.

139 78. *Τοῦτο δὲ τοὺς νόμους εἰδὼς πατρίους καὶ παλαιοὺς ὄντας ὑμῖν.* Suid. 2, 2 p. 146.

142 79. *Τέως μὲν γὰρ ὁ πολὺς χρόνος τοῦ ὀλίγου πιστότερος ἦν.* Suid. 2, 2 p. 1073, 16.

B. FRAGMENTA ANTIPHONTIS SOPHISTAE.

XXVI XXIV. ΑΛΗΘΕΙΑΣ ΛΟΓΟΙ β′.

Cf. de his et de eis quae sequuntur sive orationibus seu potius libellis philosophicis Hermog. *π. ἰδεῶν* **B** p. 414 Sp. In libris *ἀληθείας*, quos cum protagoreo libro, cui inscriptum erat *Ἀλήθεια ἢ περὶ τοῦ ὄντος,*

76. Ad artem rettulit J. Jonsius. — XXIII. Huc ea tantum fragmenta rettuli, quae certis indiciis oratori Antiphonti vindicarentur; contra in quibus dubitationi locus relinqueretur glossasque omnes ad fragm. ambigua (C) reieci. — 77. *μή* ante *ἐλεεῖν* add. Bernhardy cum *V. — 79. Duo quae apud Suid. sequuntur exempla: *καὶ αὖθις· ἀποκαλύψαντες τὰ ὅπλα τέως ἐσκεπασμένα. καὶ αὖθις· καὶ διέφθειρε τοὺς τέως νενικηκότας,* non videntur Antiphontis esse (Saupp.).

ιλὰ componit Sauppius, de rerum natura sermonem
. 4 itutum fuisse ex fragmentis apparet. Atque in
 imo quidem libro generales quaestiones pertractatae
erant, alter in explicandis singulis quae in rerum na-
tura fiunt versabatur.

80. ἀδέητος ὁ μηδενὸς δεόμενος καὶ πάντα 98
ἔχων. Ἀ. ἐν α' Ἀληθείας· διὰ τοῦτο οὐδενὸς
δεῖται, οὐδὲ προςδέχεται οὐδενός τι, ἀλλ'
ἄπειρος καὶ ἀδέητος. Suid. 1, 1 p. 94; cf. Harp.
s. v. ἀδέητος; B. A. p. 341, 3; Phot.

81. μέμνημαι δὲ καὶ περὶ τοῦ τῆς γνώμης 99
ὀνόματος εἰπὼν ὡς ἐπὶ τῶν παλαιῶν ἐν ἴσῳ εἴτε τῷ
διανοίας εἴτε καὶ ἐννοήσεως ἐλέγετο· — — ὥσπερ
καὶ ὁ Ἀντ. ἐν τῷ πρώτῳ τῆς Ἀληθείας· [ἐν τῷ λόγῳ]
ταῦτα δὲ γνοὺς εἰς ἕν τι οὐδὲν αὐτῷ οὔτε ἣν
ὄψει ὁρᾷ μακρότητα οὔτε ἣν γνώμῃ γιγνώ-
σκει ὁ μακρότητα γιγνώσκων. καὶ· πᾶσι γὰρ
ἀνθρώποις ἡ γνώμη τοῦ σώματος ἡγεῖται καὶ
εἰς ὑγίειαν καὶ νόσον καὶ εἰς τὰ ἄλλα πάντα.
Galen. 18, 2 p. 656 Kühn.

82. καὶ γὰρ τὸ ῥῆμα διαθέσθαι λέγουσιν ἐπὶ 100
οῦ διοικῆσαι· Ἀ. Ἀληθείας α'· γυμνωθεῖσα δὲ
ὁρμῆς πολλὰ ἂν καὶ καλὰ κακῶς διαθεῖτο.
Harp. p. 57, 18.

80. οὐδὲ Bernhardy: οὔτε. — ἄπειρος] εὔπορος Ruhn-en., ἄπηρος ci. S. — De Deo haec dicta esse uterque su-picatur. — 81. τῆς Ἀλ. S. cum basil.: περὶ τῆς Ἀλ. — ἐν τῷ όγῳ deleri iubet S. — Fragmentum male corruptum. ταῦτα ὲ vulg., τοῦ τάδε S. cum basil. — ἕν τε codd. — οὔτε ν S.: priore loco οὐτέων codd., altero οὐτέην. — ὄψει] . frg. 35 et 174. — ὁρᾶν basil., unde S.: ὁρᾷ ὁ ὁρῶν. — αὶ· πᾶσι S.: καὶ πᾶσι. — εἰς ante τὰ add. basil. — 82. δὲ] ν B. — καλὰ om. B. — διαθοῖτο J.

101 83. *ἔμβιος*· *Ἀ. Ἀληθείας α'*· *καὶ ἡ σηπεδὼν ἀρχὴν λάβοι* τοῦ ξύλου *ἔμβιος γένοιτο*, ἀντὶ τοῦ ἐν τῷ ζῆν τι, τουτέστι ζήσειε καὶ μὴ ξηρανθείη μηδ' ἀποθάνοι. Harp. cf. Suid. — δοκεῖ δ' ἡ φύσις καὶ ἡ οὐσία τῶν φύσει ὄντων ἐνίοις εἶναι τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ ἀρρύθμιστον καθ' ἑαυτό, οἷον κλίνης φύσις τὸ ξύλον, ἀνδριάντος δ' ὁ χαλκός. σημεῖον δέ φησιν Ἀντιφῶν ὅτι εἴ τις κατορύξειε κλίνην καὶ λάβοι δύναμιν ἡ σηπεδὼν ὥστ' ἀνεῖναι βλαστόν, οὐκ ἂν γενέσθαι κλίνην ἀλλὰ ξύλον, ὡς τὸ μὲν κατὰ συμβεβηκὸς ὑπάρχον, τὴν κατὰ νόμον διάθεσιν καὶ τὴν τέχνην, τὴν δ' οὐσίαν οὖσαν ἐκείνην ἣ καὶ διαμένει ταῦτα πάσχουσα συνεχῶς. εἰ δὲ καὶ τούτων ἕκαστον πρὸς ἕτερόν τι ταὐτὸ τοῦτο πέπονθεν, οἷον ὁ μὲν χαλκὸς καὶ ὁ χρυσὸς πρὸς ὕδωρ, τὰ δ' ὀστᾶ καὶ ξύλα πρὸς γῆν, ὁμοίως δὲ καὶ τῶν ἄλλων ὁτιοῦν, ἐκεῖνα τὴν φύσιν εἶναι καὶ τὴν οὐσίαν αὐτῶν. Aristot. φυσ. ἀκρ. 2 p. 193 a 9 Bk.

102 84. *ἀναποδιζόμενα* ἀντὶ τοῦ ἐξεταζόμενα ἢ ἀντὶ τοῦ ἄνωθεν τὰ αὐτὰ πολλάκις λεγόμενα ἢ πραττόμενα Ἀ. Ἀληθείας α'. Harp. — καὶ *ἀναποδιζόμενα* δὲ Ἀ., τὰ πάλιν ἐξεταζόμενα. Poll. 2 § 19.

103 85. *ἀνήκει* παρ' Ἀ. Ἀληθείας α' ἀντὶ ἁπλοῦ τοῦ ἥκει, ἢ οἷον ἀνεβιβάσθη καὶ προελήλυθεν. Harpocr. — *ἀνήκει* Ἀ. μὲν ἀντὶ τοῦ καθήκει, Ἀμειψίας δὲ ἀνήκω ἀντὶ τοῦ ἀναβέβηκα καὶ προελήλυθα ἔφη. B. A. p. 403, 5 et Suid.

104 86. *ἄοπτα* ἀντὶ τοῦ ἀόρατα καὶ οὐκ ὀφθέντα

83. ἡ σηπεδὼν] ἡ γῆ σηπ. Harp. A; ἡ ἐμπεδὼν G. — γένοιτο om. C.

ἀλλὰ δόξαντα ὁρᾶσθαι Ἀ. Ἀληθείας α'. Harp. B. A. p. 414, 6 Suid. cf Pollux 2, 58.

87. ἀπαθῆ ἀντὶ τοῦ τὰ μὴ ὡς ἀληθῶς γεγο- 105
νότα πάθη Ἀ. Ἀληθείας α'. Harp. cf. Suid.

88. Ἀφροδίτης ἀντὶ τοῦ ἀφροδισίων. οὕτως 106
Ἀ. ἐν Ἀληθείας πρώτῳ. B. A. p. 472, 14.

89. δεήσεις ἀντὶ τοῦ ἐνδείας Ἀ. Ἀληθείας α'. 107
Harp. cf. Suid. et fr. 80.

90. ἐπαλλάξεις ἀντὶ τοῦ συναλλαγὰς ἢ μίξεις 108
Ἀ. Ἀληθείας α'. Harp. cf. Suid.

91. ὀριγνηθῆναι ἀντὶ τοῦ ἐπιθυμῆσαι Ἀ. 109
Ἀληθείας α'. Harpocr.

---

92. Ὅταν οὖν γένωνται ἐν τῷ ἀέρι ὄμβροι 110
τε καὶ πνεύματα ὑπεναντία ἀλλήλοις, τότε συστρέφεται τὸ ὕδωρ καὶ πυκνοῦται κατὰ πολλά. ὅ τι γὰρ ἂν τῶν ξυμπιπτόντων κρατηθῇ, τοῦτ' ἐπυκνώθη καὶ συνεστράφη ὑπό τε τοῦ πνεύματος εἰλούμενον καὶ ὑπὸ τῆς βίας. Galen. XVII, 1 p. 681 Kühn. (παρ' Ἀ. κατὰ τὸ δεύτερον τῆς Ἀληθείας).

93. γρυπάνιον· Ἀ. Ἀληθείας β'· καῖον γὰρ 111
τὴν γῆν καὶ συντῆκον γρυπάνιον ποιεῖ. καὶ Μελάνθιος ἐν β' Ἀτθίδος εἰπὼν σεισμὸν γεγονέναι φησὶ „καὶ ἔγρυπεν ἡ γῆ“. Harpocr. cf. Suid. E. M. p. 242, 11. — γρυπανίζειν· σείεσθαι τὴν γῆν πάλλομένην καὶ ὥσπερ ῥυσοῦσθαι ἀπὸ σεισμοῦ. οὕτως Ἀντιφῶν. E. M. p. 242, 7.

91. ὀριγνησθῆναι A. — ὅ τι S.: ὅτι. — γὰρ] δ' codd. — κρατηθῇ S.: κρατήσῃ. — 93. καίων et συντήκων DE, Suid., E. M. Subiectum sententiae τὸ πῦρ fuerit.

113 94. *διάστασις· Ἀ. Ἀληθ. β΄· περὶ τῆς νῦν κρατούσης διαστάσεως, ἀντὶ τοῦ διακοσμήσεως τῶν ὅλων.* Harp. cf. Suid. s. v. *διάστασις* et s. v. *διάθεσις* (1, 1 p. 1279), ubi in fine haec adduntur: *ἐν τῷ δευτέρῳ τῆς Ἀληθείας ὁ αὐτὸς κέχρηται αὐτῷ καὶ ἐπὶ τῆς διακοσμήσεως.* V. ad frg. 160.

114 95. *δίνῳ ἀντὶ τοῦ δινήσει Ἀ. Ἀληθείας β΄.* Harpocr. p. 53, 3.

115 96. *φορίνης· Ἀ. Ἀληθείας β΄. ὅτι καὶ ἐπ᾽ ἀνθρωπείου δέρματος ἐλέγετο ἡ φορίνη, καὶ Ἀριστομένης ἐν Γόησι δῆλον ποιεῖ.* Harp. cf. Suid. — *ὅτι γὰρ καὶ ἐπ᾽ ἀνθρώπων τάσσουσι τὴν φορίνην, δῆλον ποιεῖ Ἀ. ἐν β΄ Ἀληθείας.* Harp. p. 153, 12 cf. E. M. p. 798, 34.

116 97. *ἀειεστώ· Ἀ. τὴν ἀϊδιότητα καὶ τὸ ἐπὶ τῶν αὐτῶν ἀεὶ ἑστάναι. — — ἡ λέξις παρὰ τῷ Διογενιανῷ. ἐν Ἀληθείας δευτέρῳ.* Suid. 1, 1 p. 124, 5 cf. 1, 2 p. 22, 13 et Harp. p. 7, 1, qui extrema verba *ἡ λέξις κτέ.* omittit.

---

117 98. *κἂν Ἀντιφῶν, ἄλλος ῥήτωρ νομιζόμενος εἶναι, καὶ τὴν πρόνοιαν ἀναιρῶν ἐν τοῖς ἐπιγεγραμμένοις περὶ Ἀληθείας παραπλησίως τῇ Κέλσου ἐπιγραφῇ.* Origen. adv. Cels. vol. I p. 518 D. Delarue.

118 99. *ἄγειν· — — Ἀ. δ᾽ ἐν τῷ περὶ ἀληθείας φησί· τοὺς νόμους μεγάλους ἄγοι, ἀντὶ τοῦ ἡγοῖτο.* Harp. p. 2, 13 cf. B. A. 330, 2 Suid.

95. *δείνω — δεινήσει* vulg.; *δινῶ δινήσω* N; *δίνῳ — δινήσει* Dindorf. — 96. *φορίνης*] *φορίνη* CG. — 98. *ἀναιρῶν* Saupp., erat *ἀναίρων*. — 99. *τοὺς*] *καὶ τοὺς* K. — *μεγάλω* Suid. — *ἄγει* B. — *ἡγεῖτο* F, *ἡγεῖται* BCGH.

100. *ἄβιος· πλούσιος, ὡς Ἀ. ἐν Ἀληθείᾳ.* He- 119
sychius 1 p. 17. *ἄβιος. τὸν ἄβιον Ἀ. ἐπὶ τοῦ πολὺν βίον κεκτημένου ἔταξεν, ὡς Ὅμηρος ἄξυλον ὕλην λέγει τὴν πολύξυλον.* Harpocr. Pollux 6, 196.

101. *Ἀντιφῶν δ' ἐν τοῖς περὶ ἀληθείας καὶ ἀνάπηρα εἴρηκεν.* Poll. 2, 61.

102. *ἀπαρασκεύῳ γνώμῃ ἐν τοῖς περὶ ἀλη-* 120
θείας Ἀ. εἶπεν. Poll. 6, 143.

103. *ἅμα δὲ οὐδὲ λύειν ἅπαντα προςήκει, ἀλλ' ἢ ὅσα ἐκ τῶν ἀρχῶν τις ἐπιδεικνὺς ψεύδεται, ὅσα δὲ μή, οὔ· οἷον τὸν τετραγωνισμὸν τὸν μὲν διὰ τῶν τμημάτων γεωμετρικοῦ διαλῦσαι, τὸν δ' Ἀντιφῶντος οὐ γεωμετρικοῦ.* Aristot. *φυσ. ἀκρ.* 1 p. 185 a 17 cf. Soph. el. p. 172 a 3. — *πολλοὶ πολλαχῶς περὶ τοῦ τετραγωνισμοῦ διέλαβον — — ὁ δ' Ἀντιφῶν διὰ τῆς διχοτομίας τοῦ ἐγγεγραμμένου εἰς τὸν κύκλον τετραγώνου τῶν πλευρῶν.* Simplic. Waitz praef. ad Aristot. Org. p. 50.

104. *Ἀντιφῶν ἰδίῳ φέγγει λάμπειν τὴν σελήνην·* 121
τὸ δὲ ἀποκρυπτόμενον περὶ αὐτὴν ὑπὸ τῆς προςβολῆς τοῦ ἡλίου ἀμαυροῦσθαι, πεφυκότος τοῦ ἰσχυροτέρου πυρὸς τὸ ἀσθενέστερον ἀμαυροῦν· ὃ δὴ συμβαίνειν καὶ περὶ τὰ ἄλλα ἄστρα. Plut. mor. p. 891 D et Galen. de hist. phil. 19 p. 281 Kühn.

105. *Ἀ. δὲ (τὴν θάλασσάν φησιν εἶναι* scil.) *ἱδρῶτα θερμοῦ, ἐξ οὗ τὸ περιληφθὲν ὑγρὸν ἀπεκρίθη, τῷ καθεψηθῆναι παραλυκίσαν, ὅπερ ἐπὶ παντὸς*

103. cf. S. ad fr. 101 S. — 104. Recte et hoc frg. et id quod sequitur libro secundo Veritatis vindicat S. — *συμβαίνει τὰ περὶ* Galen. — 105. *περιλειφθὲν* Galen. — *παρακυλίσασα* Galen.; *παραλυκίσαντα* S. —

ἱδρῶτος συμβαίνειν. Plut. moral. p. 897 A et Galen. de hist. philos. 19, p. 299 Kühn.

XXV XXV. ΠΕΡΙ ΟΜΟΝΟΙΑΣ.

Cf. Philostr. V. Soph. p. 500 Ol.: *λόγοι δ' αὐτοῦ δικανικοὶ μὲν πλείους —, σοφιστικοὶ δὲ καὶ ἕτεροι μέν, σοφιστικώτατος δὲ ὁ ὑπὲρ τῆς ὁμονοίας, ἐν ᾧ γνωμολογίαι τε λαμπραὶ καὶ φιλόσοφοι σεμνή τε ἀπαγγελία καὶ ἐπηνθισμένη ποιητικοῖς ὀνόμασι καὶ τὰ ἀποτάδην ἑρμηνευόμενα παραπλήσια τῶν πεδίων τοῖς λείοις.* In hoc autem libro, sicut fragmenta docent, de moribus sophista disserebat deque vitae brevitate et aerumnis; rempublicam vero civiumque concordiam nusquam attigit.

84 106. *ἀναθέσθαι· Ἀ. ἐν τῷ περὶ ὁμονοίας· ἀναθέσθαι δὲ ὥςπερ πεττὸν τὸν βίον οὐκ ἔστιν, ἀντὶ τοῦ ἄνωθεν βιῶναι μετανοήσαντας ἐπὶ τῷ προτέρῳ βίῳ.* Harp. cf. Suid.

85 107. *διάθεσις· — — καὶ ἀντὶ τοῦ διοίκησις ὁ αὐτὸς ἐν τῷ περὶ ὁμονοίας· ἀλλὰ εἰδότες τὴν διάθεσιν ἀκούουσιν.* Harpocr. cf. Suid. p. 1279, 16.

86 108. *θεαιδέστατον· θεοῦ ἰδέαν ἔχον. εἶπε δὲ Ἀ. ἐν τῷ περὶ ὁμον. οὕτως· ἄνθρωπος, ὅς φησι μὲν πάντων θηρίων θεαιδέστατον γενέσθαι.* Photius lex. p. 81, 19. Suid. 1, 2 p. 1120, 5. E. M. p. 444, 14. Eustath. ad Hom. Il. 3, 36.

συμβαίνειν S.: *συμβαίνει.* cf. fr. 104. — 106. *προνοίας* DE et Suid. AB. — *πεττὸν τὸν*] *ἐπὶ τὸν περιττὸν* BC. — 107. *διοικήσας* A, *διοικήσεις* BJ. — 108. *θεαιδέστατος* Suid. (praeter BVE), E. M., Eustath. — *ἔχων* Suid. (praeter B m. sec.), E. M., Eustath., B. A. p. 263, 31. — *μὲν* om. Phot., E. M., Eust. — *θεαιδέστατον* S.: *θεαιδέστατος* Suid. Phot. E. M. Eustath.

109. *Πολλοὶ δ' ἔχοντες φίλους οὐ γιγνώ-* 87
σκουσιν, ἀλλ' ἑταίρους ποιοῦνται θῶπας πλούτου καὶ τύχης κόλακας. Suid. 1, 2 p. 1199, 8.

110. *ἵνα· ὅπου. Ἀ. ἐν τῷ περὶ τῆς ὁμονοίας·* 88
ὀκνεῖν, ἵνα οὐδὲν ἔργον ὀκνεῖν. Phot. p. 108, 5; Suid. 1, 2 p. 992, 9.

111. *ἀθεώρητος ἀντὶ τοῦ ἀθέατος παρ' Ἀν-* 89
τιφῶντι ἐν τῷ περὶ ὁμονοίας. Harp.

112. *ἀνδρεία ἡ τῶν ἀνδρῶν ἡλικία· Ἀ. ἐν τῷ* 90
περὶ ὁμονοίας. Harp. Suid.

113. *αὐλιζόμενοι ἀντὶ τοῦ κοιμώμενοι Ἀ. περὶ* 91
ὁμονοίας. Harp. cf. Suid. B. A. p. 463, 24.

114. *βαλβῖσιν ἀντὶ τοῦ ταῖς ἀρχαῖς· Ἀ. περὶ* 92
ὁμονοίας. Harp.

115. *εὐηνιώτατα· Ἀ. ἐν τῷ περὶ ὁμονοίας.* 93
εὐήνιος ὁ πρᾶος καὶ μέτριος καὶ μὴ ταραχώδης. Harpocr.

116. *Μακροκέφαλοι· Ἀ. ἐν τῷ περὶ ὁμονοίας.* 94
ἔθνος ἐστὶν οὕτω καλούμενον. Harp.

117. *Σκιάποδες· Ἀ. ἐν τῷ περὶ ὁμονοίας.* 95
ἔθνος ἐστὶ Λιβυκόν. Harp. Suid. Phot.

118. *ὑπὸ γῆν οἰκοῦντες· λέγοι ἂν τοὺς ὑπὸ* 96
Σκύλακος ἐν τῷ Περίπλῳ λεγομένους Τρωγλοδύτας καὶ τοὺς ὑπὸ Ἡσιόδου ἐν γ' Καταλόγου Κατουδαίους ὀνομαζομένους. Ἀ. ἐν τῷ περὶ ὁμονοίας. Harp.

119. *φηλώματα· Ἀ. ἐν τῷ π. ὁμονοίας ἐξα-* 97

109. *θῶκας* BE. comma post h. v. del. W. — 110. *ὀκνεῖν* priore loco om. Phot. — 112. *ἐν τῷ* add. Saupp. cum E. — 114. ita S.: *βαλβῖσιν ἀντὶ τοῦ ταῖς ἀρχαῖς* omisso scriptoris nomine DE Suid. E. M., *βαλβίς· Ἀ. περὶ ὁμον. ἡ ἀρχή* vulgo. — 116. *μακροκεφάλους* BC et Phot. — 119. *Ἀντιφῶν*] *ἀντὶ τοῦ* C, qui om. *ἐξαπάτας*.

πάτας· φηλοῦν γὰρ τὸ ἐξαπατᾶν. Harp. cf. Suid. Phot. Schol. Arist. Pac. 1165.

XXVI. ΠΟΛΙΤΙΚΟΣ.

Comparat Sauppius hunc librum cum Protagoreis qui fuerunt *περὶ πολιτείας* et *περὶ τῆς ἐν ἀρχῇ καταστάσεως*.

79 120. *Ὅτι δὴ τὰ πράγματα τὰ ἑαυτοῦ ἢ τὰ τῶν φίλων κατηρίστηκεν.* Ath. X p. 423 A.

80 121. *Μήτε φιλοπότην κληθῆναι καὶ δοκεῖν τὰ πράγματα καταμελεῖν ὑπὸ οἴνου ἡσσώμενον.* Prisc. 18 § 230.

81 122. *ἀπειθαρχία· Ἀ. Πολιτικῷ.* Antiatt. B. A. 78, 20.

82 123. *εὐσύμβολος ἀντὶ τοῦ ῥᾳδίως καὶ εὖ συμβάλλων, τουτέστιν ἀγαθὸς συμβάλλειν· Ἀ. Πολιτικῷ.* Harp. Suid. E. M. p. 398, 27.

83 124. *ἡμιολιασμός· Ἀ. Πολιτικῷ· διπλασιασμοῦ καὶ ἡμιολιασμοῦ ἀντὶ τοῦ τὸ ἡμιόλιον δοῦναι ἐν τοῖς λογισμοῖς.* Harp. cf. Suid. Phot. — *διπλασιασμοῦ δὲ Ἀ. εἶπεν.* Poll. 4, 164.

XXVII. ΑΠΑΡΑΣΗΜΑ.

Cum ex Hermogenis loco iure concludatur, nihil praeterea Antiphontis sophistae exstitisse orationis simile, sequitur ut haec fragmenta aut ad librum de concordia aut ad Politicum referenda sint; nam de libris *Ἀληθείας* cogitari nequit.

120. *ὅτι δὴ τὰ* Meineke: *ὅτ' ἄν τι* codd.; *ὅστις τὰ* G. Dindorf., *ὅτι τὰ* ci. Saupp. — *πράγματα*] *χρήματα* mal. Meineke. — 124. *πολιτικῶν* B, *πολικῶν* mg. B, om. D. — *ἡμιολιασμοῦ* Schneiderus Saxo S.: *ἡμιολίστου*. — *τὸ ἡμιό-*

125. *Νόσος δειλοῖσιν ἑορτή· οὐ γὰρ ἐκπο-* 125
ρεύονται ἐπὶ πρᾶξιν. Stob. floril. 8, 18.

126. *Οἱ δὲ ἐργαζόμενοι μὲν καὶ φειδό-* 126
μενοι καὶ ταλαιπωροῦντες καὶ προςτιθέντες ἥδονται, οἷα δή τις ἂν εἰκάσειεν ἥδεσθαι· ἀφαιροῦντες δὲ καὶ χρώμενοι ἀλγοῦσιν, ὥςπερ ἀπὸ τῶν σαρκῶν ἀφαιρούμενοι. Stobae. floril. 10, 40.

127. *Εἰσί τινες οἳ τον παρόντα μὲν βίον* 127
οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ, ὡς ἕτερόν τινα βίον βιωσόμενοι, οὐ τὸν παρόντα, καὶ ἐν τούτῳ παραλειπόμενος ὁ χρόνος οἴχεται. Stob. floril. 16, 19. Cf. *π. ὁμον.* frg. 106.

128. *Ἔστι δέ τις λόγος, ὡς ἄρα ἰδὼν ἀνὴρ* 128
ἄνδρα ἕτερον ἀργύριον ἀναιρούμενον πολὺ ἐδεῖτό οἱ δανεῖσαι ἐπὶ τόκῳ, ὁ δ' οὐκ ἠθέλησεν, ἀλλ' ἦν οἷος ἀπιστεῖν τε καὶ μὴ ὠφελεῖν μηδένα, φέρων δ' ἀπέθετό ποι δή· καί τις καταμαθὼν τοῦτο ποιοῦντα ὑφείλετο, ὑστέρῳ δὲ χρόνῳ ἐλθὼν οὐχ εὕρισκε τὰ χρήματα ὁ καταθέμενος. περιαλγῶν οὖν τῇ συμφορᾷ τά τε ἄλλα καὶ ὅτι οὐκ ἔχρησε τῷ δεομένῳ, ὃ ἂν αὐτῷ καὶ σῶον ἦν καὶ ἕτερον προςέφερεν, ἀπαντήσας δὴ τῷ ἀνδρὶ τῷ τότε δανειζομένῳ ἀπωλοφύρετο τὴν συμφοράν, ὅτι ἐξήμαρτε

λιον δοῦναι S.: *τῶν ἡμιολίων* A, *τὰ ἡμιόλια δοῦναι* Suid. Phot., *ἡμιόλια δοῦναι* D, *ἡμιολίων* vulg.

125. Novem priora frg. libri *π. ὁμονοίας* fuisse conicio. — 128. *ἀπαντήσας δὲ* codd.; del. *δὲ* S., *δὴ* ci. Meineke. — *ἀχαριστήσαντι*] cf. Harp. Suid. B. A. p. 473, 17: *ἀχαριστεῖν*

καὶ ὅτι οἱ μεταμέλει οὐ χαρισαμένῳ, ἀλλ' ἀχαριστήσαντι, ὡς πάντως οἱ ἀπολόμενον τὸ ἀργύριον. ὁ δ' αὐτὸν ἐκέλευε μὴ φροντίζειν, ἀλλὰ νομίζειν αὐτῷ εἶναι καὶ μὴ ἀπολωλέναι, καταθέμενον λίθον εἰς τὸ αὐτὸ χωρίον· πάντως γὰρ οὐδ' ὅτε ἦν σοι ἐχρῶ αὐτῷ, ὅθεν μηδὲ νῦν νόμιζε στέρεσθαι μηδενός. ὅτῳ γάρ τις μὴ ἐχρήσατο μηδὲ χρήσεται, ὄντος ἢ μὴ ὄντος αὐτῷ οὐδὲν οὔτε πλέον οὔτε ἔλασσον βλάπτεται. ὅταν γὰρ ὁ θεὸς μὴ παντελῶς βούληται ἀγαθὰ διδόναι ἀνδρί, χρημάτων πλοῦτον παρασχών, τοῦ φρονεῖν δὲ καλῶς πένητα ποιήσας, τὸ ἕτερον ἀφελόμενος ἑκατέρων ἀπεστέρησεν. Stob. floril. 16, 29 cf. 104, 19.

129 129. *Ὅστις δὲ ἰὼν ἐπὶ τὸν πλησίον κακῶς ποιήσων δειμαίνει, μὴ ἃ θέλει ποιῆσαι, ἁμαρτὼν τούτων, ἃ μὴ θέλει ἀπενέγκηται, σωφρονέστερος. ἐν ᾧ γὰρ δειμαίνει, μέλλει· ἐν ᾧ δὲ μέλλει, πολλάκις ὁ διὰ μέσου χρόνος ἀπέστρεψε τὸν νοῦν τῶν θελημάτων· καὶ ἐν μὲν τῷ γεγενῆσθαι οὐκ ἔνεστιν ......, ἐν δὲ τῷ μέλλειν ἐνδέχεται γενέσθαι. ὅστις δὲ δράσειν μὲν οἴεται τοὺς πέλας κακῶς, πείσεσθαι δ' οὔ, οὐ σωφρονεῖ. ἐλπίδες δ' οὐ πανταχοῦ ἀγαθόν· πολλοὺς γὰρ τοιαῦται ἐλπίδες κατέβαλον εἰς ἀνηκέστους συμφοράς, ἃ δ' ἐδόκουν*

αντὶ τοῦ μὴ χαρίζεσθαι· οὕτως Ἀντιφῶν. — *ὡς πάντως*] *καὶ πάντως* codd. — *αὐτῳ εἶναι* S.: *αὐτῷ εἶναι.* — *ὅταν*] *τῷ* A Voss. Trincav. 104; *ὅτῳ* S. — *βουλεται* S. cum 104. — *φρονεῖν δὲ καλῶς* S.: *καλῶς φρονεῖν* (*φθονεῖν* A) 104; *φρονεῖν καλῶς* vulgo. — num *ἑκάτερον*? — 129. *νοῦν* S.: *νόον.* — *οὐκ ἔνεστι μὴ γενέσθαι, ἐν δὲ κτέ* ci. S. — *πείσεσθαι δὲ οὔ, οὐ* Jacobs.

τοὺς πέλας ποιήσειν, παθόντες ταῦτα ἀνεφάνησαν αὐτοί. σωφροσύνην δὲ ἀνδρὸς οὐκ ἂν ἄλλο ὀρθότερόν τις κρίνειεν, ἢ ὅςτις τοῦ θυμοῦ ταῖς παραχρῆμα ἡδοναῖς ἐμφράσσει αὐτὸς ἑαυτὸν κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν· ὃς δὲ θέλει χαρίσασθαι τῷ θυμῷ παραχρῆμα, θέλει τὰ κακίω ἀντὶ τῶν ἀμεινόνων. Stob. floril. 20, 66.

130. Ὅςτις δὲ τῶν αἰσχρῶν ἢ τῶν κακῶν 124
μήτε ἐπεθύμησε μήτε ἥψατο, οὐκ ἔστι σώφρων· οὐ γὰρ ἔσθ' ὅπου κρατήσας αὐτὸς ἑαυτὸν κόσμιον παρέχεται. Stob. floril. 5, 53 et S. Maximus ἀπομνημ. p. 167 ed. turic.

131. Φέρε δὴ προελθέτω ὁ βίος εἰς τὸ πρό- 130
σθεν καὶ γάμων καὶ γυναικὸς ἐπιθυμησάτω. αὕτη ἡ ἡμέρα, αὕτη ἡ νὺξ καινοῦ δαίμονος ἄρχει, καινοῦ πότμου· μέγας γὰρ ἀγὼν γάμος ἀνθρώπῳ. εἰ γὰρ τύχοι μὴ ἐπιτήδεια γενόμενα, τί χρὴ τῇ συμφορᾷ χρῆσθαι; χαλεπαὶ μὲν ἐκπομπαί, τοὺς φίλους ἐχθροὺς ποιοῦσαι, ἴσα φρονοῦντας ἴσα πνέοντας, ἀξιώσαντα καὶ ἀξιωθέντα· χαλεπὸν δὲ κεκτῆσθαι κτῆμα τοι-

S.: π. δὲ μή, οὐ Gaisford., π. δι' ἃ (δ' οὐ Vindob.) codd. — τοὺς πέλας Meineke: τοῖς πέλας. — οὐκ ἂν ἄλλο S.: οὐκ ἂν ἄλλος. — τῷ θυμῷ, παραχρῆμα S.; sed cf. supra του θυμοῦ ταῖς παραχρῆμα ἡδοναῖς. Malim autem παραχρῆμα τῷ θυμῷ vel τῷ παραχρῆμα θυμῷ. — 130. ὅπου S.: ὅτου. cf. fr. 129: κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν. — 131. Ἀντιφάνους Trinc. — προελθέτω S.: προςελθέτω. — καινοῦ δαίμονος ἄρχει καινοῦ πότμου] versus anapaesticos agnosc. Gaisford et Nauck (fr. trag. adesp. 456). — τύχοι] τύχη A. — γενόμενα] γενομένη codd.; ἡ γαμουμένη et ἐπιτηδεία S.; hoc et ἡ ἀγομένη Meineke. — ποιοῦσαι] ποιῆσαι codd. — ἴσα φρονεῖν ἴσα βαίνειν nimis auda-

οὗτον, δοκοῦντα ἡδονὰς κτᾶσθαι λύπας ἄγεσθαι. φέρε δή, μὴ τὰ παλίγκοτα λέγωμεν, γενέσθω τὰ πάντων ἐπιτηδειότατα. τί γὰρ ἥδιον ἀνθρώπῳ γυναικὸς καταθυμίας; τί δὲ γλυκύτερον, ἄλλως τε καὶ νέῳ; ἐν τῷ αὐτῷ δέ γε τούτῳ, ἔνθα τὸ ἡδύ, ἔνεστι πλησίον που καὶ τὸ λυπηρόν· αἱ γὰρ ἡδοναὶ οὐκ ἐπὶ σφῶν αὐτῶν ἐμπορεύονται, ἀλλ' ἀκολουθοῦσιν αὐταῖς λῦπαι καὶ πόνοι. ἐπεὶ καὶ ὀλυμπιονῖκαι καὶ πυθιονῖκαι καὶ οἱ τοιοῦτοι ἀγῶνες καὶ σοφίαι καὶ πᾶσαι ἡδοναὶ ἐκ μεγάλων λυπημάτων ἐθέλουσι παραγίγνεσθαι· τιμαὶ γὰρ καὶ ἆθλα, δελέατα ἃ ὁ θεὸς ἔδωκεν ἀνθρώποις, μεγάλων πόνων καὶ ἱδρώτων εἰς ἀνάγκας καθιστᾶσιν. ἐγὼ γάρ, εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον οἷον ἐγὼ ἐμαυτῷ, οὐκ ἂν δυναίμην ζῆν, οὕτως ἐμαυτῷ πολλὰ πράγματα παρέχων ὑπέρ τε τῆς ὑγιείας τοῦ σώματος ὑπέρ τε τοῦ καθ' ἡμέραν βίου ἐς τὴν ξυλλογὴν ὑπέρ τε δόξης καὶ σωφροσύνης καὶ

cter S. — ἄγεσθαι] ἄδεσθαι B. — γενέσθω] λεγέσθω codd. cf. supra εἰ τύχοι μὴ ἐπιτήδεια γενόμενα. — νέα A, νέας B; unde νεάζοντι ci. Meineke. — vv. ἔνθα τὸ ἡδύ usque ad λῦπαι καὶ πόνοι exstant etiam 6, 7. — ἔνεστι] ἐστι 6. — ἐπὶ σφῶν] ἐκ σφῶν 6. — ἐκπορεύονται 6. — τιμαὶ γὰρ καὶ S.: τ. γὰρ superscripto καὶ A; om. γὰρ B, om. καὶ vulg. — δελέατα, ἃ] ἃ δελέατα ci. Meineke. — καθιστᾶσιν S.: καθιστῶσιν. — post ἐγὼ γάρ verba εἴ μοι γένοιτο usque ad ἐμαυτῷ delent S. Meineke; eidem ante οὕτως addunt μή. Sed hanc esse sententiam puto: Ego enim si mihi alterum corpus contigerit, vivere non possim, quippe qui nunc quoque tam multa mihi negotia praebeam e. q. s. Quid igitur, si, quemadmodum dixi, alterum quoque corpus mihi contigerit e. q. s. — οἷον ἐγὼ] οἷον ἔχω W. num οἷον ἔχω τὸ ἐμαυτοῦ? — ὑγείας utrobique codd. — ἐς τὴν ξυλλογήν del. S. Mein. —

εὐκλείας καὶ τοῦ εὖ ἀκούειν. τί οὖν, εἴ μοι γένοιτο σῶμα ἕτερον τοιοῦτον, ὅ γέ μοι οὕτως ἐπιμελὲς εἴη; οὐκοῦν δῆλον, ὅτι γυνὴ ἀνδρί, ἐὰν ᾖ καταθυμία, οὐδὲν ἐλάσσους τὰς φιλότητας παρέχεται καὶ τὰς ὀδύνας ἢ αὐτὸς αὑτῷ ὑπέρ τε τῆς ὑγιείας δισσῶν σωμάτων ὑπέρ τε τοῦ βίου τῆς συλλογῆς ὑπέρ τε τῆς σωφροσύνης καὶ τῆς εὐκλείας. φέρε δὴ καὶ παῖδες γενέσθωσαν· φροντίδων ἤδη πάντα πλέα καὶ ἐξοίχεται τὸ νεοτήσιον σκίρτημα ἐκ τῆς γνώμης καὶ τὸ πρόςωπον οὐκέτι τὸ αὐτό. Stob. floril. 68, 37.

132. Εὐκατηγόρητος πᾶς ὁ βίος (καὶ τῶν) 131
θαυμαστῶς ὡς μακαρίων, καὶ οὐδὲν ἔχων
περιττὸν οὐδὲ μέγα καὶ σεμνόν, ἀλλὰ πάντα
σμικρὰ καὶ ἀσθενῆ καὶ ὀλιγοχρόνια καὶ ἀναμεμιγμένα λύπαις μεγάλαις. Stob. flor. 98, 56.

133. Τὸ ζῆν ἔοικε φρουρᾷ ἐφημέρῳ, τό τε 132
μῆκος τοῦ βίου ἡμέρᾳ μιᾷ, ὡς ἔπος εἰπεῖν,
ἣν ἀναβλέψαντες πρὸς τὸ φῶς παρεγγυῶμεν
τοῖς ἐπιγιγνομένοις ἑτέροις. Stob. flor. 98, 63.

134. Πρῶτον οἶμαι τῶν ἐν ἀνθρώποις ἐστὶ 133
παίδευσις· ὅταν γάρ τις πράγματος κἂν ὁτου-

καὶ τοῦ εὖ ἀκούειν del. vult Mein. — τί οὖν] τι ἂν AB (τί οὖν ἂν W.). — εἴ μοι] εἰ μὴ AB. — ὀδύνας] ὠδῖνας B. — συλλογῆς καὶ ὑπέρ codd.; delet καὶ S. — καὶ τὸ πρόςωπον S.: om. τὸ codd. — 132. Ἀντιφάνους A. — θαυμαστῶς ὦ μακάριε codd.; θαυμαστὸν ὦ μακάριε οὐδὲν ἔχων καὶ περιττὸν ci. S.; θαυμαστῶς del. Meineke. Possis etiam: πᾶς βίος (καὶ) ὁ θαυμαστῶς ὡς μακάριος. — πάντα S.: ταῦτα. — 133. ἣν] ᾗ B, ᾗ Gaisf. — 134. τῶν ἐν ἀνθρώποις J. Pflugk S.: τῶν ἐν οὐρανοῖς. — Hoc et sequens frg. ad Po-

οὖν τὴν ἀρχὴν ὀρθῶς ποιήσηται, εἰκὸς καὶ τὴν τελευτὴν ὀρθῶς γίγνεσθαι· καὶ γὰρ τῇ γῇ οἷον ἄν τις τὸ σπέρμα ἐναρόσῃ, τοιαῦτα καὶ τὰ ἔκφορα δεῖ προσδοκᾶν, καὶ ἐν νέῳ σώματι ὅταν τις τὴν παίδευσιν γενναίαν ἐναρόσῃ, ζῇ τοῦτο καὶ θάλλει διὰ παντὸς τοῦ βίου καὶ αὐτὸ οὔτε ὄμβρος οὔτε ἀνομβρία ἀφαιρεῖται. Stob. flor. append. flor. 16, 36 (4 p. 37 Gaisf.).

134 135. Ἀναρχίας δ' οὐδὲν κάκιον ἀνθρώποις· τοῦτο γιγνώσκοντες οἱ πρόσθεν ἄνθρωποι ἀπὸ τῆς ἀρχῆς εἴθιζον τοὺς παῖδας ἄρχεσθαι καὶ τὸ κελευόμενον ποιεῖν, ἵνα μὴ ἐξανδρούμενοι εἰς μεγάλην μεταβολὴν ἰόντες ἐκπλήσσοιντο. Stob. ibid. 37.

135 136. Γηροτροφία γὰρ προσέοικε παιδοτροφίᾳ. Clem. Alex. Strom. 6 p. 265, 45 Sylb. Schol. Ar. Nub. 1417.

144 137. Οὕτω δ' οὖν τὸν Ἀντώνιον ἥρπασεν (Cleopatra) ὥστε — — μειρακίου σχολὴν ἄγοντος διατριβαῖς καὶ παιδιαῖς χρώμενον ἀναλίσκειν καὶ καθηδυπαθεῖν τὸ πολυτελέστατον, ὡς Ἀντιφῶν εἶπεν, ἀνάλωμα, τὸν χρόνον. Plutarch. Anton. c. 28.

C. FRAGMENTA AMBIGUA.

136 138. Διαλαχεῖν δὲ τὸ διανείμασθαι οἱ ῥήτορες

liticum refero; ex eoden. loco utrumque petitum esse apparet. — 135. ἀπὸ τῆς ἀρχῆς] ἀπὸ τῆς πρώτης (h. e. ἀπὸ τῆς ατης) Meineke. — Fort. autem addendum frg. Exc. Vindob. 44 (Stob. Mein. IV p. 293): Ἀντιφάνης. (Ἀντιφῶν ci. Mein.) Αἱ νέαι φιλίαι ἀναγκαῖαι μέν, αἱ δὲ παλαιαὶ ἀναγκαιότεραι.

εἰρήκασι. Ἀντιφῶν· ὁπότ' ἄνθρωποι βούλοιντο χρήματα διαλαγχάνειν. Suid. 1, 1 p. 611, 16.

139. Κακὸς δ' ἀεὶ ἐπ' ἀποῦσι μὲν καὶ μέλ- 138
λουσι τοῖς κινδύνοις τῇ γλώττῃ θρασύνεται καὶ τῷ θέλειν ἐπείγει, τὸ δ' ἔργον ἂν παρῇ, ὀκνεῖ. Suid. 2, 1 p. 1074, 19.

140. Κλαζομένιον (σχῆμα scil.) ὡς τὸ πορεύομαι 140
σὺν ἀγῶνι ἀντὶ τοῦ εἰς ἀγῶνα. — — ὡς τὸ σὺν πατρίδι ἔβη ἀντὶ τοῦ εἰς τὴν πατρίδα· οὕτως Ἀντιφῶν. Lesbonax π. σχημ. p. 180 Valck.

---

141. ἀγλωττίαν δὲ Ἀ. εἴρηκεν. Poll. 2, 109.

142. Ἀ. δὲ ἐπὶ τούτου (ἀγνοίας) καὶ ἀγνωμο- 145
σύνην λέγει. Poll. 4, 9. — ἀγνοῶν· Ἀ. δὲ καὶ ἀγνώμων λέγει. id. 5, 145.

143. ἀδυναμία ἐρεῖς ὡς Δημοσθένης, καὶ ἀδυ- 146
νασία ὡς Ἀντ. καὶ Θουκυδίδης. B. A. p. 345, 26.

144. ἀδιάστατον τὸ μήπω διεστηκὸς μηδὲ δια- 147
κεκριμένον Ἀ. εἶπεν. Harp. Suid. B. A. 341, 27.

145. ἀθυμοῦσιν ὡς Ἀντιφῶν. Poll. 2, 230. 148

146. ἀκαρῆ ἀντὶ τοῦ μικρὸν ἢ οὐδὲν παρ' 149
Ἀντιφῶντι. Harpocr. Suid. B. A. p. 363, 31.

138. ὁπότ' Bernhardy S.: ὁπόταν. — διαλαχεῖν S. — cf. fr. 64. — 139. κακὸς AB, κακῶς cett., κακῶν cum Hermanno S. — ἀεὶ ἐπ'] ἂν εἰ codd.; ἀεὶ Gaisford.; οὖν, ἐν Hermann.; ἂν εἴη ἐπ' Saupp. — θρασύνεσθαι cum Hermann. S. — ἐπείγειν codd. S., καὶ ἐπ. Hermann. — ὀκνεῖν ABE et cum Hermann. S. — 140. ἔβη Salmas. S.: ἔση. — 143. ἀδυναμία habet Antiphon or. 5, 2, ubi ἀδυνασία postulat Sauppius. — 144. ad libros π. Ἀληθείας suo iure refert Saupp., coll. fr. 94. — 146. ἀκαρῆ S. cum N et rc. E (pr. enim ἀκαρ....): ἀκαρεί cett., ἀκαρ Suid. et Anecd.

150 147. *ἀκόλουθα* Ἀ. *τὰ ἑπόμενα καὶ σύμφωνα.* B. A. p. 367, 31.

151 148. *καὶ ἄμβλωμα, ὡς* Ἀ. Poll. 2, 7.

152 149. Ἀ. *δὲ ἀντιλογούμενοι.* Poll. 2, 120.

153 150. *ἀπάλαμνον, ἀμήχανον· οὕτως* Ἀ. B. A. p. 418, 6.

154 151. Ἀ. *δὲ ἀπαρτιλογία, ὥςπερ καὶ Ἡρόδοτος.* Poll. 2, 120. sed Harp.: *ἀπαρτ. Λυσίας ἐν τῷ πρὸς Ἀρέσανδρον καὶ Ἡρόδοτος ἀντὶ τοῦ ἀπηρτισμένος καὶ πλήρης ἀριθμός.* cf. Suid. s. v. *ἀπαρτίαν* B. A. p. 416, 20.

155 152. *ἀπεγένετο ἀντὶ τοῦ ἀπέθανεν. οὕτως* Ἀ. *καὶ Θουκυδίδης.* B. A. 419, 18. Suid. 1, 1 p. 537, 9.

156 153. *ἀπελύθη, ὡς Ἀντιφῶν.* Poll. 8, 68.

154. *ἀπόκρισις ἡ ἀπολογία· οὕτω Λυσίας καὶ Ἀντιφῶν.* Suid. 1, 1 p. 609, 13. B. A. 429, 18.

145 155. *ἀχαριστία, ἀδικία, ἀγνωμοσύνη, καὶ ὡς* Ἀ. *ἀποστέρησις.* Poll. 5, 141.

160 156. *ἀφήκοντος·* Ἀ. *ἀντὶ τοῦ διήκοντος.* B. A. p. 470, 25.

161 157. *βάσανος· Ἀντιφῶν. λίθος οὕτω καλεῖται,*

149. „ad ll. *ἀληθείας* retulerim" S. — 153. *ἀπελογήθη*, cum praecedat *ἀπελογήσατο*, ci. Saupp., coll. 2, 119 Antiph. 2 γ 1. Sed sequuntur *ἀπέφυγεν, ἀπελύσατο τὰς αἰτίας*; itaque incerta res. — 154. Glossa ex Harpocr. petita, qui om. *καὶ Ἀντιφῶν.* — Addit S. fr. 157: *ἀποδικεῖν ἀντὶ τοῦ ἀπολογεῖσθαι· οὕτως Ἀντιφῶν* (B. A. 427, 9 Suid.; sed ubique *Ἀντιφάνης* scriptum reperitur); porro 158: *ἀπόψηφοι ἐγένοντο τοῦ ἀποκτεῖναι· σημαίνει τὸ οἷον οὐκ ἤνεγκαν ψῆφον. τὸ ἀτίμως* (*Ἀντιφῶν* ci. S.) *χρῶ πανταχοῦ* (Phrynich. B. A. 9, 21), et 159: *ἀρρησία παρὰ Ἀντιφῶντι* (ita cod. A, sed ceteri Bekkeri *Νικοφῶντι*) *ἡ σιωπή* (Poll. 2, 128).

ᾗ τὸ χρυσίον παρατριβόμενον δοκιμάζεται. Harp. Suid.

158. Ἀ. δὲ βάψιν χαλκοῦ καὶ σιδήρου. 162
Poll. 7, 169.

159. βιομήχανοι ὡς Ἀ. Poll. 7, 189. 163

160 Ἀ. δὲ τῇ διαθέσει ἐχρήσατο ἐπὶ γνώμης 165
ἢ διανοίας. ὁ αὐτὸς καὶ ἐπὶ τοῦ διαθεῖναι λόγον, τουτέστιν ἐπὶ τοῦ ἐξαγγεῖλαί τι. Suid. 1, 1 p. 1279; Ulpian. ad Dem. 2, 16.

161. καὶ διοπτεύειν Κριτίας καὶ Ἀντιφῶν, 165a
Ἀντιφῶν δὲ καὶ εἴσοπτοι. Poll. 2, 58.

162. δοκησίσοφος, ὡς Ἀ. εἶπεν. Poll. 4, 9.

163. δυσάνιος· Ἀντιφῶν. ὁ ἐπὶ παντὶ ἀνιώ- 166
μενος, κἂν μικρὸν καὶ εὐκαταφρόνητον ᾖ. Harp. Suid.

164. εἰσφρήσειν εἰσάξειν, εἰσδέξεσθαι· Ἀ. καὶ 167
Δημοσθένης ἐν Φιλιππικῷ. Harp.

165. ἐμβραχεῖ ἀντὶ τοῦ ἁπλῶς καὶ ἐν κεφα- 168
λαίῳ Ἀ. Harpocr. Suid.

166. καὶ ἐν ταῖς σιτοδοσίαις ἐγίγνοντο σίτου 169
ἐπιγραφεῖς, ὡς Ἀ. Poll. 8, 103.

167. Ἀ. δὲ ἐπιθύμημα. Poll. 6, 183. 170

168. ὡς Ἀ. ἐπινόημα. Poll. 2, 228. 171

169. κακόνους ὡς Ἀ. Poll. 6, 169. 173

159. βιομηχανία vulgo ante Bk. — fr. 164 S. (e Poll. 2, 129) post Bekkeri curas iam evanuit. — 160. Sequitur ap. Suid.: ἐν τῷ δευτέρῳ τῆς Ἀληθείας ὁ αὐτὸς κτέ. (v. fr. 94). S. verba ἐν τῷ δευτέρῳ τ. Ἀ., sicuti exstat ap. Ulp., cum prioribus coniungit, novum inde frg. libro secundo de Veritate vindicans. — 165. ἐμβραχεῖ S., postulante ordine litterarum; erat ἐν βραχεῖ. — fr. 172 S. ex eisdem rationibus atque 164 delendum erat.

174 170. *τὸ δὲ λιθοκόπος ἀδόκιμον, εἰ καὶ Ἀ. λέγει.* Thom. Mag. p. 221, 7 R. — *λιθουργοὺς Θουκυδίδης, λιθοκόπους Ἀ.* Moeris.

175 171. *μεθέορτοι ἡμέραι κατὰ Ἀντιφῶντα.* Poll. 1, 34.

176 172. *καὶ ὡς Ἀ. ἡδυλόγος καὶ μετριολόγος.* Poll. 2, 123.

177 173. *παρὰ δὲ Ἀντιφῶντι μόνῳ ὀδμὰς καὶ εὐοδμίαν εὕροι τις ἄν.* Poll. 2, 76.

178 174. *Ἀ. δὲ καὶ τὸ ὀψόμενον εἶπε.* Poll. 2, 57.

141 175. *Ἀ. δὲ καὶ ἐξεληλάσθαι πανοικεσίᾳ ἔφη.* Poll. 2, 163.

179 176. *ὁ τῶν ναυτῶν ἄρχων, ὁ ἐπὶ τοῖς οἴαξιν ἑστώς, καὶ κατ' Ἀντιφῶντα ὁ ποδοχῶν, ἢ μᾶλλον κατ' ἐμὲ ὁ ποδηγῶν.* Poll. 1, 98.

180 177. *καὶ πολιτοκοπεῖν παρ' Ἀντιφῶντι.* Poll. 9, 26.

182 178. *καὶ συμμετρίας Ἀ. — καὶ δυςμέτρητον Ἀ.* Poll. 4, 167.

183 179. *ἡ μὲν γὰρ Ἀντιφῶντος ταλάντωσις τὸ βάρος δηλοῖ.* Poll. 9, 53.

172. *ἡδυλόγως — μετριολόγως* cod. Jungermanni. — 173. *ὀδμ.* et *εὐοδμ.* restit. L. Dindorf., erat *ὀσμὰς* et *εὐοσμίαν.* — 174. *ὀψόμενον* Bk., *ὀψόμενος* S. Quae apud Pollucem adduntur: *τῇ ὄψει, ὀπτήρ, ἄοπτα,* ea reperiuntur frg. 35; or. 5, 27, fr. 86. — 175. *ἐξεληλάσθαι* S.: *ἐξαλᾶσθαι* Bk. — fr. 181 Saupp. (*προδικασίας*) exstat or. 6, 42. — fr. 186: *τρίτῳ καὶ τετάρτῳ ἔτει· ἀντὶ τοῦ πρὸ τριῶν καὶ τεττάρων ἐτῶν· οὕτως Ἀντιφῶν* (Phot. 605, 23) ap. Suidam Antiphani tribuitur, idemque nomen corrector antiquus Photio restituit. Sane si ipsa verba scriptoris afferri statuendum esset, Antiphonti, non Antiphani poëtae frg. vindicari deberet.

180. *τελεσθῆναι τὸ ἀναλωθῆναι· οὕτως Ἀ.* 184
Phot. p. 574, 13. B. A. 114, 28. Suid. 2, 2 p. 1061, 2.

181. *τίμιον ἀντὶ τοῦ ἔντιμον· οὕτως Ἀ.* Phot. 185
590, 11.

182. *καὶ ὡς Ἀ. φιλοχρηματεῖν.* Poll. 3, 113. 143

183. *χρημάτων· — κεῖται δὲ ἡ λέξις καὶ ἐπὶ* 187
πράγματος ἢ προςώπου ἢ λόγου, ὡς Ἀντιφῶν. Suid. 2, 2 p. 1669, 3.

ΓΟΡΓΙΟΥ ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

Κόσμος πόλει μὲν εὐανδρία, σώματι δὲ κάλλος, 1
ψυχῇ δὲ σοφία, πράγματι δὲ ἀρετή, λόγῳ δὲ ἀλή- 679 Bk.
θεια· τὰ δ' ἐναντία τούτων ἀκοσμία. ἄνδρα δὲ καὶ

182. *φιλοχρ.* Bk., *μὴ φιλοχρ.* S.

Sauppii exemplum in hoc quoque secutus sum, quod ea fragmenta in ordinem non recepi, quae vel ad artem medicam spectarent (Poll. 2, 41. 215. 223. 224) vel ad agriculturam (*Ἀ. περὶ γεωργικῶν*, Ath. XIV p. 650 E) vel denique ad librum *περὶ κρίσεως ὀνείρων*; haec enim cum oratore nullam communionem habent neque inter eius opera antiquitus exstabant. Nisi quod id sane pro certo affirmari nequit, fragmenta illa apud Pollucem in libris de Veritate nullum locum habuisse; nempe sicut Plato in Timaeo, ita Antiphon quoque corporis humani partes in tali libro describere potuit. Quod autem Sauppius Ruhnkenium secutus e peculiari libro qui inscriptus erat: *σύνοψις τῶν κατ' ἄνθρωπον*, haec fragmenta petita dicit, ea res dubitationi maxime obnoxia est. Leguntur Ruhnkenio teste in Pollucis codice Antwerpiensi II, 224 post verba *Ἀντιφῶν δὲ αὐτὸν καὶ ἀρρενικῶς καὶ οὐδετέρως καλεῖ*, addita haec: *ἐν τωνθα σύνοψις τῶν κατ' ἄνθρωπον*, h. e. *ἐνταῦθα σύν. κτἑ.* Quae cum prope finem descriptionis quam corporis humani exhibet Pollux adscripta sint, vereor ne ad hanc potius referre debeamus.

ΓΟΡΓΙΟΥ ΕΛΕΝΗΣ ΕΓΚΩΜΙΟΝ.

Codd. Bekkeri A B C E H J K M N R V W X Y, quibus accedunt Paris. 2955 (a) et Mosquensis (b).

γυναῖκα καὶ λόγον καὶ ἔργον καὶ πόλιν καὶ πρᾶγμα
680 χρὴ τὸ μὲν | ἄξιον ἐπαίνου ἐπαίνῳ τιμᾶν, τῷ δὲ
ἀναξίῳ μῶμον ἐπιθεῖναι· ἴση γὰρ ἁμαρτία καὶ ἀμα-
θία μέμφεσθαί τε τὰ ἐπαινετὰ καὶ ἐπαινεῖν τὰ μω-
2 μητά. τοῦ δ' αὐτοῦ ἀνδρὸς λέξαι τε τὸ δέον ὀρθῶς
καὶ ἐλέγξαι . . . . . . (ἐλέγξαι) τοὺς μεμφομένους Ἑλέ-
νην, γυναῖκα περὶ ἧς ὁμόφωνος καὶ ὁμόψηφος γέγο-
νεν ἥ τε τῶν ποιητῶν . . . . (ἥ τε τῶν) ἀκουσάντων
πίστις, ἥ τε τοῦ ὀνόματος φήμη τῶν συμφορῶν
μνήμη γέγονεν. ἐγὼ δὲ βούλομαι λογισμόν τινα τῷ
λόγῳ δοὺς τὴν μὲν κακῶς ἀκούουσαν παῦσαι τῆς
αἰτίας, τοὺς δὲ μεμφομένους ψευδομένους ἐπιδείξας
καὶ δείξας τἀληθὲς παῦσαι τῆς ἀμαθίας.
3 Ὅτι μὲν οὖν φύσει καὶ γένει τὰ πρῶτα τῶν
πρώτων ἀνδρῶν τε καὶ γυναικῶν ἡ γυνὴ περὶ ἧς
ὅδε ὁ λόγος, οὐκ ἄδηλον οὐδ' ὀλίγοις. δῆλον γὰρ
ὡς μητρὸς μὲν Λήδας, πατρὸς δὲ τοῦ μὲν γενομένου
θεοῦ, τοῦ δὲ λεγομένου θνητοῦ, Τυνδάρεω καὶ

1. ἐπαίνου ἐπαίνῳ AB Bk.: ἐπαίνων. — ἐπιτιθέναι CEJKMNXb et v. ante Bk. — μέμφεσθαι] μωμᾶσθαι W.

2. lacunam post ἐλέγξαι vidit Dobr., qui addit τὸ ψεῦδος . . . . (τὸ ἄδικον ὁσίως add. W.). Post ἀνδρὸς in M lacuna est duorum vel trium vocabulorum. — ὁμόφωνος καὶ ὁμόψυχος AB: ὁμόψυχος καὶ ὁμόφωνος, sed pro ὁμόψυχος ὁμόψηφος EJKMb (N et X corr.) Ald.; ὁμοφ. καὶ ὁμόψηφος Bk. — γέγονεν post ὁμόψ. om. EJNW Ald. (S.). — ἀκουσάντων] ἁπάντων S. sine lacuna. — φήμη ὃ τῶν κτἕ. AB; φ. γέγονεν ἥ τε τῶν S., omittens γέγονεν in fine sententiae. — ἀκούουσαν] ἀκούσασαν JRVYa. — ἐπιδείξας καὶ δείξας scripsi: ἐπιδεῖξαι καὶ δεῖξαι. — παῦσαι] ἢ π. ABCEHKNRVXYa Bk. S.; καὶ παῦσαι cett.

3. τε post ἀνδρῶν add. H. — οὐκ ἄδ. οὐδ' ὀλίγοις δῆλον [γὰρ] ὡς vel οὐκ ἄδ. οὐδ' ὀλίγοις δῆλον. δῆλον γὰρ ὡς ci. R. — τοῦ δὲ λεγομ.] λεγομ. δὲ AB S. num autem τοῦ μὲν λεγομ. θνητοῦ, τοῦ δὲ γενομένου θεοῦ? pro τοῦ δὲ λεγ. habent τοῦ δὲ γεν. RY. —

Διός, ὧν ὁ μὲν διὰ τὸ φάναι ἔδοξεν, ὁ δὲ διὰ τὸ
εἶναι ἠλέγχθη, καὶ ἦν ὁ μὲν ἀνδρῶν κράτιστος, ὁ
δὲ πάντων τύραννος. ἐκ τοιούτων δὲ γενομένη ἔσχε 4
τὸ ἰσόθεον κάλλος, ὃ λαβοῦσα [καὶ] οὐ λαθοῦσα
ἔσχε, πλείστας δὲ πλείστοις ἐπιθυμίας ἔρωτος ἐνειρ-
γάσατο, ἑνὶ δὲ σώματι πολλὰ σώματα συνήγαγεν
ἀνδρῶν ἐπὶ μεγάλοις μεγάλα φρονούντων, ὧν οἱ
μὲν πλούτου μεγέθη, οἱ δὲ εὐγενείας παλαιᾶς εὐδο-
ξίαν, οἱ δὲ ἀλκῆς οἰκείας εὐεξίαν, οἱ δὲ σοφίας ἐπι-
κτήτου δύναμιν ἔσχον, καὶ ἧκον ἅπαντες ὑπ' ἔρω-
τός τε φιλονίκου φιλοτιμίας τε ἀνικήτου. ὅςτις μὲν 5
οὖν καὶ δι' ὅ τι καὶ ὅπως ἀπέπλησε τὸν ἔρωτα τὴν
Ἑλένην λαβών, οὐ λέξω· τὸ γὰρ τοῖς εἰδόσιν ἃ ἴσασι
λέγειν πίστιν μὲν ἔχει, τέρψιν δὲ οὐ φέρει. τὸν
χρόνον δὲ τῷ λόγῳ τὸν τότε (τῷ) νῦν ὑπερβὰς ἐπὶ
τὴν ἀρχὴν τοῦ μέλλοντος λόγου προβήσομαι, καὶ
προθήσομαι τὰς αἰτίας δι' ἃς εἰκὸς ἦν γενέσθαι τὸν
τῆς Ἑλένης εἰς τὴν Τροίαν στόλον.

Ἢ γὰρ τύχης βουλήμασι καὶ θεῶν βουλεύμασι 6
καὶ ἀνάγκης ψηφίσμασιν | ἔπραξεν ἃ ἔπραξεν, ἢ 681
βίᾳ ἁρπασθεῖσα, ἢ λόγοις πεισθεῖσα, ἢ ἔρωτι ἁλοῦσα.
Εἰ μὲν οὖν διὰ τὸ πρῶτον, οὐκ ἄξιος αἰτιᾶσθαι ὁ
αἰτιώμενος· θεοῦ γὰρ προθυμίαν ἀνθρωπίνῃ προ-

φάναι ἔδοξεν et εἶναι ἠλ. ci. S.: εἶναι ἔδ. et φάναι (φῦναι J Ald.; φανῆναι HV) ἠλ. (ἐλέχθη N corr.).

4. καὶ post λαβοῦσα del. S. — μεγάλα] μέγα AB Bk. S. — οἰκείας] ἰδίας AB. — φιλονίκου Bait.: φιλονείκου.

5. ἃ ἴσασι] καὶ ἴσ. AB. — λόγου] χρόνου K. — προσθήσομαι C. — γεγενέσθαι Y.

6. βουλήμασι ABK S.: βουλήματι. — βουλεύμασι AB S.: κελεύσματι. — ψηφίσμασιν AB S.: ψηφίσματι. — ἢ ἔρωτι ἁλοῦσα add. mg. Y Bk. — οὐκ ἄξιος C Bk.: ἄξιος. —

μηθείᾳ ἀδύνατον κωλύειν. πέφυκε γὰρ οὐ τὸ κρεῖσσον ὑπὸ τοῦ ἥσσονος κωλύεσθαι, ἀλλὰ τὸ ἧσσον ὑπὸ τοῦ κρείσσονος ἄρχεσθαί τε καὶ ἄγεσθαι, καὶ τὸ μὲν κρεῖσσον ἡγεῖσθαι, τὸ δὲ ἧσσον ἕπεσθαι. θεὸς δ᾽ ἀνθρώπου κρεῖσσον καὶ βίᾳ καὶ σοφίᾳ καὶ τοῖς ἄλλοις. εἰ οὖν τῇ τύχῃ καὶ τῷ θεῷ τὴν αἰτίαν ἀναθετέον, τὴν Ἑλένην τῆς δυσκλείας ἀπολυτέον.

7 Εἰ δὲ βίᾳ ἡρπάσθη καὶ ἀνόμως ἐβιάσθη καὶ ἀδίκως ὑβρίσθη, δῆλον ὅτι ὁ (μὲν) ἁρπάσας ὡς ὑβρίσας ἠδίκησεν, ἡ δὲ ἁρπασθεῖσα ὡς ὑβρισθεῖσα ἐδυστύχησεν. ἄξιος οὖν ὁ μὲν ἐπιχειρήσας βάρβαρος βάρβαρον ἐπιχείρημα καὶ λόγῳ καὶ νόμῳ καὶ ἔργῳ λόγῳ μὲν αἰτίας, νόμῳ δ᾽ ἀτιμίας, ἔργῳ δὲ ζημίας τυχεῖν· ἡ δὲ βιασθεῖσα καὶ τῆς πατρίδος στερηθεῖσα καὶ τῶν φίλων ὀρφανισθεῖσα πῶς οὐκ ἂν εἰκότως ἐλεηθείη μᾶλλον ἢ κακολογηθείη; ὁ μὲν γὰρ ἔδρασε δεινά, ἡ δὲ ἔπαθεν· δίκαιον οὖν τὴν μὲν οἰκτεῖραι, τὸν δὲ μισῆσαι.

8 Εἰ δὲ λόγος ἦν ὁ πείσας καὶ τὴν ψυχὴν ἀπατήσας, οὐδὲ πρὸς τοῦτο χαλεπὸν ἀπολογήσασθαι καὶ τὴν αἰτίαν ἀπολύσασθαι ὧδε. λόγος δυνάστης μέγας ἐστίν, ὃς σμικροτάτῳ τῷ σώματι καὶ ἀφανεστάτῳ

τὸ ἧσσον] τὸ ἴσον B, τὸ ἴσον A. — ἄρχεσθαί τε HW: ἄρχεσθαι. — τὸ δὲ ἧσσον] τὸ δὲ ἴσον AB. — θεοὶ et κρείσσονες RYa (illud etiam CEHKb). — εἰ οὖν ci. R. Dobr. (S.): ἢ οὖν. — τὴν Ἑλ. Dobr. S.: ἢ τὴν Ἑλ. (καὶ τ. Ἑ. R.). — τῷ θεῷ] τῇ θεῷ EHKMNRVW. — 7. ὡς ὑβρισθεῖσα ABH́RVẂY: καὶ ὑβρισθεῖσα. quare et ὡς ὑβρίσας scripsi pro καὶ ὑβρ. cf. § 12. — ἐδυστύχη σεν] ἠδίκηται Ya. — λόγῳ καὶ νόμῳ AB S.: νόμῳ καὶ λόγῳ. — λόγῳ μὲν αἰτίας νόμῳ δ᾽ ἀτιμ. AB S.: νόμῳ μὲν ἀτιμ. λόγῳ δ᾽ αἰτίας. — ἡ δὲ ἔπαθεν (ἐλεεινά) ci. W. — οἰκτείρειν ABEHKMNXb.

8. λόγος ἦν ὁ Ald.: om. ἦν codd. Bk. cf. § 15. — σμικροτάτῳ ABCHX: μικροτάτῳ. — τῷ σώματι HW: σώματι. —

θειότατα ἔργα ἀποτελεῖ· δύναται γὰρ καὶ φόβον
παῦσαι καὶ λύπην ἀφελεῖν καὶ χαρὰν ἐνεργάσασθαι
καὶ ἔλεον ἐπαυξῆσαι. ταῦτα δὲ ὡς οὕτως ἔχει δείξω· 9
δεῖ δὲ καὶ δεῖξαι καὶ δόξαι τοῖς ἀκούουσιν. τὴν
ποίησιν ἅπασαν καὶ νομίζω καὶ ὀνομάζω λόγον ἔχοντα
μέτρον· ἧς τοὺς ἀκούοντας εἰςῆλθε καὶ φρίκη περί-
φοβος καὶ ἔλεος πολύδακρυς καὶ πόθος φιλοπενθής,
ἐπ᾽ ἀλλοτρίων τε πραγμάτων καὶ σωμάτων εὐπρα-
γίαις καὶ δυςπραγίαις ἴδιόν τι πάθημα διὰ τῶν λόγων
ἔπαθεν ἡ ψυχή. φέρε δὴ πρὸς ἄλλον ἀπ᾽ ἄλλου μετα-
στῶ | λόγον. αἱ γὰρ ἔνθεοι διὰ λόγων ἐπῳδαὶ ἐπα- 10
γωγοὶ ἡδονῆς, ἀπαγωγοὶ λύπης γίγνονται· συγγιγνο- 682
μένη γὰρ τῇ δόξῃ τῆς ψυχῆς ἡ δύναμις τῆς ἐπῳδῆς
ἔθελξε καὶ ἔπεισε καὶ μετέστησεν αὐτὴν γοητείᾳ.
γοητείας δὲ καὶ μαγείας δισσαὶ τέχναι εὕρηνται, αἵ
εἰσι ψυχῆς ἁμαρτήματα καὶ δόξης ἀπατήματα. ὅσοι 11
δὲ ὅσους περὶ ὅσων καὶ ἔπεισαν καὶ πείσουσι δὲ
ψευδῆ λόγον πλάσαντες! εἰ μὲν γὰρ πάντες περὶ
πάντων εἶχον τῶν (τε) παροιχομένων μνήμην τῶν τε
παρόντων (ἔννοιαν) τῶν τε μελλόντων πρόνοιαν, οὐκ
ἂν ὁμοίως ὅμοιος ὢν ὁ λόγος ἠπάτα· νῦν δὲ οὔτε

ἐργάσασθαι C. — num ἔλεον (κινῆσαι καὶ θάρσος) ἐπαυξῆσαι? τὸ θαρσαλέον ἐπαυξ. ci. W.

9. καὶ δεῖξαι καὶ δόξαι] καὶ δόξῃ (καὶ δόξω C, om. δ. Ya) δεῖξαι. — ἧς τοὺς] ἢ ὡς ABKRVW. — καὶ φρίκη] καὶ om. RY. — πόθος add. AB: ζῆλος CYa, φίλος EHJKMNb. — φιλοπαθής Ra, ζηλοπαθής Y. — εὐτυχίαις καὶ δυςπραγίαις AB Bk.; εὐτυχίας καὶ δυςπραγίας v.

10. ἐπῳδαὶ AB Bk.: ἡδοναί. — μὲν et δὲ post ἐπαγωγοὶ et ἀπαγωγοὶ cum codd. om. Bk. — αὐτὴν add. AB Bk. — γοητείᾳ num delendum? nam ab ἐπῳδαῖς hic γοητεία et μαγεία discernuntur.

11. πείσουσι scripsi: πείθουσι. — ἔννοιαν add. Reisk. — ὅμοιος ὢν] ὅμοιος ἦν AB S. (δεινὸς ἦν ci. S.). — ἠπάτα·

μνησθῆναι τὸ παροιχόμενον οὔτε σκέψασθαι το παρον
οὔτε μαντεύσασθαι τὸ μέλλον εὐπόρως ἔχει, ὥςτε
περὶ τῶν πλείστων οἱ πλεῖστοι τὴν δόξαν σύμβουλον
τῇ ψυχῇ παρέχονται. ἡ δὲ δόξα σφαλερὰ καὶ ἀβέ-
βαιος οὖσα σφαλεραῖς καὶ ἀβεβαίοις τύχαις περι-
12 βάλλει τοὺς αὐτῇ χρωμένους. τίς οὖν αἰτία κωλύει
καὶ τὴν Ἑλένην ὁμοίως ἄνουν (γε καὶ) νέαν οὖσαν
λόγον ἐλθόντα ὡςπερεὶ βιαστήριον βίᾳ ἁρπάσαι; τὸ
γὰρ τῆς πειθοῦς εἶδος ἔσχε μὲν τοὔνομα ἐναντίον
τῇ ἀνάγκῃ, τὴν δὲ δύναμιν τὴν αὐτὴν ἔχει. λό-
γος γὰρ ψυχὴν ὁ πείσας, ἣν ἔπεισεν, ἠνάγκασε καὶ
πείθεσθαι τοῖς λεγομένοις καὶ συναινέσαι τοῖς ποι-
ουμένοις. ὁ μὲν οὖν πείσας ὡς ἀναγκάσας ἀδικεῖ,
ἡ δὲ πεισθεῖσα ὡς ἀναγκασθεῖσα τῷ λόγῳ μάτην
13 ἀκούει κακῶς. ὅτι δ' ἡ πειθὼ προςιοῦσα τῷ λόγῳ
τὴν ψυχήν ἐτυπώσατο ὅπως ἐβούλετο, χρὴ μα-

νῦν δὲ scripsi: ἢ τὰ ν. γε MN, εἶτα ν. γε post versum dimidium vacuum C, ῃ τὰ ν. γε v. (ἐπεὶ τὰ νῦν γε S.). — τύχαις scripsi: ἀτυχίαις.

12. Libri: τίς οὖν αἰτία κωλύει καὶ (om. καὶ H) τὴν Ἑ. ὕμνος ἦλθεν (Ἑλ. λόγον ἐλθόντα C) ὁμοίως ἄνουν νέαν (ita C: ceteri plerique alterum ν post ου om.) ὡςπερεὶ βιατήριον (βιαστ. M, βατ. HW) βίᾳ ἡρπάσθη (ἁρπάσαι C, παρῆλθε E). Ὕμνος dittographiam vocabuli ὁμοίως puto, indicantem ὁμοίως primitus statim post Ἑλ. subsecutum esse. — Deinde libri: τὸ γὰρ τῆς πειθοῦς ἕξειν (ἐξῆν AB, ἔσχεν C) ὁ δὲ (δὲ om. C) νοῦς. καίτοι εἰ (ἡ EHRYa, ῃ VW) ἀνάγκη (μὲν add. RYa) ὄνειδος (ὁ εἰδὼς AB) ἕξει μὲν οὖν (οὔ CE; post hoc voc. C habet lacunam litterarum VIII) τὴν δὲ δύναμιν κτἑ. Haec antiquitus ita scripta fuisse puto: τὸ γὰρ τῆς πειθοῦς ἕξειν ὁ δὲ νοῦς καίτοι εἰ ἀνάγκῃ, τὴν δὲ κτἑ. (supra: ὄνειδος ἕξει μὲν οὖν) — γὰρ ψυχὴν AB: γὰρ τὴν ψυχὴν. — ἣν Y Bk.: ἦν. — ἀναγκ. τῷ λόγῳ] τῷ add. AB Bk.

13. καὶ τὴν ψυχὴν v.; καὶ om. C. —

θεῖν πρῶτον μὲν τοὺς τῶν μετεωρολόγων λόγους,
οἵτινες δόξαν ἀντὶ δόξης τὴν μὲν ἀφελόμενοι τὴν
δ᾽ ἐνεργασάμενοι τὰ ἄπιστα καὶ ἄδηλα φαίνεσθαι
τοῖς τῆς δόξης ὄμμασιν ἐποίησαν· δεύτερον δὲ τοὺς
ἀναγκαίους διὰ λόγων ἀγῶνας, ἐν οἷς εἷς λόγος
πολὺν ὄχλον ἔτρεψε καὶ ἔπεισε τέχνῃ γραφείς, οὐκ
ἀληθείᾳ λεχθείς· τρίτον δὲ φιλοσόφων λόγων ἁμίλ-
λας, ἐν αἷς | δείκνυται καὶ γνώμης τάχος ὡς εὐμετά- 683
βολον ποιεῖ τὴν τῆς δόξης πίστιν. τὸν αὐτὸν δὲ 14
λόγον ἔχει ἥ τε τοῦ λόγου δύναμις πρὸς τὴν τῆς
ψυχῆς τάξιν ἥ τε τῶν φαρμάκων τάξις πρὸς τὴν
τῶν σωμάτων φύσιν. ὥσπερ γὰρ τῶν φαρμάκων
ἄλλους ἄλλα χυμοὺς ἐκ τοῦ σώματος ἐξάγει, καὶ τὰ
μὲν νόσου τὰ δὲ βίου παύει, οὕτω καὶ τῶν λόγων
οἱ μὲν ἐλύπησαν, οἱ δὲ ἔτερψαν, οἱ δὲ ἐφόβησαν, οἱ
δὲ εἰς θάρσος κατέστησαν τοὺς ἀκούοντας, οἱ δὲ πειθοῖ
τινι κακῇ τὴν ψυχὴν ἐφαρμάκευσαν καὶ ἐξεγοήτευσαν.

Καὶ ὅτι μέν, εἰ λόγῳ ἐπείσθη, οὐκ ἠδίκησεν 15
ἀλλ᾽ ἠτύχησεν, εἴρηται· τὴν δὲ τετάρτην αἰτίαν τῷ
τετάρτῳ λόγῳ διέξειμι. εἰ γὰρ ἔρως ἦν ὁ ταῦτα
πάντα πράξας, οὐ χαλεπῶς διαφεύξεται τὴν τῆς λε-
γομένης γεγονέναι ἁμαρτίας αἰτίαν. ἃ γὰρ ὁρῶμεν,

ἐργασάμενοι CW. — *ἄπιστα καὶ ἄδηλα* A S.: *ἄδηλα καὶ ἄπιστα.* — *ἀναγκαίους* codd. Bk.: *ἀγοραίους.* — *ἔτρεψε* Ald.: *ἔτερψε* codd. Bk. — post *γραφείς ἀλλ᾽* add. C. — *τρίτον δὲ*] *δὲ* add. C. Ante vel post *καὶ γν. τάχος* quaedam intercidisse puto (*καὶ γλώσσης?*). — *ὡς* om. HW. — *ποιεῖ* S: *ποιοῦν.*

14. *τοῦ λόγου*] *τοῦ νόμου* CKMNRVX b. — *τάξις*] *στάξις* ci. W. — *ἄλλους ἄλλα χυμοὺς* C Bk.: *ἄλλους ἀλλαχοῦ* cett. cod. — *ἐκ* ante *τοῦ σώμ.* om. C. — *ἐκ* ante *τῶν λόγων* add. AB. — *ἔτρεψαν* AB; eidem *ἐξεφαρμάκ. καὶ ἐγοήτευσαν.*

15. *πάντα* add. AB. — *γεγονέναι* om. HW. — *ἃ γὰρ*

ἔχει φύσιν οὐχ ἣν ἡμεῖς θέλομεν ἀλλ' ἣν ἕκαστον
ἔτυχε· διὰ δὲ τῆς ὄψεως ἡ ψυχὴ κἀν τοῖς τρόποις
16 τυποῦται. αὐτίκα γὰρ ὅταν πολέμια σώματα πολέ-
μιον ἐπὶ πολεμίοις ὁπλισθῇ κόσμον χαλκοῦ καὶ σι-
δήρου, τὸν μὲν ἀλεξητήριον τὰ δὲ προβλήματα, ἐπεὶ
ἐθεάσατο ἡ ὄψις, ἐταράχθη καὶ ἐτάραξε τὴν ψυχήν,
ὥςτε πολλάκις τοῦ κινδύνου μέλλοντος (οὐδέ πω)
ὄντος φεύγουσιν ἐκπλαγέντες ἰσχυρῶς· ἡ γὰρ ἀλή-
θεια τοῦ λόγου διὰ τὸν φόβον ἐξῳκίσθη τὸν ἀπὸ
τῆς ὄψεως, ἥτις ἐλθοῦσα ἐποίησεν ἀμελῆσαι καὶ τοῦ
καλοῦ τοῦ διὰ τὸν νόμον κρινομένου καὶ τοῦ ἀγα-
17 θοῦ τοῦ διὰ τὴν νίκην γιγνομένου. ἤδη δέ τινες
ἰδόντες φοβερὰ καὶ τοῦ παρόντος ἐν τῷ παρόντι
χρόνῳ φρονήματος ἐξέστησαν· οὕτως ἀπέσβεσε καὶ
ἐξήλασεν ὁ φόβος τὸ νόημα. πολλοὶ δὲ καὶ ματαίοις
πόνοις καὶ δειναῖς νόσοις καὶ δυςιάτοις μανίαις περι-
έπεσον· οὕτως εἰκόνας τῶν ὁρωμένων πραγμάτων ἡ

ABHRVW Bk.: καὶ γάρ. — ἔχει φύσιν add. AB Bk. — ἕκα-στον Bk.: ἕκαστος. — ἡ ψυχή] ἡ om. CEKMNRVXab. — κἀν τοῖς] καινοῖς Ald.

16. ἐπὶ πολεμίοις πολέμ.] πολέμιος ἐπὶ πολέμιον CBk., καὶ πολέμιον ἐπὶ πολεμίοις (pro πολεμίοις πόλεμον Kb, πο-λε$^{\mu}$ E, πόλεμι MN) cett. cod. — ὁπλίσῃ CHKMNVWXb Bk., ὁπλίσει ABRa, ὁπώσει E, ὁπλίσῃς JY Ald. — τοῦ μὲν — τοῦ δὲ (sed τὰ δὲ a) codd.; τὸν μὲν — τὸν δὲ προβλη-ματικόν ci. R. — εἰ θεάσαιτο C; εἰ θεάσεται v. — S. ita hunc locum constituit: — ὅταν πολέμια σώμ. καὶ πολέμιον ἐπὶ πολεμίᾳ ὁπλίσει κόσμον χ. κ. σ., τοῦ μὲν ἀλ. τοῦ δὲ πρ., θεάσηται ἡ ὄψις. — κινδύνου (ἀκινδύνου R Ya Bk.) τοῦ μέλλοντος ὄντος codd.; κινδ. μέλλ. οὐδέπω ὄντος Ald. — ἰσχυρῶς· ἡ γὰρ scripsi: ἰσχυρὰ (ἰσχυρῶς Ald.) γὰρ ἡ. num autem αἰσχρῶς? — λόγου E: νόμου. — ἐξῳκίσθη ci. Reisk. (S.): εἰςῳκίσθη. — ἀμελῆσαι ci. Bk. (S.): ἀσμενί-σαι. (ἀμνημονῆσαι ci. R.). — ἴκην scripsi: δίκην.

17. χρόνῳ om. CEJKbMNWX Ald. — ματαίοις πόνοις καὶ δειναῖς νόσοις AB Bk.: ματαίαις νόσοις καὶ δεινοῖς

ὄψις ἐνέγραψεν ἐν τῷ φρονήματι. καὶ τὰ μὲν δει-
ματοῦντα | *πολλὰ μὲν παραλείπεται, ὅμοια δ' ἐστὶ* 684
τὰ παραλειπόμενα οἷάπερ τὰ λεγόμενα. ἀλλὰ μὴν οἱ 18
γραφεῖς ὅταν ἐκ πολλῶν χρωμάτων καὶ σχημάτων
ἓν σῶμα καὶ σχῆμα τελείως ἀπεργάσωνται, τέρπουσι
τὴν ὄψιν. ἡ δὲ τῶν ἀνδριάντων ποίησις καὶ ἡ τῶν
ἀγαλμάτων ἐργασία ὅσην ἡδονὴν παρέσχετο τοῖς
ὄμμασιν! οὕτω τὰ μὲν λυπεῖν τὰ δὲ ποθεῖν (ποιεῖν)
πέφυκε τὴν ὄψιν. πολλὰ δὲ πολλοῖς πολλῶν ἔρωτα
καὶ πόθον ἐνεργάζεται πραγμάτων καὶ σωμάτων. εἰ 19
οὖν τῷ τοῦ Ἀλεξάνδρου σώματι τὸ τῆς Ἑλένης ὄμ-
μα ἡσθὲν προθυμίαν καὶ ἅμιλλαν ἔρωτος τῇ ψυχῇ
παρέδωκε, τί θαυμαστόν; ὃς εἰ μὲν θεὸς θεῶν (ἔχει)
θείαν δύναμιν, πῶς ἂν τὸ ἧσσον εἴη τοῦτον ἀπώ-
σασθαι καὶ ἀμύνασθαι δυνατόν; εἰ δ' ἐστὶν ἀνθρώ-
πινον νόσημα καὶ ψυχῆς ἀγνόημα, οὐχ ὡς ἁμάρτημα
μεμπτέον ἀλλ' ὡς ἀτύχημα νομιστέον· ἦλθε γὰρ ὡς
ἦλθε τύχης ἀγρεύμασιν, οὐ γνώμης βουλεύμασι, καὶ
ἔρωτος ἀνάγκαις, οὐ τέχνης παρασκευαῖς.

πόνοις. — *ἀνέγραψεν* a Ald. — *τὰ* ante *λεγόμενα* cum CV add. Bk.

18. *σχημάτων* scripsi: *σωμάτων.* — *σχῆμα*] *χρῶμα* H. — *ὅσην ἡδονὴν* scripsi: *ὅσον ἥδειαν* v. (*ὅσον ἥδειαν οψιν* Ra, *ὁπόσην τινὰ τέρψιν* H). post *ὄμμασιν* add. *ὄψιν* Ald. — *ποιεῖν* addidi; pro *πέφυκε τὴν ὄψιν* S. ci. *πεποίηκε.* — *τὴν ὄψιν*] *τὴν* add. ABHW Bk. — *ἐργάζεται* Y; *ἐργάζονται* AB. — *καὶ σωμάτων* add. AB Bk.

19. *ὄμμα*] *σῶμα* ABERYa. — *κατὰ θεῶν* RYa; post *δύναμιν* add. *κρατεῖ* rc. Y et Ald.; *ἔχει* add. S. (*θεὸς ὢν θείαν ἔχων δύναμιν κρατεῖ* ci. R.). — *ὃ ἧσσον* C: *ὁ ἥσσων*, et *δυνατόν* CE: *δυνατός.* cf. § 6. — *τοῦτον*] *τούτων* KMNX, *τούτου* E, om. C. — *νομιστέον* suspectum: num *συγγνωστέον*? *οἰκτιστέον* ci. W.; R. ci.: *ἄξιον ἐλέου νομιστέον.* — *τύχης* ci. Reisk. (S.): *ψυχῆς.*

20 *Πῶς οὖν χρὴ δίκαιον ἡγήσασθαι τὸν τῆς Ἑλένης μῶμον, ἥτις εἴτ' ἐρασθεῖσα εἴτε λόγῳ πεισθεῖσα εἴτε βίᾳ ἁρπασθεῖσα εἴτε ὑπὸ θείας ἀνάγκης ἀναγκασθεῖσα ἔπραξεν ἃ ἔπραξε, πάντως διαφεύγει τὴν αἰτίαν;*

21 *Ἀφεῖλον τῷ λόγῳ δύςκλειαν γυναικός, ἐνέμεινα τῷ νόμῳ ὃν ἐθέμην ἐν ἀρχῇ τοῦ λόγου, ἐπειράθην καταλῦσαι μώμου ἀδικίαν καὶ δόξης ἀμαθίαν, ἐβουλήθην γράψαι τὸν λόγον Ἑλένης μὲν ἐγκώμιον, ἐμὸν δὲ παίγνιον.*

ΓΟΡΓΙΟΥ

ΥΠΕΡ ΠΑΛΑΜΗΔΟΥΣ ΑΠΟΛΟΓΙΑ.

1 *Ἡ μὲν κατηγορία καὶ ἡ ἀπολογία (καὶ ὅλη ἡ) κρίσις
οὐ περὶ θανάτου γίγνεται· θάνατον μὲν γὰρ ἡ φύσις
φανερᾷ τῇ ψήφῳ πάντων κατεψηφίσατο τῶν θνητῶν,
ᾗπερ ἡμέρᾳ ἐγένετο· περὶ δὲ τῆς ἀτιμίας καὶ τῆς τι-
μῆς ὁ κίνδυνός ἐστι, (καὶ) πότερά με χρὴ δικαίως ἀπο-
θανεῖν ἢ μετ' ὀνειδῶν μεγίστων καὶ τῆς αἰσχίστης*
2 *αἰτίας βιαίως ἀποθανεῖν. δισσῶν δὲ τούτων ὄντων
τοῦ μὲν ὅλου ὑμεῖς κρατεῖτε, τοῦ δ' ἐγώ, τῆς μὲν*
685 *δίκης ἐγώ, τῆς δὲ | βίας ὑμεῖς. ἀποκτεῖναι μὲν γὰρ*

20. *ἔπραξεν ἃ* add. AB Bk. — *πάντων* C.
21. *νόμῳ*] *μώμῳ* AB, *λόγῳ νόμῳ* H, *λόγῳ νόμων* W. — *ὃν*] *ὃν ἐν* AB. — *ἐν ἀρχῇ* AB Bk.: *ἐπ' ἀρχῇ*.
ΠΑΛΑΜΗΔΗΣ] Codd. Bekkeri ABLZ.

1. *γίγνεται* Ald. Bk.: *γίγνεσθαι* codd. S., qui pro *κρίσις* ci. *ἔοικεν* vel simile quid. — *ᾗ περ ἡμέρᾳ*] „scil. *ἕκαστα*.“ R.
2. *ὅλου* del. auctore R. Bk. Malim autem *τοῦ μὲν ὑμεῖς ὅλου*. — *μὲν* post *ἀποκτ.* cum pr. A om. Bk. Sed quae

με δυνήσεσθε βουλόμενοι ῥαδίως· κρατεῖτε γὰρ καὶ τούτων, ὧν οὐδὲν ἐγὼ τυγχάνω κρατῶν. 3 *Εἰ μὲν οὖν ὁ κατήγορος Ὀδυσσεὺς ἢ σαφῶς ἐπιστάμενος προδιδόντα με τὴν Ἑλλάδα τοῖς βαρβάροις ἢ δοξάζων γε οὕτω ταῦτα ἔχειν ἐποιεῖτο τὴν κατηγορίαν δι' εὔνοιαν τῆς Ἑλλάδος, ἄριστος ἂν ἦν [ὁ] ἀνήρ· πῶς γὰρ (οὔ), ὅς γε σώζει πατρίδα, τοκέας, τὴν πᾶσαν Ἑλλάδα, ἔτι δὲ πρὸς τούτοις τὸν ἀδικοῦντα τιμωρούμενος; εἰ δὲ φθόνῳ ἢ κακοτεχνίᾳ ἢ πανουργίᾳ συνέθηκε ταύτην τὴν αἰτίαν, ὥςπερ δι' ἐκεῖνα κράτιστος ἂν ἦν ἀνήρ, οὕτω διὰ ταῦτα κάκιστος ἀνήρ.*
4 *Περὶ τούτων δὲ ἐγὼ πόθεν ἄρξωμαι; τί δὲ πρῶτον εἴπω; ποῖ δὲ τῆς ἀπολογίας τράπωμαι; αἰτία γὰρ ἀνεπίδεικτος ἔκπληξιν ἐμφανῆ ἐμποιεῖ, διὰ δὲ τὴν ἔκπληξιν ἀπορεῖν ἀνάγκη τῷ λόγῳ, ἂν μή τι παρ' αὐτῆς τῆς ἀληθείας καὶ τῆς παρούσης ἀνάγκης μάθω, διδασκάλων ἐπικινδυνοτέρων ἢ ποριμωτέρων τυχών.*
5 *Ὅτι μὲν οὖν οὐ σαφῶς (εἰδὼς) ὁ κατήγορος κατηγορεῖ μου, σαφῶς οἶδα· σύνοιδα γὰρ ἐμαυτῷ σαφῶς οὐδὲν τοιοῦτον πεποιηκώς· οὐδέ πῃ ἔστιν ὅπως ἂν εἰδείη τις τὸ μὴ γενόμενον. εἰ δὲ οἰόμενος οὕτω*

sequuntur male mutilata esse videntur; scripserim: *κρατεῖτε γὰρ [καὶ] τούτων* (*καὶ* del. vult etiam R.)· *τοῦ δὲ* (*δικαίως ἀποκτεῖναι οὐχ ὑμεῖς ἀλλ'*) *ἐγὼ τυγχάνω κρατῶν.* — *με* add. AB Bk. — *ἐγὼ οὐδὲν* Z.

3. *δοξάζων γε* auct. Steph. R.: *δοξάζοντά με.* — *οὔ* add. auct. Steph. R. num autem *ὅ γε σώζων* coll. *τιμωρούμενος*? — *πανουργίᾳ* AB Bk. (cf. 18. 19): *κακουργίᾳ.* — *ἦν ὁ ἀνήρ* Z.

4. *περὶ τούτων. ἐγὼ δὲ* codd. (*π. τούτων δ' ἐγὼ λέγων* ci. R., *π. τ. δὲ ἔγωγε* S.).

5. *εἰδὼς* auct. R. add. S. — *οὐδὲ οὐχ ὅπως ἂν εἰδείη τις ᾖ τὸ κτἑ.* codd.; *ἔστιν* del. *οὐχ* et *ᾖ* add. R.; *ουδέ που*

ταῦτα ἔχειν ἐποιεῖτο τὴν κατηγορίαν, οὐκ ἀληθῆ
λέγειν διὰ δισσῶν ὑμῖν ἐπιδείξω τρόπων. οὔτε γὰρ
βουληθεὶς ἐδυνάμην ἂν οὔτε δυνάμενος ἐβουλήθην
ἔργοις ἐπιχειρεῖν τοιούτοις.
6 Ἐπὶ τοῦτον δὲ τὸν λόγον εἶμι πρῶτον, ὡς ἀδύ-
νατός εἰμι τοῦτο πράττειν. ἔδει γάρ τινα πρῶτον
ἀρχὴν γενέσθαι τῆς προδοσίας, ἡ δὲ ἀρχὴ λόγος ἂν
εἴη· πρὸ γὰρ τῶν μελλόντων ἔργων ἀνάγκη λόγους
γίγνεσθαι πρότερον. λόγοι δὲ πῶς ἂν γένοιντο μὴ
συνουσίας τινὸς γενομένης; συνουσία δὲ τίνα τρό-
πον γένοιτ' ἂν μήτ' ἐκείνου πρὸς ἐμὲ πέμψαντος
μήτε (του) παρ' ἐμοῦ πρὸς ἐκεῖνον ἐλθόντος; οὐδὲ
γὰρ ἀγγελία διὰ γραμμάτων ἀφῖκται ἄνευ τοῦ φέ-
7 ροντος. Ἀλλὰ δὴ τοῦτο τῷ λόγῳ δυνατὸν γενέσθω.
καὶ δὴ τοίνυν σύνειμι καὶ σύνεστι κἀκεῖνος ἐμοὶ
κἀκείνῳ ἐγώ. τίνα τρόπον; τίνι τίς ὤν; Ἕλλην βαρ-
βάρῳ. πῶς ἀκούων καὶ λέγων; πότερα μόνος μόνῳ;
ἀλλ' ἀγνοήσομεν τοὺς ἀλλήλων λόγους. ἀλλὰ μεθ'
ἑρμηνέως; τρίτος ἄρα μάρτυς γίγνεται τῶν κρύπτε-
8 σθαι δεομένων. Ἀλλὰ δὴ καὶ τοῦτο γενέσθω, καίπερ
οὐ γενόμενον. ἔδει δὲ μετὰ τούτους (τοὺς λόγους)
πίστιν δοῦναι καὶ δέξασθαι. τίς οὖν ἂν ἦν ἡ πίστις;
πότερον ὅρκος; τίς οὖν ἐμοὶ τῷ προδότῃ πιστεύειν

ἔστιν del. ἦ S. — ἐβουλήθην codd. Bk. (om. LZ): ἠβουλή-θην. — ἔργοις add. A.

6. του post μήτε addidi („subaudi τινὸς" R.). S. hic quaedam intercidisse putat: μήτ' ἐκείνου πρὸς ἐμὲ (ἐλθόντος μήτ' ἐμοῦ πρὸς ἐκεῖνον, μήτ' ἄγγελον ἐκείνου πρὸς ἐμὲ) πέμψ. κτέ. — γὰρ ἀγγελία ci. R.: παραγγελία.

7. γενέσθω Bk.: γενέσθαι. — ἀγνοήσωμεν AL.

8. δὲ μετὰ τούτους] δὲ μετὰ ταῦτα vel δέ με τούτῳ ci. R., δ' ἐμὲ τούτων S. —

ἔμελλεν; ἀλλ' ὅμηροί τινες; οἷον ἐγὼ τὸν ἀδελφὸν
ἔδωκ' ἄν (οὐ γὰρ εἶχον ἄλλον), ὁ δὲ βάρβαρος τῶν
υἱέων τινά· πιστότατα | γὰρ ἂν ἦν οὕτως ἐμοί τε 683
παρ' ἐκείνου ἐκείνῳ τε παρ' ἐμοῦ. ταῦτα δὲ γιγνό-
μενα πᾶσιν ὑμῖν ἂν ἦν φανερά. Φήσει τις ὡς χρή- 9
μασι τὴν πίστιν ἐποιούμεθα, ἐκεῖνος μὲν διδούς, ἐγὼ
δὲ λαμβάνων. πότερον οὖν ὀλίγοις; ἀλλ' οὐκ εἰκὸς
ἀντὶ μεγάλων ὑπουργημάτων ὀλίγα χρήματα λαμβά-
νειν. ἀλλὰ πολλά; τίς οὖν (ἂν) ἦν ἡ κομιδή; πόσοι
δ' ἂν ἐκόμισαν; (εἷς) ἢ πολλοί; πολλῶν γὰρ κομι-
ζόντων πολλοὶ ἂν ἦσαν οἱ μάρτυρες τῆς ἐπιβουλῆς,
ἑνὸς δὲ κομίζοντος οὐκ ἂν πολύ τι τὸ φερόμενον ἦν.
πότερα δὲ ἐκόμισαν ἡμέρας ἢ νυκτός; (νυκτός;) ἀλλὰ 10
πολλαὶ καὶ πυκναὶ φυλακαί, δι' ὧν οὐκ ἔστι λαθεῖν.
ἀλλὰ ἡμέρας; ἀλλά γε τὸ φῶς πολεμεῖ τοῖς τοιούτοις.
εἶεν. ἐγὼ δ' ἐξελθὼν ἐδεξάμην, ἢ ἐκεῖνος ὁ φέρων
εἰςῆλθεν; ἀμφότερα γὰρ ἄπορα. λαβὼν δὲ δὴ πῶς
ἂν ἔκρυψα καὶ τοὺς ἔνδον καὶ τοὺς ἔξω; ποῦ δ'
ἂν ἔθηκα; πῶς δ' ἂν ἐφύλαξα; χρώμενος δ' ἂν φα-
νερὸς ἐγενόμην· μὴ χρώμενος δὲ τί ἂν ὠφελούμην
ἀπ' αὐτῶν; Καὶ δὴ τοίνυν γενέσθω καὶ τὰ μὴ γε- 11
νόμενα. συνήλθομεν, εἴπομεν, ἠκούσαμεν, χρήματα
παρ' αὐτοῦ ἔλαβον, ἔλαθον λαβών, ἔκρυψα. ἔδει
δήπου πράττειν ὧν ἕνεκα ταῦτα ἐγένετο. τοῦτο τοί-
νυν ἔτι τῶν εἰρημένων ἀπορώτερον. πότερα μὲν

ἂν post πιστότατα γὰρ add. A Bk. — παρ' ἐκείνῳ ABLZ.
9. πόσοι δ' ἂν ἐκόμισαν scripsi: πῶς δ' ἂν ἐκόμισεν. — εἷς auctore Steph. add. S. — ἂν post πολλοὶ add. AB Bk.
10. νυκτός alterum auct. R. add. Bk.; post ἀλλὰ ins. W. (om. interpunctione) coll. § 13. — 11. παρ' αὐτοῦ S.: παρ' αὐτῶν. — ἔλαβον auct. R. S.: ἐλάβομεν. — πότερον μὲν scripsi: πράττομεν codd., πράττων μὲν v.

γὰρ αὐτὸς ἔπραττον ἢ μεθ' ἑτέρων. ἀλλ' οὐχ ἑνὸς ἡ πρᾶξις. ἀλλὰ μεθ' ἑτέρων; τίνων; δηλονότι τῶν συνόντων. πότερον ἐλευθέρων ἢ δούλων; ἐλευθέροις μὲν γὰρ ὑμῖν σύνειμι. τίς οὖν ὑμῶν ξύνοιδε; λεγέτω. δούλοις δὲ πῶς οὐκ ἄπιστον; ἑκόντες (τε) γὰρ ἐπ' ἐλευθερίᾳ χειμαζόμενοί τε δι' ἀνάγκην κατηγο-
12 ροῦσιν. ἡ δὲ πρᾶξις πῶς (ἂν) ἐγένετο; δηλονότι τοὺς πολεμίους εἰςαγαγεῖν ἔδει κρείττονας ὑμῶν· ὅπερ ἀδύνατον. πῶς (δ') ἂν οὖν εἰςήγαγον; πότερα διὰ πυλῶν; ἀλλ' οὐκ ἐμὸν ταύτας οὔτε κλείειν οὔτε ἀνοίγειν, ἀλλ' ἡγεμόνες (εἰσὶ) κύριοι τούτων. ἀλλ' ὑπὲρ τειχέων (διὰ) κλίμακος; οὐκοῦν .... ἅπαντα γὰρ πλήρη φυλάκων. ἀλλὰ διελὼν τοῦ τείχους; ἅπασιν ἄρα φανερὰ γένοιτ' ἄν. ὑπαίθριος γὰρ ὁ βίος· στρατόπεδον γάρ ἐστιν ἐν ὅπλοις, ἐν ᾧ (πάντες) πάντας ὁρῶσι καὶ πάντες ὑπὸ πάντων ὁρῶνται. πάντως ἄρα καὶ πάντῃ ταῦτα πράττειν ἀδύνατον ἦν μοι.

13 Σκέψασθε τοίνυν καὶ τόδε. τίνος ἕνεκα προςῆκέ (μοι) βουληθῆναι ταῦτα πράττειν, εἰ καὶ μάλιστα πάντων ἐδυνάμην; οὐδεὶς γὰρ βούλεται προῖκα τοὺς μεγίστους κινδύνους κινδυνεύειν οὐδὲ τὴν μεγίστην

αὐτὸς] οὗτος ALZ. — ἔπραττον auct. Steph. R.: ἔπραττεν. — συνόντων R. S.: νῦν ὄντων. — ἄπιστον] ἠπίστουν mal. R., sed cf. § 8. — τε post ἑκόντες addi iubet R.

12. ἐμὸν auct. R. Bk.: ἐμοί. — ταύτας auctore Steph. R.: ταῦτα. — ἀλλ' οἱ ἡγεμόνες auct. Steph. R. Bk. S., sed cf. Il. IX, 80 sqq. — διὰ auct. R. add. Bk. — ft. οὐκοῦν καὶ τοῦτ' ἄπορον. Bk. pro οὔκουν (ita libri) ci. οὐ μὲν οὖν, quod rec. S.; ἀλλ' οὐχ οἷόν τε λαθεῖν ci. W. — γένοιτ'] num ἐγένετ'? — ἐν ante ὅπλοις om. ABLZ. — ἐν ᾧ scripsi: ἐν οἷς. — πάντες auct. R. add. S. — πάντας scripsi: πάντα. — ταῦτα ci. R.: πάντα.

13. τοίνυν ci. R.: κοινῇ. — καὶ ante μάλιστα add. Ald., om. cum codd. Bk. —

κακότητα εἶναι | κάκιστος, ἀλλ' ἕνεκά του. (τίνος) 687
οὖν; καὶ αὖθις πρὸς τόδ' ἐπάνειμι. πότερον (τοῦ)
τυραννεῖν; ὑμῶν ἢ τῶν βαρβάρων; ἀλλ' ὑμῶν ἀδύ-
νατον τοσούτων καὶ τοιούτων, οἷς ὑπάρχει ἅπαντα
(τὰ) μέγιστα, προγόνων ἀρεταί, χρημάτων πλῆθος,
ἀριστεῖαι, ἀκμὴ φρονημάτων, βασιλεία πόλεων. ἀλλὰ 14
τῶν (βαρβάρων); ὁ δὲ παραδώσων τίς; ἐγὼ δὲ ποίᾳ
δυνάμει παραλήψομαι Ἕλλην βαρβάρους, εἷς ὢν πολ-
λούς; πείσας ἢ βιασάμενος; οὔτε γὰρ ἐκεῖνοι πεισθῆ-
ναι βούλοιντ' ἄν, οὔτ' ἐγὼ βιάσασθαι δυναίμην.
ἀλλ' ἴσως ἑκόντες ἑκόντι παραδώσουσι, μισθὸν τῆς
προδοσίας ἀντιδιδόντες; ἀλλά γε ταῦτα πολλῆς μω-
ρίας καὶ πιστεῦσαι καὶ δέξασθαι· τίς γὰρ ἂν ἕλοιτο
δουλείαν ἀντ' ἐλευθερίας, ἀντὶ τοῦ κρατίστου τὸ
κάκιστον; Εἴποι τις ἂν ὅτι πλούτου καὶ χρημάτων 15
ἐρασθεὶς ἐπεχείρησα τούτοις. ἀλλὰ χρήματα μέτρια
μὲν κέκτημαι, πολλῶν δὲ οὐδὲν δέομαι. πολλῶν γαρ
δέονται χρημάτων οἱ πολλὰ δαπανῶντες, οὐχ οἱ
κρείττονες τῶν τῆς φύσεως ἡδονῶν, ἀλλ' οἱ δου-
λεύοντες ταῖς ἡδοναῖς καὶ ζητοῦντες ἀπὸ πλούτου
καὶ μεγαλοπρεπείας τὰς τιμὰς κτᾶσθαι. τούτων δὲ
ἐμοὶ πρόςεστιν οὐδέν. ὡς δ' ἀληθῆ λέγω, μάρτυρα

ἀλλ' ἕνεκά του. τίνος ἂν οὖν; ci. R.; ἀλλ' ἕνεκα τοῦ; S. Codd. ἀλλ' ἕνεκα τούτων. — τοῦ ante τυραννεῖν auct. R. add. S. — ἀλλ' ante ἀδύνατον iterant AB. — τὰ ante μέγιστα addidi coll. § 20. — ἀκμὴ scripsi: ἀλκή. ante ἀριστεῖαι genetivum desiderat W.

14. βαρβάρων add. Steph. — παραδώσουσιν (ἑαυτούς) ci. R. — μωρίας AB Bk.: τιμωρίας. nisi cum Stephano ἐστὶ μωρίας scribendum est. — ἐλευθερίας] βασιλείας AB. Fort. igitur βασιλείαν pro δουλείαν olim fuit.

15. εἴποι S.: εἴπῃ. — ἂν cum AB add. Bk. — μέτρια μὲν scripsi: μὲν μέτρια. — οὐδὲν δέομαι S.: οὐθὲν δ. — πρόςεστιν οὐδέν S. cum Z: πρόςεστιν οὐθέν.

πιστὸν παρέξομαι τὸν παροιχόμενον βίον· τῷ δὲ μάρτυρι μάρτυρες ὑμεῖς ἦτε· σύνεστε γάρ μοι, διὸ
16 σύνιστε ταῦτα. Καὶ μὴν οὐδ' ἂν τιμῆς ἕνεκα τοιούτοις ἔργοις ἀνὴρ ἐπιχειρήσειε καὶ μέσως φρόνιμος. ἀπ' ἀρετῆς γὰρ ἀλλ' οὐκ ἀπὸ κακότητος αἱ τιμαί· προδότῃ δὲ τῆς Ἑλλάδος ἀνδρὶ πῶς ἂν γένοιτο τιμή; πρὸς δὲ τούτοις οὐδὲ τιμῆς ἐτύγχανον ἐνδεὴς ὤν· ἐτιμώμην γὰρ ἐπὶ τοῖς ἐντιμοτάτοις ὑπὸ τῶν ἐντιμο-
17 τάτων, ὑφ' ὑμῶν ἐπὶ σοφίᾳ. Καὶ μὴν οὐδ' ἀσφαλείας οὕνεκά τις ἂν ταῦτα πράξαι. πᾶσι γὰρ ὅ γε προδότης πολέμιος, τῷ νόμῳ, τῇ δίκῃ, τοῖς θεοῖς, τῷ πλήθει τῶν ἀνθρώπων. τὸν μέν γε νόμον παραβαίνει, τὴν δὲ δίκην καταλύει, τὸ δὲ θεῖον ἀτιμάζει, τὸ δὲ πλῆθος διαφθείρει. τῷ δὲ τοιούτῳ βίῳ περὶ
18 κινδύνων τῶν μεγίστων οὐδὲν ἔχει ἀσφάλειαν. Ἀλλὰ δὴ φίλους ὠφελεῖν βουλόμενος ἢ πολεμίους βλάπτειν; καὶ γὰρ τούτων ἕνεκά τις ἂν ἀδικήσειεν. ἐμοὶ δὲ πᾶν τοὐναντίον ἐγίγνετο· τοὺς μὲν φίλους κακῶς ἐποίουν, τοὺς δ' ἐχθροὺς ὠφέλουν. ἀγαθῶν μὲν οὖν κτῆσιν οὐδεμίαν εἶχεν ἡ πρᾶξις· κακῶς δὲ πα-
19 θεῖν οὐδὲ εἷς ἐπιθυμῶν πανουργεῖ. Τὸ δὲ λοιπόν ἐστιν, εἴ τινα φόβον ἢ πόνον ἢ κίνδυνον φεύγων ἔπραξα· ταῦτα δὲ οὐδεὶς ἂν εἰπεῖν ἔχοι τί μοι προς-

16. γένοιντο τιμαί Z. — ἀπετύγχανον Ald. — ἐπὶ τοῖς praeeunte Steph. ci. R. (Bk.): ἐν τοῖς AB, om. v.

17. οὐδ' ἀσφαλείας scripsi: οὐκ ἀσφαλές, ὧν (quibus servatis S. pro οὕνεκα scr. οὖν ἕνεκα). — δὲ post δίκην add. A Bk. (R.). — τὸ δὲ πλῆθος διαφθ., τὸ δὲ θεῖον ἀτιμ. v. — οὐδὲν R. ci.: οὐδ'. idem etiam κίνδυνος περὶ τῶν μεγίστων οὐδ' ci.; S. scripsit πέρι (h. e. περίεστι) κινδύνων τ. μ. οὐδ'.

18. κτῆσιν ci. R.: ἔκτισιν.

19. num φόβον (φοβούμενος)? — οὐδεὶς S.: οὐθείς. — ἔχει

ἥκει. δισσῶν γὰρ τούτων ἕνεκα πάντες πάντα
πράττουσιν, ἢ κέρδος τι μετιόντες ἢ ζημίαν φεύγον-
τες· ὅσα δὲ τούτων ἔξω πανουργεῖται ..... (ὅσα δὲ)
κακῶς ἐμαυτὸν ἐποίουν ταῦτα πράττων, οὐκ ἄδηλον·
προδιδοὺς γὰρ τὴν Ἑλλάδα προὐδίδουν | ἐμαυτόν, 688
τοκέας, φίλους, ἀξίωμα προγόνων, ἱερὰ πατρῷα,
τάφους, πατρίδα τὴν μεγίστην τῆς Ἑλλάδος. ἃ δὲ
πᾶσι περὶ παντός ἐστι, ταῦτα ἂν τοῖς ἀδικηθεῖσιν
ἐνεχείρισα. Σκέψασθε δὲ καὶ τόδε. πῶς οὐκ ἂν ἀβί- 20
ωτος ἦν ὁ βίος μοι πράξαντι ταῦτα; ποῖ γὰρ τραπέ-
σθαί μ' ἐχρῆν; πότερον εἰς τὴν Ἑλλάδα; δίκην δώ-
σοντα τοῖς ἠδικημένοις; τίς δ' ἂν ἀπείχετό μου τῶν
κακῶς πεπονθότων; ἀλλὰ μένειν ἐν τοῖς βαρβάροις;
παραμελήσαντα πάντων τῶν μεγίστων, ἐστερημένον
τῆς καλλίστης τιμῆς, ἐν αἰσχίστῃ δυςκλείᾳ διάγοντα,
τοὺς ἐν τῷ παροιχομένῳ βίῳ πόνους ἐπ' ἀρετῇ πε-
πονημένους ἀπορρίψαντα; καὶ ταῦτα δι' ἐμαυτόν,
ὅπερ αἴσχιστον ἀνδρί, δυςτυχεῖν δι' αὑτόν. οὐ μὴν 21
οὐδὲ παρὰ τοῖς βαρβάροις πιστῶς ἂν διεκείμην· πῶς
γάρ, οἵτινες ἀπιστότατον ἔργον συνηπίσταντό μοι
πεποιηκότι, τοὺς φίλους τοῖς ἐχθροῖς παραδεδωκότι;
βίος δὲ οὐ βιωτὸς πίστεως ἐστερημένῳ. χρήματα
μὲν γὰρ ἀποβαλὼν (ἢ) τυραννίδος ἐκπεσὼν ἢ τὴν

BLZ. ceterum R. ci.: ἔπρ. ταῦτα· τούτων δὲ οὐδεὶς κτἑ. — προςήκει ci. W.: προςήκειν. — πανουργεῖται ὡς δὲ κακῶς Ald.; om. ὡς δὲ libri. S. haec fere excidisse putat: μανίας ἐστίν. ὅσα δὲ, et similiter R. — γὰρ ante πράττων add. ABLZ, om. Ald. Bk. — προδιδοὺς auct. R. S.: προὐδίδουν. — προγόνων in proclivi est post τάφους transponere, sed cf. § 13.

20. τίς δ' ἂν] num τίς γὰρ ἂν? — παραμελήσαντα et ἐστερημένον auct. R. S. παραμελήσαντι et ἐστερημένῳ.

21. ἠπίσταντο BLZ. — προδεδωκότι mal. S. — ἀποβαλὼν ἤ, ἐκπεσὼν, φυγὼν auct. R. S.: ἀποβαλόντα, ἐκπε-

πατρίδα φυγὼν ἀναλάβοι τις ἄν· ὁ δὲ πίστιν ἀποβαλὼν οὐκ ἂν ἔτι κτήσαιτο. ὅτι μὲν οὖν οὔτ' ἂν (ἐδυνάμην οὔτ' ἂν) ἐβουλόμην προδοῦναι τὴν Ἑλλάδα, διὰ τῶν προειρημένων δέδεικται.

22 Βούλομαι δὲ μετὰ ταῦτα πρὸς τὸν κατήγορον διαλεχθῆναι. τίνι ποτὲ πιστεύσας τοιοῦτος ὢν τοιούτου κατηγορεῖς; ἄξιον γὰρ καταμαθεῖν, οἷος ὢν οἵῳ λοιδορεῖ, ὡς ἀνάξιος ἀναξίῳ. πότερα γάρ μου κατηγορεῖς εἰδὼς ἀκριβῶς ἢ δοξάζων; εἰ μὲν γὰρ εἰδώς, οἶσθα ἰδὼν ἢ μετέχων ἤ του πυθόμενος. εἰ μὲν οὖν ἰδών, φράσον τούτοις τὸν τόπον, τὸν χρόνον, πότε, ποῦ, πῶς εἶδες· εἰ δὲ μετέχων, ἔνοχος εἶ ταῖς αὐταῖς αἰτίαις· εἰ δέ του μετέχοντος ἀκούσας, ὅστις ἐστίν, αὐτὸς ἐλθέτω, φανήτω, μαρτυρησάτω. πιστότερον γὰρ οὕτως ἔσται τὸ κατηγόρημα μαρτυρηθέν· ἐπεὶ νῦν γε οὐδέτερος ἡμῶν παρέχεται μάρτυρα.

23 φήσεις ἴσως ἴσον εἶναι τούς τε τῶν γενομένων, ὡς σὺ φῄς, (σὲ) μὴ παρέχεσθαι μάρτυρας, τῶν τε μὴ γενομένων ἐμέ. τὸ δὲ οὐκ ἴσον ἐστί· τὰ μὲν γὰρ ἀγένητα πῶς ἂν εἴη δυνατὰ μαρτυρηθῆναι; περὶ δὲ τῶν γενομένων οὐ μόνον οὐκ ἀδύνατον, ἀλλὰ καὶ ῥάδιον, οὐδὲ μόνον ῥάδιον, ἀλλὰ σοὶ μὲν οὐκ ἦν οἷον μόνον

σόντα, φυγόντα. — ἀναλάβῃ ABLZ. — οὔτ' ἂν] οὐδ' ἂν Ald. Bk. — ἐδυνάμην οὔτ' addi iubet S.

22. οἷος ὢν οἶδάς γε ἴσως ἀνάξιος ἀναξίῳ codd.; οἷος οἵῳ ὠνείδισας, ὡς ἀνάξ. ἀν. Jacobs; οἷος οἵῳ ἐγκαλεῖς, ὡς ἀν. ἀν. ci. S. — εἰ μὲν οὖν ἰδών AB Bk.: εἰ μὲν οὖν εἰδώς. — εἰ δέ του μετέχ. scripsi: εἰ δὲ τοῦ μετέχ.

23. ἴσον ci. R.: σὸν. — τούς τε scripsi: τούς γε (σὲ μὲν τούς γε ci. R.). — τῶν τε scripsi: τῶν δὲ. — ἂν εἴη δυνατὰ Ald. Bk.: ἀδύνατα. ft. autem πῶς οὐκ ἀδύνατα scribendum sit. — ἀλλὰ σοὶ μὲν κτέ.] R. ci.: ἀλλὰ (καὶ δίκαιον καὶ πάνυ ἀναγκαῖον). σοὶ μὲν οὖν ἦν οὐ μόνον κτέ. — μόνον

μάρτυρας ἀλλὰ καὶ ψευδομάρτυρας εὑρεῖν, ἐμοὶ δὲ οὐδέτερον εὑρεῖν τούτων δυνατόν. Ὅτι μὲν οὖν οὐκ 24 οἶσθα ἃ κατηγορεῖς, φανερόν· τὸ δὴ λοιπὸν μὴ εἰδότα σε δοξάζειν. εἶτα, ὦ πάντων ἀνθρώπων τολμηρότατε, δόξῃ πιστεύσας, ἀπιστοτάτῳ πράγματι, τὴν ἀλήθειαν οὐκ εἰδώς, τολμᾷς ἄνδρα περὶ θανάτου διώκειν; ᾧ τί τοιοῦτον ἔργον εἰργασμένῳ σύνοισθα; ἀλλὰ μὴν τό γε δοξάσαι κοινὸν ἅπασι περὶ πάντων, καὶ οὐδὲν ἐν τούτῳ σὺ | τῶν ἄλλων σοφώτερος. 689 ἀλλ' οὔτε τοῖς δοξάζουσι δεῖ πιστεύειν ἀλλὰ τοῖς εἰδόσιν, οὔτε τὴν δόξαν τῆς ἀληθείας πιστοτέραν νομίζειν ἀλλὰ τἀναντία τὴν ἀλήθειαν τῆς δόξης.

Κατηγόρησας δέ μου διὰ τῶν εἰρημένων λόγων 25 δύο τὰ ἐναντιώτατα, σοφίαν καὶ μανίαν, ὥπερ οὐχ οἷόν τε τὸν αὐτὸν ἄνθρωπον ἔχειν. ὅπου μὲν γάρ με φῂς εἶναι τεχνήεντά τε καὶ δεινὸν καὶ πόριμον, σοφίαν μου κατηγορεῖς, ὅπου δὲ λέγεις ὡς προὐδίδουν τὴν Ἑλλάδα, μανίαν· μανία γάρ ἐστιν ἔργοις ἐπιχειρεῖν ἀδυνάτοις, ἀσυμφόροις, αἰσχροῖς, ἀφ' ὧν τις τοὺς μὲν φίλους βλάψει, τοὺς δ' ἐχθροὺς ὠφελήσει, τὸν δὲ αὑτοῦ βίον ἐπονείδιστον καὶ σφαλερὸν καταστήσει. καίτοι πῶς χρὴ ἀνδρὶ τοιούτῳ πιστεύειν, ὅςτις τὸν αὐτὸν λόγον λέγων πρὸς τοὺς αὐτοὺς ἄνδρας περὶ τῶν αὐτῶν τὰ ἐναντιώτατα λέγει; Βουλοί- 26

μαρτ. Ald. S.: μόνῳ μαρτ. — δυνατόν auct. R. S.: ἀδύνατον.

24. τὸ δὴ λοιπὸν AB: τὸ δὲ λοιπὸν. — μὴ εἰδότα Ald. Bk.: εἰδότα (οὐκ εἰδότα S.). — ἀλλὰ μὴν τό γε δοξ. κτέ.] eadem sententiae conformatio est ap. Demosth. 18, 192. — οὔτε τὴν Ald. Bk.: οὐδὲ τὴν.

25. ὥπερ corr. L (ci. R.) Bk.: ὧπερ Z, ὅπερ L pr. et AB, ὥςπερ Ald. — ἀφ' ὧν τις τοὺς Ald.: om. τις v.

μην δ' ἂν παρὰ σοῦ πυθέσθαι, πότερον τοὺς σοφοὺς ἄνδρας νομίζεις ἀνοήτους ἢ φρονίμους. εἰ μὲν γὰρ ἀνοήτους, καινὸς ὁ λόγος, ἀλλ' οὐκ ἀληθής· εἰ δὲ φρονίμους, οὐ δήπου προσήκει τούς γε φρονοῦντας ἐξαμαρτάνειν τὰς μεγίστας ἁμαρτίας καὶ μᾶλλον αἱρεῖσθαι κακὰ πρότερον τῶν ἀγαθῶν. εἰ μὲν οὖν εἰμὶ σοφός, οὐχ ἥμαρτον· εἰ δ' ἥμαρτον, οὐ σοφός εἰμι. ὥστε δι' ἀμφότερα ἂν εἴης ψευδής.

27 *Ἀντικατηγορῆσαι δέ σου πολλὰ καὶ μεγάλα καὶ παλαιὰ καὶ νέα προσόντα δυνάμενος οὐ βούλομαι· βούλομαι γὰρ οὐ τοῖς σοῖς κακοῖς ἀλλὰ τοῖς ἐμοῖς ἀγαθοῖς ἀποφεύγειν τὴν αἰτίαν ταύτην. πρὸς μὲν οὖν σὲ ταῦτα.*

28 *Πρὸς δ' ὑμᾶς ὦ ἄνδρες κριταὶ περὶ ἐμαυτοῦ*
βούλομαι εἰπεῖν (λόγον) ἐπίφθονον μὲν ἀληθῆ δέ,
(μὴ) κατηγορημένου μὲν οὐκ ἀνεκτόν, κατηγορουμέ-
νῳ δὲ προσήκοντα. νῦν γὰρ ἐν ὑμῖν εὐθύνας καὶ
λόγον ὑπέχω τοῦ παροιχομένου βίου. δέομαι οὖν
ὑμῶν, ἂν ὑμᾶς ὑπομνήσω τῶν ἐμοί τι πεπραγμένων
καλῶν, μηδένα φθονῆσαι τοῖς λεγομένοις, ἀλλ' ἀναγ-
καῖον ἡγήσασθαι κατηγορημένον δεινὰ καὶ ψευδῆ
καί τι τῶν ἀληθῶν ἀγαθῶν εἰπεῖν ἐν εἰδόσιν ὑμῖν·
29 *ὅπερ ἥδιστόν μοι. πρῶτον μὲν οὖν καὶ δεύτερον καὶ*

26. *καινὸς* S.: *κενὸς*. Quamquam vulgata defendi potest. — *τούς γε* Ald. Bk.: *τούς τε*. — *εἴης ψευδής*] *εἴη ψ.* A.
27. *προσόντα* scripsi: *πράσσοντος*. — *βούλομαι* alterum om. ABLZ.
28. *ἐμαυτοῦ* scripsi: *ἐμοῦ*. — *ἀληθῆ* et *ἀνεκτόν* scripsi: *ἀληθὲς* et *ἀνεκτά*. — *μὴ κατηγορημένου* scripsi: *κατηγορημένου* Ald. Bk., *κατηγορημένῳ* codd. — *κατηγορουμένῳ δὲ* scr. cum ALZ: *κατηγορουμένου δὲ οὐ*. — *δεινὰ* auct. Steph. R.: *δεῖν*. — *ὅπερ ἥδιστον* R.: *ὑπερήδιστον*.
29. *καὶ* ante *μέγιστον* add. AB Bk. (ci. R.). —

μέγιστον, διὰ παντὸς ἀπ' ἀρχῆς εἰς τέλος ἀναμάρτητος
ὁ παροιχόμενος βίος ἐστί μοι, καθαρὸς πάσης αἰτίας·
οὐδεὶς γὰρ ἂν οὐδεμίαν αἰτίαν κακότητος ἀληθῆ
πρὸς ὑμᾶς περὶ ἐμοῦ εἰπεῖν ἔχοι. καὶ γὰρ οὐδ' αὐτὸς
ὁ κατήγορος οὐδεμίαν ἀπόδειξιν εἴρηκεν ὧν εἴρηκεν·
οὕτω λοιδορίαν οὐκ ἔχουσαν ἔλεγχον ὁ λόγος αὐτῷ
δύναται. φήσαιμι δ' ἄν, καὶ φήσας οὐκ ἂν ψευσαί- 30
μην οὐδ' ἂν ἐλεγχθείην, οὐ μόνον ἀναμάρτητος ἀλλὰ
καὶ μέγας εὐεργέτης ὑμῶν καὶ τῶν Ἑλλήνων καὶ τῶν
ἁπάντων ἀνθρώπων, οὐ μόνον τῶν νῦν ὄντων ἀλλὰ
(καὶ) τῶν μελλόντων, εἶναι. τίς γὰρ ἄλλος ἐποίησε
τὸν ἀνθρώπινον βίον πόριμον ἐξ ἀπόρου καὶ κεκο-
σμημένον ἐξ ἀκόσμου, τάξεις τε πολεμίας εὑρών, μέ-
γιστον εἰς πλεονεκτήματα, νόμους τε γραπτούς, |
φύλακας τοῦ δικαίου, γράμματά τε μνήμης ὄργανον,
μέτρα τε καὶ σταθμά, συναλλαγῶν εὐπόρους διαλλα-
γάς, ἀριθμόν τε χρημάτων φύλακα, πυρσούς τε,
κρατίστους καὶ ταχίστους ἀγγέλους, πεσσούς τε, σχο-
λῆς ἄλυπον διατριβήν; τίνος οὖν ἕνεκα ταῦθ' ὑμᾶς 31
ὑπέμνησα; δηλῶν (μὲν) ὅτι τοῖς τοιούτοις τὸν νοῦν
προσέχω, σημεῖον δὲ ποιούμενος ὅτι τῶν αἰσχρῶν καὶ
τῶν κακῶν ἔργων ἀπέχομαι· τὸ γὰρ ἐκείνοις τὸν
νοῦν προσέχοντα τοῖς τοιούτοις προσέχειν ἀδύνατον.

πάσης] ἁπάσης Z. — αἰτίαν] ἐλπίδα Z.
30. οὐ μόνον τῶν auct. R. S.: οὔκουν τῶν. — καὶ post ἀλλὰ addidi auct. R. — ἄλλος S.: ἂν. — πολεμικὰς Ald., sicut est Alcid. Odyss. 22. — πλεονέκτημα Z, et ci. R. — φύλακας τοῦ auct. R. Bk.: φύλακάς τε τοῦ. — διαλλακτάς ci. R. et Valckenaer Ceterum versuum iambicorum in his vestigia facile agnoscas.
31. δηλῶν ὅτι τοῖς τοιούτοις τὸν νοῦν προσέχω ci. R.: δῆλον οὐ τ. τ. τ. ν. προσέχων. — τὸ γὰρ codd. Bk.: τὸν γὰρ Ald.

ἀξιῶ δέ, εἰ μηδὲν αὐτὸς ὑμᾶς ἀδικῶ, μηδὲ αὐτὸς ὑφ'
32 ὑμῶν ἀδικηθῆναι. καὶ γὰρ οὐδὲ τῶν ἄλλων ἐπιτηδευμάτων εἵνεκα ἄξιός εἰμι κακῶς πάσχειν, οὔθ' ὑπὸ νεωτέρων οὔθ' ὑπὸ πρεσβυτέρων. τοῖς μὲν γὰρ πρεσβυτέροις ἄλυπός εἰμι, τοῖς δὲ νεωτέροις οὐκ ἀνωφελής· τοῖς εὐτυχοῦσιν οὐ φθονερός, τῶν δυστυχούντων οἰκτίρμων· οὔτε πενίας ὑπερορῶν, οὔτε πλοῦτον ἀρετῆς ἀλλ' ἀρετὴν πλούτου προτιμῶν· οὔτε ἐν βουλαῖς ἄχρηστος οὔτε ἐν μάχαις ἀργός, ποιῶν τὸ τασσόμενον, πειθόμενος τοῖς ἄρχουσιν. ἀλλὰ γὰρ οὐκ ἐμὸν ἐμαυτὸν ἐπαινεῖν· ὁ δὲ παρὼν καιρὸς ἠνάγκασε, καὶ ταῦτα κατηγορημένον, πάντως ἀπολογήσασθαι.

33 Λοιπὸς δὲ περὶ ὑμῶν πρὸς ὑμᾶς ἐστί μοι λόγος, ὃν εἰπὼν παύσομαι τῆς ἀπολογίας. οἶκτος μὲν οὖν καὶ λιταὶ καὶ φίλων παραίτησις ἐν ὄχλῳ μὲν οὔσης τῆς κρίσεως χρήσιμα· παρὰ δ' ὑμῖν τοῖς πρώτοις οὖσι τῶν Ἑλλήνων καὶ δοκοῦσιν, οὐ φίλων βοηθείαις οὐδὲ λιταῖς οὐδὲ οἴκτοις δεῖ πείθειν ὑμᾶς, ἀλλὰ τῷ σαφεστάτῳ δικαίῳ, διδάξαντα τἀληθές, οὐκ ἀπα-
34 τήσαντά με δεῖ διαφυγεῖν τὴν αἰτίαν ταύτην. ὑμᾶς δὲ χρὴ μὴ τοῖς λόγοις μᾶλλον ἢ τοῖς ἔργοις προσέχειν τὸν νοῦν, μηδὲ τὰς αἰτίας τῶν ἐλέγχων προκρίνειν, μηδὲ τὸν ὀλίγον χρόνον τοῦ πολλοῦ σοφώτερον ἡγεῖσθαι κριτήν, μηδὲ τὴν διαβολὴν τῆς πείρας πι-

32. εἵνεκα scripsi coll. Antiph. 3 β 10: οὐδὲ τῶν ἐπιτηδευμάτων εἵνεκα δίκαιοι τοιούτων κακῶν ἀξιοῦσθαί ἐσμεν: οὕνεκα. — οὔτε πενίας et οὔτε πλοῦτον ci. R.: οὐδὲ π. et οὐδὲ πλ. — ἀργός auct. R. S.: ἀργῶς. — προστασσόμενον auct. R. Bk. — καὶ πειθόμενος S. — καὶ (εἰς) ταῦτα κατηγ. ci. R.

33. λοιπὸν AZ. — λιταὶ] τι ABL. — χρήσιμα· παρὰ δ' ὑμῖν Ald. Bk.: χρήμασι παρὰ δύναμιν.

στοτέραν νομίζειν. ἅπαντα (μὲν) γὰρ τοῖς ἀγαθοῖς
ἀνδράσι μεγάλης εὐλαβείας ἁμαρτάνειν, τὰ δὲ ἀνή-
κεστα τῶν ἀκεστῶν ἔτι μᾶλλον· ταῦτα γὰρ προνοή-
σασι μὲν ἀδύνατα, μετανοήσασι δὲ ἀνίατα. τῶν δὲ
τοιούτων ἐστίν, ὅταν ἄνδρες ἄνδρα περὶ θανάτου
κρίνωσιν· ὅπερ ἐστὶ νῦν παρ' ὑμῖν. εἰ μὲν οὖν ἦν 35
διὰ τῶν λόγων τὴν ἀλήθειαν τῶν ἔργων καθαρὰν
γενέσθαι τοῖς ἀκούουσι φανεράν, εὔπορος ἂν ἦν ἡ
κρίσις ἤδη ἀπὸ τῶν εἰρημένων· ἐπειδὴ δὲ οὐχ οὕ-
τως ἔχει, τὸ μὲν σῶμα τοὐμὸν φυλάξατε, τὸν δὲ
πλείω χρόνον ἐπιμείνατε, μετὰ δὲ τῆς ἀληθείας τὴν
κρίσιν ποιήσατε. ὑμῖν μὲν γὰρ μέγας ὁ κίνδυνος
ἀδίκοις φανεῖσι δόξαν τὴν μὲν καταβαλεῖν, τὴν δὲ
κτήσασθαι. τοῖς δὲ ἀγαθοῖς ἀνδράσιν αἱρετώτερος
θάνατος δόξης αἰσχρᾶς· ὁ μὲν γὰρ τοῦ βίου τέλος,
ἡ δὲ τῷ βίῳ νόσος. ἐὰν δὲ ἀδίκως ἀποκτείνητέ με, 36
πολλοῖς γενήσεται φανερόν· ἐγώ τε γὰρ (οὐκ) ἀγνώς,
ὑμῖν τε παρὰ πᾶσιν Ἕλλησι γνώριμος ἡ κακότης καὶ
φανερά. καὶ τὴν αἰτίαν [φανερὰν] ἅπασαν ὑμεῖς
ἕξετε τῆς ἀδικίας, οὐχ ὁ κατήγορος· ἐν ὑμῖν γὰρ τὸ

34. *μὲν* post *ἅπαντα* addi iub. R. — *μεγάλοις* A. — *ἀκεστῶν* auct. Steph. R.: *ἀνηκέστων*. — *ἀδύνατα* S.: *δυνατά* (*φυλάξασθαι δυνατά* ci. R.). — cf. autem Antiph. 5, 91.

35. His quoque similia profert Mytilenaeus ap. Antiph. 5, 86, neque vero Palamedis conditioni apta esse videntur. — *γε* post *καθαράν* add. ABLZ. *καθαρῶς* S. — *ἦν ἡ*] *εἴη* v.; *ἡ* ante *κρίσις* auct. R. add. Bk. — *ἤδη ἀπὸ* A Bk.: *ἡ διὰ*. — *ἐπεὶ* Z. — *ὁ μὲν* Ald. Bk.: *τὸ μὲν* codd.

36. *οὐκ ἀγνώς* cum Steph. R. S.: *ἁγνός*. — *παρά* om. ABLZ S., qui pro *ὑμῖν* ci. *ἐκείνου* (h. e. Ulyssis). — cum his conferas quae Plataeenses dicunt ap. Thucyd. 3, 57: *οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε, ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν*. — *ἅπασιν* auct. Steph. R. S. (*ἐν*

τέλος ἐστὶ τῆς δίκης. ἁμαρτία δ᾿ οὐκ ἂν γένοιτο μείζων ταύτης. οὐ γὰρ μόνον εἰς ἐμὲ καὶ τοκέας τοὺς ἐμοὺς ἁμαρτήσεσθε δικάσαντες ἀδίκως, ἀλλ᾿ ὑμῖν αὐτοῖς δεινὸν ἄθεον ἄδικον ἄνομον ἔργον συνεπιστήσεσθε πεποιηκότες, ἀπεκτονότες ἄνδρα σύμμαχον, χρήσιμον ὑμῖν, εὐεργέτην τῆς Ἑλλάδος, Ἕλληνες Ἕλληνα, φανερὰν οὐδεμίαν ἀδικίαν οὐδὲ πιστὴν αἰτίαν ἀποδείξαντες.

37 Εἴρηται τὰ παρ᾿ ἐμοῦ, καὶ παύομαι. τὸ γὰρ ὑπομνῆσαι τὰ διὰ μακρῶν εἰρημένα συντόμως πρὸς μὲν φαύλους δικαστὰς ἔχει λόγον· τοὺς δὲ πρώτους τῶν πρώτων Ἕλληνας Ἑλλήνων οὐκ ἄξιον οὐδ᾿ ἀξιῶσαι μήτε προσέχειν τὸν νοῦν μήτε μεμνῆσθαι τὰ λεχθέντα.

ΑΝΤΙΣΘΕΝΟΥΣ ΑΙΑΣ.

663 Ἐβουλόμην ἂν τοὺς αὐτοὺς ἡμῖν δικάζειν οἵπερ
1 καὶ ἐν τοῖς πράγμασι παρῆσαν· οἶδα γὰρ ὅτι ἐμὲ μὲν
664 ἔδει σιωπᾶν, τούτῳ δ᾿ οὐδὲν ἂν ἦν πλέον | λέγοντι·
νῦν δὲ οἱ μὲν παραγενόμενοι αὐτοῖς τοῖς ἔργοις ἄπεισιν, ὑμεῖς δὲ οἱ οὐδὲν εἰδότες δικάζετε. καίτοι ποία

ἅπασιν mal. R.); ego *φανερὰν* potius secludendum duxi. — *ἐστὶ* ci. R.: *ἔχει*. S. ex eiusdem coni. *ἡ δίκη* pro *τῆς δίκης* scripsit. Similiter autem Antipho 5, 89 et 6, 6: *ἡ μὲν γὰρ τούτων αἰτίασις οὐκ ἔχει τέλος, ἀλλ᾿ ἐν ὑμῖν ἐστι καὶ τῇ δίκῃ*. — *ἀπεκτενότες* AL.

ΑΝΤΙΣΘΕΝΗΣ. Codd. Bekkeri CJMNX; quibus accedit b.

Inscr. *ΑΙΑΣ* CJMN Bk.: *ΛΟΓΟΣ ΑΙΑΝΤΟΣ* (*Αἴας ἢ Αἴαντος λόγος* Diog. La. 6, 15).

1. *αὐτοῖς τοῖς* auct. Bk. S.: *τοῖς αὐτοῖς*. (*τοῖς ἔ. αὐτοῖς* ci. R.).

τις ἂν δίκη δικαστῶν μὴ εἰδότων γένοιτο, καὶ ταῦτα διὰ λόγων; τὸ δὲ πρᾶγμα ἐγίγνετο ἔργῳ. Τὸ μὲν οὖν 2 σῶμα τοῦ Ἀχιλλέως ἐκόμισα ἐγὼ φέρων, τὰ δὲ ὅπλα ὅδε, ἐπιστάμενος ὅτι οὐ τῶν ὅπλων μᾶλλον ἐπεθύμουν οἱ Τρῶες ἀλλὰ τοῦ νεκροῦ κρατῆσαι. τοῦ μὲν γὰρ εἰ ἐκράτησαν, ᾔκίσαντό τε ἂν τὸ σῶμα καὶ τὰ λύτρα τοῦ Ἕκτορος ἐκομίσαντο· τὰ δὲ ὅπλα τάδε οὐκ ἂν ἀνέθεσαν τοῖς θεοῖς ἀλλ' ἀπέκρυψαν, δεδιότες 3 τόνδε τὸν ἀγαθὸν ἄνδρα, ὃς καὶ πρότερον ἱεροσυλήσας αὐτῶν τὸ ἄγαλμα τῆς θεοῦ νύκτωρ ὥςπερ τι καλὸν ἐργασάμενος ἐπεδείκνυτο τοῖς Ἀχαιοῖς. κἀγὼ μὲν ἀξιῶ λαβεῖν ἵν' ἀποδῶ τὰ ὅπλα τοῖς φίλοις, οὗτος δὲ ἵν' ἀποδῶται, ἐπεὶ χρῆσθαί γε αὐτοῖς οὐκ ἂν τολμήσειε· δειλὸς γὰρ οὐδεὶς ἂν ἐπισήμοις ὅπλοις χρήσαιτο, εἰδὼς ὅτι τὴν δειλίαν αὐτοῦ ἐκφαίνει τὰ ὅπλα.

Σχεδὸν μὲν οὖν ἐστιν ἅπαντα ὅμοια. οἵ τε γὰρ 4 διαθέντες τὸν ἀγῶνα βασιλεῖς ἑκόντες εἶναι περὶ ἀρετῆς κρίνειν ἐπέτρεψαν ἄλλοις, οἵ τε οὐδὲν εἰδότες δικάσειν ὑπισχνεῖσθε περὶ ὧν οὐκ ἴστε. ἐγὼ δὲ ἐπίσταμαι τοῦτο, ὅτι οὐδεὶς ἂν βασιλεὺς ἱκανὸς ὢν περὶ ἀρετῆς κρίνειν ἐπιτρέψειεν ἄλλοις μᾶλλον ἤπερ ἀγαθὸς ἰατρὸς διαγνῶναι νοσήματα ἄλλῳ παρείη.

Καὶ εἰ μὲν ἦν μοι πρὸς ἄνδρα ὁμοιότροπον, 5 οὐδ' ἂν ἡττᾶσθαί μοι διέφερε· νῦν δ' οὐκ ἔστιν ὃ

2. ἀλλὰ S.: ἀλλ' ἢ. — ἀνέθεσαν codd. Bk.: ἀνέθηκαν.
3. αὐτῶν codd. Bk: αὐτῆς (αὐτοῖς ci. R. Winckelm.). — ἂν ante ἐπισήμοις om. C.
4. ὅμοια sanum mihi non videtur. — βασιλεῖς ἑκόντες εἶναι Ald. Bk.: οὐκ ὄντες εἶναι βασιλεῖς codd. (ἑκόντες εἶναι om. βασ. S.; οὐκ ὄντες ἱκανοὶ βασ. ci. R.).
5. ἦν μοι] addi vult Steph. ὁ ἀγών, Winckelm. δια-

διαφέρει πλέον ἐμοῦ καὶ τοῦδε. ὁ μὲν γὰρ οὐκ ἔστιν
ὅ τι ἂν δράσειε φανερῶς, ἐγὼ δὲ οὐδὲν ἂν λάθρα
τολμήσαιμι πρᾶξαι. κἀγὼ μὲν οὐκ ἂν ἀνασχοίμην
κακῶς ἀκούων, οὐδὲ γὰρ κακῶς πάσχων, ὁ δὲ κἂν
6 κρεμάμενος, εἴ γε κερδαίνειν τι μέλλοι· ὅςτις γε μα-
στιγοῦν παρεῖχε τοῖς δούλοις καὶ τύπτειν ξύλοις τὰ
νῶτα καὶ πυγμαῖς τὸ πρόςωπον, κἄπειτα περιβαλό-
μενος ῥάκη, τῆς νυκτὸς εἰς τὸ τεῖχος εἰςδὺς τῶν
πολεμίων, ἱεροσυλήσας ἀπῆλθεν. καὶ ταῦτα ὁμολο-
γήσει ποιεῖν, ἴσως δὲ καὶ πείσει λέγων ὡς καλῶς πέ-
πρακται. ἔπειτα τῶν Ἀχιλλέως ὅπλων ὅδε ὁ μαστι-
γίας καὶ ἱερόσυλος ἀξιοῖ κρατῆσαι;
7 Ἐγὼ μὲν οὖν ὑμῖν λέγω τοῖς οὐδὲν εἰδόσι κρι-
ταῖς καὶ δικασταῖς, μὴ εἰς τοὺς λόγους σκοπεῖν περὶ
ἀρετῆς κρίνοντας, ἀλλ' εἰς τὰ ἔργα μᾶλλον. καὶ γὰρ
ὁ πόλεμος οὐ λόγῳ κρίνεται ἀλλ' ἔργῳ· οὐδ' ἀντι-
λέγειν ἔξεστι πρὸς τοὺς πολεμίους, ἀλλ' ἢ μαχομέ-
νους (δεῖ) κρατεῖν ἢ δουλεύειν σιωπῇ. πρὸς ταῦτα
ἀθρεῖτε, καὶ σκοπεῖτε ὡς, εἰ μὴ δικάσετε καλῶς,
γνώσεσθε ὅτι οὐδεμίαν ἔχει λόγος πρὸς ἔργον ἰσχύν.
8 οὐδ' ἔστιν ὑμᾶς ὅ τι λέγων ἀνὴρ ὠφελήσει, εἴσεσθε
δὲ ἀκριβῶς ὅτι δι' ἀπορίαν ἔργων πολλοὶ καὶ μακροὶ
665 λόγοι | λέγονται. ἀλλ' ἢ λέγετε ὅτι οὐ ξυνίετε τὰ
λεγόμενα, καὶ ἀνίστασθε, ἢ δικάζετε ὀρθῶς. καὶ
ταῦτα μὴ κρύβδην φέρετε, ἀλλὰ φανερῶς, ἵνα γνῶτε

φορά; S. conf. Isocr. 4, 12. — ὁ μὲν γὰρ] ὁ μὲν C. — εἴ γε] εἰ CJXb.

7. δικάσητε Ald. — γνώσεσθε C Bk. (ci. R.): γνώσετε JMN, γνωσθήσεσθε v. — ἀνὴρ scripsi: ἀνήρ.

8. ὅτι οὐ κριταὶ τ. λ. ἀλλὰ δοξασταὶ CJXb Bk.: ὅτι κριταὶ τ. λ. ἀλλὰ μὴ δοξασταί, quod fort. etiam praestat.

ὅτι καὶ αὐτοῖς τοῖς δικάζουσι δοτέα δίκη ἐστίν, ἂν μὴ δικάσωσιν ὀρθῶς. κἄπειτ' ἴσως γνώσεσθε ὅτι οὐ κριταὶ τῶν λεγομένων ἀλλὰ δοξασταὶ κάθησθε.
9 ἐγὼ δὲ διαγιγνώσκειν μὲν ὑμῖν περὶ ἐμοῦ καὶ τῶν ἐμῶν ἐπιτρέπω, διαδοξάζειν δὲ ἅπασιν ἀπαγορεύω, καὶ ταῦτα περὶ ἀνδρὸς ὃς οὐχ ἑκὼν ἀλλ' ἄκων ἀφῖκται εἰς Τροίαν, καὶ περὶ ἐμοῦ ὃς πρῶτος ἀεὶ καὶ μόνος καὶ ἄνευ τείχους τέταγμαι.

ΑΝΤΙΣΘΕΝΟΥΣ ΟΔΥΣΣΕΥΣ.

Οὐ πρὸς σέ μοι μόνον ὁ λόγος, δι' ὃν ἀνέστην, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας· πλείω γὰρ ἀγαθὰ πεποίηκα τὸ στρατόπεδον ἐγὼ ἢ ὑμεῖς ἅπαντες. καὶ ταῦτα καὶ ζῶντος ἂν ἔλεγον Ἀχιλλέως, καὶ νῦν τεθνεῶτος λέγω πρὸς ὑμᾶς. ὑμεῖς μὲν γὰρ οὐδεμίαν ἄλλην μάχην μεμάχησθε, ἣν οὐχὶ καὶ ἐγὼ μεθ' ὑμῶν· ἐμοὶ δὲ τῶν ἰδίων κινδύνων οὐδεὶς ὑμῶν οὐδὲν ξύνοιδε.
2 καίτοι ἐν μὲν ταῖς κοιναῖς μάχαις, οὐδὲ εἰ καλῶς ἀγωνίζοισθε, πλέον ἐγίγνετο οὐδέν· ἐν δὲ τοῖς ἐμοῖς κινδύνοις, οὓς ἐγὼ μόνος ἐκινδύνευον, εἰ μὲν κατορθώσαιμι, ἅπαντα ἡμῖν ἐπετελεῖτο ὧν ἕνεκα δεῦρο ἀφίγμεθα, εἰ δ' ἐσφάλην, ἐμοῦ ἂν ἑνὸς

ΟΔΥΣΣΕΥΣ. Inscr. *ΛΟΓΟΣ ΟΔΥΣΣΕΩΣ* X Ald.; *Ὀδυσσεὺς ἢ ὑπὲρ Ὀδυσσέως* Diog. La. l. c.

1. *καὶ* post *ταῦτα* om. JMNb. — *μὲν* post *ὑμεῖς* om. C. — *οὐδὲν*] *οὐδὲ* C.

2. *οὐδὲ εἰ* auct. R. Bk.: *οὔτε εἰ.* — *ἡμῖν* auct. R. S.: *ὑμῖν.* — *δεῦρο* post *ἕνεκα* add. CX Bk. — *δ' ἐσφάλην* Spengel: *δὲ σφαλείην.* — *τήν τε Ἑλένην*] *τε* om. C.

ἀνδρὸς ἐστέρησθε. οὐ γὰρ ἵνα μαχοίμεθα τοῖς Τρωσὶ
δεῦρ᾽ ἀφίγμεθα, ἀλλ᾽ ἵνα τήν τε Ἑλένην ἀπολάβοι-
3 μεν καὶ τὴν Τροίαν ἕλοιμεν. ταῦτα δ᾽ ἐν τοῖς ἐμοῖς
κινδύνοις ἐνῆν ἅπαντα. ὅπου γὰρ ἦν κεχρημένον
ἀνάλωτον εἶναι τὴν Τροίαν, εἰ μὴ πρότερον τὸ ἄγαλ-
μα τῆς θεοῦ λάβοιμεν τὸ κλαπὲν παρ᾽ ἡμῶν, τίς
ἐστιν ὁ κομίσας δεῦρο τὸ ἄγαλμα ἄλλος ἢ ἐγώ; ὃν
σύ γε ἱεροσυλίας κρίνεις. σὺ γὰρ οὐδὲν οἶσθα, ὅςτις
τὸν ἄνδρα τὸν ἀνασώσαντα τὸ ἄγαλμα τῆς θεοῦ, ἀλλ᾽
οὐ τὸν ὑφελόμενον παρ᾽ ἡμῶν Ἀλέξανδρον, ἀποκα-
4 λεῖς ἱερόσυλον. καὶ τὴν Τροίαν μὲν ἁλῶναι ἅπαντες
εὔχεσθε, ἐμὲ δὲ τὸν ἐξευρόντα ὅπως ἔσται τοῦτο
ἀποκαλεῖς ἱερόσυλον; καίτοι εἴπερ καλόν γε ἦν ἑλεῖν
τὸ Ἴλιον, καλὸν καὶ τὸ εὑρεῖν τὸ τούτου αἴτιον. καὶ
οἱ μὲν ἄλλοι χάριν ἔχουσι, σὺ δὲ καὶ ὀνειδίζεις ἐμοί·
5 ὑπὸ γὰρ ἀμαθίας ὧν εὖ πέπονθας οὐδὲν οἶσθα. κά-
γὼ μὲν οὐκ ὀνειδίζω σοι τὴν ἀμαθίαν· ἄκων γὰρ
αὐτὸ καὶ σὺ καὶ (οἱ) ἄλλοι πεπόνθασιν ἅπαντες· ἀλλ᾽
ὅτι διὰ τὰ ὀνείδη τὰ ἐμὰ σωζόμενος οὐχ οἷός τε εἶ
πείθεσθαι, ἀλλὰ καὶ προςαπειλεῖς ὡς κακὸν δράσων
666 τι τούςδε, ἐὰν | ἐμοὶ τὰ ὅπλα ψηφίσωνται. ἐγὼ δ᾽
οἶδα ὡς καὶ πολλάκις γε ἀπειλήσεις καὶ πολλά, πρὶν
καὶ σμικρόν τι ἐργάσασθαι· ἀλλ᾽ εἴπερ ἐκ τῶν εἰκό-

3. εἰ μὴ] εἰ μὲν JMNb. — σὺ γὰρ auct. R. S.: σύ γε. — οἶσθας MNXb.

4. num εἴπερ καλὸν ἑλεῖν τὸ Ἴλιον, καλόν γε ἦν κτέ.? — εὖ om. C.

5. οἱ auct. Bk. add. S. — πεπόνθατε J (Bk.); πεπόνθαται M, πέπονθα Nb. — ἀλλ᾽ ὅτι] num ὅςτις del. ἀλλ᾽? — δράσων τι auct. Steph. R.: δράσαντι. — ἐγὼ δ᾽ οἶδα ὡς cum C add. Bk. (om. S.). — γε om. C (Bk.); δὲ S. —

των τι χρὴ τεκμαίρεσθαι, ὑπὸ τῆς κακῆς ὀργῆς οἴομαί σε κακόν τι σαυτὸν ἐργάσεσθαι.

6 Καὶ ἐμοὶ μέν, ὅτι τοὺς πολεμίους κακῶς ἐποίησα, δειλίαν ὀνειδίζεις· σὺ δὲ ὅτι φανερῶς ἐμόχθεις καὶ μάτην ἠλίθιος ἦσθα, [ὅτι] μετὰ πάντων τοῦτο δράσας οἴει βελτίων εἶναι. ἔπειτα περὶ ἀρετῆς πρὸς ἐμὲ λέγεις· ὃς πρῶτον μὲν οὐκ οἶσθα οὐδ' ὅπως ἔδει μάχεσθαι, ἀλλ' ὥςπερ ὗς ἄγριος ὀργῇ φερόμενος τάχ' ἄν ποτε ἀποκτενεῖς σαυτὸν κακῶς περιπεσὼν τῷ ξίφει), καὶ οὐκ οἶσθα ὅτι τὸν ἄνδρα τὸν ἀγαθὸν οὔθ' ὑφ' αὑτοῦ χρὴ οὔθ' ὑφ' ἑτέρου οὔθ' ὑπὸ τῶν πολε-

7 μίων κακὸν οὐδ' ὁτιοῦν πάσχειν. σὺ δὲ ὥςπερ οἱ παῖδες χαίρεις ὅτι σέ φασιν οἵδε ἀνδρεῖον εἶναι· ἐγὼ δὲ δειλότατόν γε ἁπάντων τε καὶ δεδιότα τὸν θάνατον μάλιστα· ὅςτις γε πρῶτον ὅπλα ἔχεις ἄρρηκτα καὶ ἄτρωτα, δι' ἅπερ σέ φασιν οὐ τρωτὸν εἶναι. καίτοι τί ἂν δράσαις, εἴ τις σοὶ τῶν πολεμίων τοιαῦτα ὅπλα ἔχων προςέλθοι; ἦ που καλόν τι καὶ θαυμαστὸν ἂν εἴη, εἰ μηδέτερος ὑμῶν μηδὲν δρᾶσαι δύναιτο. ἔπειτα οἴει τι διαφέρειν τοιαῦτα ὅπλα ἔχειν ἢ ἐντὸς τείχους καθῆσθαι; καὶ σοὶ μόνῳ δὴ τεῖχος

ἐργάσεσθαι Ald.: ἐργάσασθαι hic quoque codd. (Bk. S.).
6. ὅτι φανερῶς] εἴ τι φ. ci. R. — ὅτι ante μετὰ del. S. — τοῦτο δράσας JMNXb S.: τοῦτ' ἔδρασας C Bk. et auct. Steph. R.; ἔδρασας et deinde οἴει τούτῳ β. εἶναι Ald. — πρός με C. — κακῶς codd.: κακῷ Ald. Bk. — περιπεσών τῷ JXb Ald. Bk.; περιπεσόντα C, περιπεσώντων M, περιπεσων N. — καὶ ante οὐκ add. C (οὐδ' S.). — ὑφ' αὑτοῦ Steph. R.: ὑπ' αὐτοῦ (Bk. S.). — οὐδ' ὑπὸ τῶν?
7. τε post ἁπάντων cum C om. Bk. ἐγὼ δέ γε δειλότατόν τε ἁπάντων σὲ ci. R. — οὐ τρωτὸν] ἄτρωτον C, πρῶτον JMNb. — δράσαις] δράσῃς CJMNXb. — ἔχειν auct. R. S.: ἔχων. —

οὐκ ἔστιν, ὡς σὺ φῄς· μόνος μὲν οὖν σύ γε ἑπτα-
8 *βόειον περιέρχῃ τεῖχος προβαλλόμενος ἑαυτοῦ· ἐγὼ*
δὲ ἄοπλος οὐ πρὸς τὰ τείχη τῶν πολεμίων ἀλλ᾽ εἰς
αὐτὰ εἰςέρχομαι τὰ τείχη, καὶ τῶν πολεμίων τοὺς
προφύλακας ἐγρηγορότας αὐτοῖς ὅπλοις αἱρῶ, καὶ
εἰμὶ στρατηγὸς καὶ φύλαξ καὶ σοῦ καὶ τῶν ἄλλων
ἁπάντων, καὶ οἶδα τά τ᾽ ἐνθάδε καὶ τὰ ἐν τοῖς πο-
λεμίοις, οὐχὶ πέμπων κατασκεψόμενον ἄλλον, ἀλλ᾽
αὐτὸς (ἰών)· ὥςπερ (δὲ) οἱ κυβερνῆται τὴν νύκτα
καὶ τὴν ἡμέραν σκοποῦσιν ὅπως σώσουσι τοὺς ναύ-
τας, οὕτω δὲ καὶ ἔγωγε καὶ σὲ καὶ τοὺς ἄλλους ἅπαν-
9 *τας σώζω. οὐδ᾽ ἔστιν ὅντινα κίνδυνον ἔφυγον αἰ-*
σχρὸν ἡγησάμενος, ἐν ᾧ μέλλοιμι τοὺς πολεμίους
κακόν τι δράσειν· οὐδ᾽ εἰ μὲν ὄψεσθαί μέ τινες ἔμελ-
λον, γλιχόμενος ἂν τοῦ δοκεῖν ἐτόλμων· ἀλλ᾽ εἴτε
δοῦλος εἴτε πτωχὸς καὶ μαστιγίας ὢν μέλλοιμι τοὺς
πολεμίους κακόν τι δράσειν, ἐπεχείρουν ἄν, καὶ εἰ
μηδεὶς ὁρῴη. οὐ γὰρ δοκεῖν ὁ πόλεμος ἀλλὰ δρᾶν
ἀεὶ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ φιλεῖ τι. οὐδὲ ὅπλα
ἐστί μοι τεταγμένα, ἐν οἷς προκαλοῦμαι τοὺς πολε-
667 *μίους μάχεσθαι, ἀλλ᾽ ὅντινα ἐθέλει τις | τρόπον, καὶ*
10 *πρὸς ἕνα καὶ πρὸς πολλοὺς ἕτοιμός εἰμ᾽ ἀεί. οὐδ᾽*

περιέρχει MNb.

8. *προςέρχομαι* ante *ἀλλ᾽ εἰς* addi vol. R. — *ὅπλοις* C Bk.: *ὅπλοισιν.* — *πέμπω* JMNXb. — *τοὺς ναύτας*] *τὰς ναῦς* C.

9. *γλιχόμενος ἂν*] *γλ. ἀεὶ* C. — si deleatur *πτωχὸς*, et versus existat et offensio tollatur, quam praebent *πτωχὸς* et *μαστιγ.* iuncta et v. *δοῦλος* opposita. sequuntur certe versus: *οὐ γὰρ δοκεῖν ὁ πόλεμος ἀλλὰ δρᾶν ἀεὶ* | *κἀν ἡμέρᾳ κἀν νυκτὶ* _ ⏑ _ *φιλεῖ.* — *ὢν*] *δοκῶν* ci. R. — *πόλεμος*] *πολέμιος* C. — *προκαλ. τοὺς πολεμίους* auct. R. S.: *πρ. τοῖς πολεμίοις.* — *ἐθέλοι* Ald.

*ἡνίκα κάμνω μαχόμενος, ὥςπερ σύ, τὰ ὅπλα ἑτέροις
παραδίδωμι, ἀλλ' ὁπόταν ἀναπαύωνται οἱ πολέμιοι,
τότε αὐτοῖς τῆς νυκτὸς ἐπιτίθεμαι, ἔχων τοιαῦτα
ὅπλα ἃ ἐκείνους βλάψει μάλιστα. καὶ οὐδὲ νὺξ πώ-
ποτέ με ἀφείλετο, ὥςπερ σὲ πολλάκις μαχόμενον
ἄσμενον πέπαυκεν· ἀλλ' ἡνίκα ἂν ῥέγχῃς σύ, τηνι-
καῦτα ἐγὼ σώζω σέ, καὶ τοὺς πολεμίους ἀεὶ κακόν
τι ποιῶ, ἔχων τὰ δουλοπρεπῆ ταῦτα ὅπλα καὶ τὰ
ῥάκη καὶ τὰς μάστιγας, δι' ἃς σὺ ἀσφαλῶς καθεύδεις.*
Σὺ δ' ὅτι φέρων ἐκόμισας τὸν νεκρόν, ἀνδρεῖος 11
*οἴει εἶναι; ὃν εἰ μὴ ἠδύνω φέρειν, δύο ἄνδρες ἂν
ἐφερέτην. κἄπειτα κἀκεῖνοι περὶ ἀρετῆς ἴσως ἂν
ἡμῖν ἠμφισβήτουν. κἀμοὶ μὲν ὁ αὐτὸς ἂν πρὸς αὐ-
τοὺς ἦν λόγος· σὺ δὲ τί ἂν ἔλεγες ἀμφισβητῶν πρὸς
αὐτούς; ἢ δυοῖν μὲν οὐκ ἂν φροντίσαις, ἑνὸς δ' ἂν
αἰσχύνοιο ὁμολογῶν δειλότερος εἶναι; οὐκ οἶσθ' ὅτι* 12
*οὐ τοῦ νεκροῦ τοῖς Τρωσὶν ἀλλὰ τῶν ὅπλων ἔμελεν
ὅπως λάβοιεν; τὸν μὲν γὰρ ἀποδώσειν ἔμελλον, τὰ
δὲ ὅπλα ἀναθήσειν εἰς τὰ ἱερὰ τοῖς θεοῖς. τοὺς γὰρ
νεκροὺς οὐ τοῖς οὐκ ἀναιρουμένοις αἰσχρόν, ἀλλὰ
τοῖς μὴ ἀποδιδοῦσι θάπτειν. σὺ μὲν οὖν τὰ ἕτοιμα
ἐκόμισας· ἐγὼ δὲ τὰ ὀνειδιζόμενα ἀφειλόμην ἐκείνους.*
*Φθόνον δὲ καὶ ἀμαθίαν νοσεῖς, κακὼ ἐναντιω-
τάτω αὐτοῖς· καὶ ὁ μέν σε ἐπιθυμεῖν ποιεῖ τῶν κα-* 13
λῶν, ἡ δὲ ἀποτρέπει. ἀνθρώπινον μὲν οὖν τι πέ-

10. *βλάπτει* C. — *καὶ οὐδὲ* S.: *καὶ οὔτε.*
11. *ἴσως* scripsi: *πως.* — *τί ἂν*] malim *τί κἂν.* — num *ὁμολογεῖν?*
12. malim *καὶ οὐκ οἶσθ'* cf. §§ 6. 13, sine interrogationis signo.
13. *κακὼ ἐναντιωτάτω* C Bk. (ci. R.): *κακῶν ἐναντιώ-*

πονθας· διότι γὰρ ἰσχυρὸς εἶ, οἴει καὶ ἀνδρεῖος εἶναι, καὶ οὐκ οἶσθα ὅτι σοφίᾳ περὶ πόλεμον καὶ ἀνδρείᾳ οὐ ταὐτόν ἐστιν ἰσχῦσαι, ἀμαθία δὲ κακὸν μέγιστον
14 *τοῖς ἔχουσιν. οἶμαι δὲ, ἄν ποτέ τις ἄρα σοφὸς ποιητὴς περὶ ἀρετῆς γένηται, ἐμὲ μὲν ποιήσει πολύτλαντα καὶ πολύμητιν καὶ πολυμήχανον καὶ πτολίπορθον καὶ μόνον τὴν Τροίαν ἑλόντα, σὲ δέ, ὡς ἐγᾦμαι, τὴν φύσιν ἀπεικάζων τοῖς τε νωθέσιν ὄνοις καὶ βουσὶ ταῖς φορβάσιν, ἄλλοις παρέχουσι δεσμεύειν καὶ ζευγνύναι αὑτούς.*

[ΑΛΚΙΔΑΜΑΝΤΟΣ] ΟΔΥΣΣΕΥΣ

ΚΑΤΑ ΠΑΛΑΜΗΔΟΥΣ ΠΡΟΔΟΣΙΑΣ.

667 *Πολλάκις ἤδη ἐνεθυμήθην καὶ ἐθαύμασα, ὦ ἄνδρες Ἕλληνες, τὰς γνώμας τῶν λεγόντων, τί ποτε*
668 *ἄρα βουλόμενοι ῥᾳδίως δεῦρο παριόντες | συμβουλεύουσιν ὑμῖν, ἀφ' ὧν ὠφέλεια μὲν οὐδεμία ἐστὶ*

τατα. — *διότι γὰρ ἰσχυρὸς* CX, *διότι ἰσχ. εἶ* corr. N, *δότι γὰρ ἰσχυρὸς* JMb, *διότι γὰρ ἰ. εἶ* Bk.: *διὰ γὰρ τὸ εἶναι ἰσχυρὸς.* — *οἴει*] *εἴη* JMb. — *καὶ* ante *οὐκ* add. C Bk. (*οὐκ οἶσθα δὲ* J).

14. *πολύτλαντα* Bk.: *πολύτλαν τε.* — *τε* post *τοῖς* om. C. V. Il. XI, 558, — *ταῖς*] *τοῖς* JMN, *καὶ* C. V. Il. XIII, 703. — *παρέχουσι* auct. Reisk. et Toup. S.: *ὑπάρχουσι.* — *αὑτούς* auct. R. S.: *αὐτούς.*

ΑΛΚΙΔΑΜ. ΟΔΥΣΣΕΥΣ. Codd. Bk. ABCJMNXZ, quibus accedit b.

Inscr. *ΟΔΥΣΣΕΥΣ* AB Bk.: *ὀδυσσέως* JMNb; *λόγος Ὀδυσσέως* v.

1. *λεγόντων*] *λεγομένων* AB. — *παριόντες*] *πάριτε* AB. — *ὠφέλεια μὲν*] *μὲν ὠφ. ὑμῖν* AB. —

τῷ κοινῷ, λοιδορίαι δὲ πλεῖσται γίγνονται ἐν ἀλλήλοις, εἰκῇ τε λόγους ἀναλίσκουσιν ἀκαίρους περὶ ὧν ἂν τύχωσι. λέγουσι δὲ τὴν αὑτῶν δόξαν ἕκαστος 2
βουλόμενοί τι λαβεῖν· οἱ δὲ καὶ μισθὸν πραττόμενοι συναγορεύουσι παρ' ὁποτέρων ἂν νομίζωσι πλεῖον λήψεσθαι. καὶ εἰ μέν τις ἐν τῷ στρατοπέδῳ πλημμελεῖ ἢ βλάπτει τὸ κοινὸν χρήματα ἑαυτῷ ποριζόμενος, τούτων μὲν (ὁρῶμεν) μηδένα τὸν φροντίζοντα εἶναι· εἰ δέ τις ἡμῶν αἰχμάλωτον ἀγαγὼν ἐκ τῶν πολεμίων, ἢ γέρας (λαχὼν) εἴληφε πλέον ἕτερος ἑτέρου, τούτων ἕνεκα μεγάλας διαφορὰς ἐν ἡμῖν αὐτοῖς ἔχομεν διὰ τὰς τούτων σπουδάς. ἐγὼ δὲ ἡγοῦμαι τὸν ἄνδρα 3
τὸν ἀγαθὸν καὶ δίκαιον μήτε ἔχθρας ἰδίας φροντίζειν, μήτε ἰδίαν φιλεταιρίαν, φιλοτιμίᾳ χρησάμενον ἕνεκα ἀνδρὸς ἑνός, [χρήματα] περὶ πλείονος (ἂν) ποιήσασθαι, καὶ μὴ ὅτι ἂν μέλλῃ τῷ πλήθει συνοίσειν . . . . οὐ μὲν δὴ ἀλλὰ παραλιπὼν τοὺς ἀρχαίους πόνους τε καὶ λόγους, πειράσομαι Παλαμήδη τόνδε ἐν ὑμῖν εἰς κρίσιν δικαίως καταστῆσαι. ἔστι 4
δὲ τὸ πρᾶγμα, ὡς ἂν εἰδῆτε, προδοσία· ἐφ' ᾗ δεκαπλάσιαι τῶν ἄλλων ζημίαι εἰσὶν ἐπικείμεναι. καίτοι, ὡς ὑμεῖς ἴστε πάντες, ἐμοὶ καὶ τούτῳ οὐδεμία πώ-

ἐν ante ἀλλήλοις del. S. — τε λόγους AB S.: λόγους τε.

2. πλεῖον AB Bk.: πλείω. — ὁρῶμεν auct. R. add. S. — ἡμῶν] ὑμῶν AB. — ἢ ante γέρας del. Scheibe; ipse λαχὼν potius addidi. — ἕνεκα ABJ Bk.: ἕνεκεν.

3. ἰδίαν φιλεταιρίαν φιλοτιμίᾳ AB: ἰδίᾳ φιλεταιρίᾳ (ἰδίας φιλεταιρίας, φιλοτιμίᾳ S., ἰδίᾳ φιλεταιρίᾳ ἢ φιλοτιμίᾳ Scheibe). — ἢ χρήματα S. — lacunam esse post συνοίσειν e sequentibus perspicitur. — δικαίως εἰς κρίσιν CZ Bk.

4. προδοσίας AB. — δεκαπλάσιαι ζημίαι τῶν ἄλλων εἰσὶν ἐπικείμεναι AB: v. singularem habet. —

ποτ' ἔχθρα οὐδ' ἔρις ἐνεγένετο περὶ οὐδενὸς χρήματος, καὶ μὴν οὐδ' ἐν παλαίστρᾳ οὐδ' ἐν συμποσίῳ, ἔνθα φιλεῖ ἔριδας πλείστας καὶ λοιδορίας γίγνεσθαι. ὁ δὲ ἀνὴρ ἐστι φιλοσοφός τε καὶ δεινός, οὗ μέλλω κατηγορεῖν, ὥςτε εἰκότως (ἂν) τὸν νοῦν προςέχειν ὑμᾶς καὶ μὴ ἀμελῆσαι περὶ τῶν νυνὶ λεγομένων.

5 Σχεδὸν μὲν γὰρ ἴστε καὶ αὐτοὶ ἐν οἵῳ κινδύνῳ
ἐγενόμεθα, ὅτε ἡμῶν οἱ μὲν εἰς τὰς ναῦς καταπεφευ-
γότες ἦσαν, οἱ δὲ εἰς τὰς τάφρους, ἐνέπιπτόν τε εἰς
τὰς σκηνὰς οἱ πολέμιοι, πᾶσά τε ἀπορία ἦν ποῖ ποτε
προβήσοιτο ἡ τοῦ μέλλοντος κακοῦ τελευτή. ἔχει δὲ
ὧδε ὑμῖν. ἐτυγχάνομεν πλησίον τῶν πυλῶν ἐν τῷ
αὐτῷ συνταςσόμενοι ἐγώ τε καὶ Διομήδης, πλησίον
6 δ' ἦν Παλαμήδης καὶ Πολυποίτης. συνιόντων δὲ
ἡμῶν ὁμόσε τοῖς ἀνδράσιν, ἐκδραμὼν τοξότης ἐκ
τῶν πολεμίων ἐστοχάσατο τούτου, ἁμαρτὼν δὲ αὐ-
τοῦ βάλλει ἐγγὺς ἐμοῦ· οὗτός τε λόγχην ἀφίησιν ἐπ'
αὐτόν, καὶ ἐκεῖνος ἀνελόμενος ᾤχετο εἰς τὸ στρατό-
πεδον. ἐγὼ δὲ ἀνελὼν τὸν οἰστὸν δίδωμι Εὐρυβάτῃ
δοῦναι Τεύκρῳ, ἵνα χρῷτο. ἀνοχῆς δὲ γενομένης
ἀπὸ τῆς μάχης ὀλίγον χρόνον, δείκνυσί μοι τὸν οἰ-
669 στὸν ὑπὸ τοῖς | πτεροῖς γράμματα ἔχοντα. ἐκπλα-
7 γεὶς δὲ ἐγὼ τῷ πράγματι, προςκαλεσάμενος Σθένε-
λόν τε καὶ Διομήδην ἐδείκνυον αὐτοῖς τὰ ἐνόντα.

ἐνεγένετο AB S.: ἐγένετο. — χρήματος AB: πράγματος.
5. μὲν post σχεδὸν om. A pr., B, Ald. — ἡμῶν] ὑμῶν AB. — τε εἰς scripsi: εἴς τε. — ποῖ AB Bk.: ποῦ. — ποτε] τότε AB. — ἔχει δὲ ὧδε AB Bk.: ὡς δ' (εἶχε δὲ ὧδε ὑμῖν. καὶ ἐτυγχάν. S.). — πλησίον δ'] πλ. τ' AB.
6. συνιόντων] νῦν. ἰόντων AB. — αὐτοῦ] τούτου AB. — οἰστὸν M Bk.: ὀϊστὸν. — οἰστον MZ Bk.: ὀϊστόν.
7. προςκαλέσας AB. — διομήδη CZ. —

ἡ δὲ γραφὴ ἐδήλου τάδε· „Ἀλέξανδρος Παλαμήδει. ὅσα συνέθου Τηλέφῳ, πάντα σοι ἔσται, ὅ τε πατὴρ Κασάνδραν γυναῖκα δίδωσί σοι, καθάπερ ἐπέστειλας· ἀλλὰ τὰ ἀπὸ σοῦ πραττέσθω διὰ τάχους.“ ἐνεγέγραπτο μὲν ταῦτα· καί μοι προσελθόντες μαρτυρήσατε οἱ λαβόντες τὸ τόξευμα.

ΜΑΡΤΥΡΕΣ.

Ἐπέδειξα δὲ ἂν καὶ αὐτὸ τὸ τόξευμα ὑμῖν, ὡς 8
ἀληθὲς ἦν· νῦν δὲ ἐν τῷ θορύβῳ ἔλαθεν αὐτὸ Τεῦκρος ἀποτοξεύσας. δεῖ δέ με καὶ τὰ λοιπὰ διελθεῖν ὡς ἔχει, μηδ' εἰκῇ οὕτως ἄνδρα σύμμαχον περὶ θανάτου κρίνειν, αἰσχίστην αἰτίαν προστιθέντα, καὶ
ταῦτα πρότερον ἐν ὑμῖν εὐδοκιμηκότα. Ἡμεῖς μὲν 9
γὰρ πρὶν ἐμβαλεῖν δεῦρο πολὺν χρόνον ἐν ταὐτῷ ἐγενόμεθα, καὶ οὐδεὶς ἡμῶν εἶδεν ἔχοντα τοῦτον σημεῖον ἐν τῇ ἀσπίδι· ἐπειδὴ δὲ κατεπλεύσαμεν δεῦρο, τρίαιναν ἐπεγράψατο. τίνος ἕνεκα; ἵνα δῆλος εἴη τῷ ἐπιγράμματι, ὅ τε ἀντιτεταγμένος τοῦτον τοξεύοι διὰ τὸ σύνθημα, οὗτός τε εἰς ἐκεῖνον ἐσακοντίζοι.

κασσάνδραν CMNZb Bk. S. — καθάπερ AB Bk.: ὥσπερ. — ΜΑΡΤΥΡΕΣ add. C Bk.

8. δὲ post ἐπέδειξα add. AB S. — ἀποτοξεύσας AB Bk.: ἀπολέσας. — δεῖ auct. R. S.: ἔδει. — μηδ' εἰκῇ οὕτως Bk.: μηδ' εἰκὸς οὕτως AB, μὴ ἀδίκως cett. cod. (με νομίσητε post κρίνειν add. C), μὴ δόξωμεν ἀδίκως Ald. — προστιθέντα ABCMb Bk.: προστεθέντα Z, προστιθέντες N, προτιθέντα v. — ὑμῖν] ἡμῖν AB.

9. καὶ ante πρὶν add. CBk. (om. S.). — πρὶν] πλὴν JMNXZb, eidem mox ὑμῶν pro ἡμῶν. — εἶδεν] οἶδε C. — ἔχοντα τοῦτον AB Bk.: τοῦτον ἔχοντα. — ὅ,τε C, ὅτε AB, ὅταν v. (ὅτε ὅ τε mal. S.). — ἐσακοντίζοι ABMZb Bk.: ἐξακ. JN, ἀνκοντίζοι C, εἰσακοντ. v.

10 Τεκμαίρεσθαι δὲ δεῖ ἐκ τούτων εἰκότως καὶ τὴν ἄφεσιν τῆς λόγχης. φημὶ γὰρ καὶ ἐν ἐκείνῃ γράμματα εἶναι, πηνίκα τε καὶ πότε προδώσει· πιστὰ γὰρ ἦν οὕτω παρ' ἀλλήλων τὰ πεμπόμενα, οὗτός τε ἐκείνοις ἐκεῖνοί τε τούτῳ πέμποντες διὰ τοιούτου εἴδους
11 καὶ μὴ δι' ἀγγέλων. Ἔτι δὲ καὶ τόδε σκεψώμεθα. ψήφισμα ἡμῖν ἐγένετο, ὃς ἂν βέλος τι λάβῃ ἐκ τῶν πολεμίων, ἀποφέρειν πρὸς τοὺς ἡγεμόνας, διὰ τὸ σπανίοις αὐτοῖς χρῆσθαι ἡμᾶς· καὶ οἱ μὲν ἄλλοι πειθαρχοῦσι τοῖς ἐψηφισμένοις, οὗτος δὲ βέλη ἀνελόμενος πέντε [τοξεύειν], φανερός ἐστιν οὐδὲ ἓν πρὸς ὑμᾶς ἐνηνοχώς, ὥςτε καὶ διὰ ταῦτα δικαίως ἄν μοι
12 δοκεῖ θανάτῳ ζημιωθῆναι. ἆρά γε ἐνθυμεῖσθε, ὦ ἄνδρες Ἕλληνες, ὅτι ταῦτα τοῦ σοφιστοῦ τῆς διανοίας καὶ τοῦ φρονήματος αὐτοῦ, ὃς τυγχάνει φιλοσοφῶν ἐφ' οἷς ἥκιστα ἐχρῆν αὐτὸν ταῦτα πράττειν;
670 Τοῦ | τε τὰ πράγματα τὰ νῦν παρεστηκότα γενέσθαι καὶ τὴν στρατείαν ἅπασαν ἐπιδείξω αἴτιον γεγονότα

10. δὲ post τεκμ. add. ABC Bk. — ἐκ τούτων εἰκότως καὶ scripsi: καὶ ἐκ τούτων εἰκότως. Quamquam etiam εἰκότως displicet. — πηνίκα τε] πηνίκα AB, πηνικάδε Ald. — πότε] πῶς ci. R. — προδώσοι C Bk. — οὗτος] αὐτός AB. — ἐκεῖνοί τε AB S.: καὶ ἐκεῖνοι.

11. σπανίοις Bk.: σπανίως. — χρῆσθαι AB Bk.: χρήσασθαι. — τοῖς ἐψηφισμένοις om. pr. A. — οὗτος scripsi: αὐτός. — τοξεύειν del. S. — οὐδὲν AB. — δοκῇ A.

12. ὅτι add. AB Bk., εἰ C. — σοφοῦ Ald. — ὃς τυγχάνει φιλοσοφῶν AB Bk.: τυγχάνει φιλοσοφῶν JNXZ; τυγχάνειν φιλοσόφων M Ald.; τοῦ φιλοσόφου τυγχάνει ἄξια ὄντα C. — τοῦ τε τὰ Ald. Bk.: τά τε codd., τά τε γὰρ S. — πράγματα τὰ νῦν παρεστηκότα Ald.: πρ. τὰ παρ. BJ Bk., πρ. τὰ περηστηκότα A (h. e. περιεστηκότα, quod ci. R.), πρ. παρεστ. MNXZ, παρεστ. πρ. C. — γενέσθαι ante ἐπιδείξω ponit C, om. cett. cod. (om. S., qui ci. πράγμ. ταῦτα παρεστηκέναι). — στρατείαν Z Bk.: στρατιάν. — ἅπασαν

ἡμῖν τόν τε πατέρα αὐτοῦ καὶ τοῦτον αὐτόν. ἀνάγκη
δὲ καὶ διὰ μακροτέρων λόγων ῥηθῆναι τὰ γενόμενα.
Τούτῳ πατήρ ἐστι πένης, ὄνομα Ναύπλιος, τέ- 13
χνην ἔχων ἁλιείαν. οὗτος πλείστους τῶν Ἑλλήνων
ἠφάνικε, χρήματά τε πολλὰ ἐκ τῶν νεῶν ὑφῄρηται,
κακά τε πλεῖστα τοὺς ναυτίλους εἴργασται, πανουρ-
γίας τε οὐδεμιᾶς λείπεται· γνώσεσθε δὲ προϊόντος
τοῦ λόγου, τὰς ἀληθείας ἀκούσαντες τῶν γενομένων.
Ἄλεῳ γὰρ τῷ Τεγέας βασιλεῖ ἀφικομένῳ εἰς Δελφοὺς 14
ἐχρήσθη ὑπὸ τοῦ θεοῦ ὅτι αὐτῷ ἔκγονος ἐκ τῆς θυ-
γατρὸς εἰ γένοιτο, ὑπὸ τούτου δεῖν τοὺς υἱοὺς αὐ-
τοῦ ἀπολέσθαι. ἀκούσας δὲ ταῦτα ὁ Ἄλεως διὰ τά-
χους ἀφικνεῖται οἴκαδε, καὶ καθίστησι τὴν θυγατέρα
ἱέρειαν τῆς Ἀθηνᾶς, εἰπών, εἴ ποτε ἀνδρὶ συγγενή-
σεται, θανατώσειν αὐτήν. τύχης δὲ γενομένης ἀφι- 15
κνεῖται Ἡρακλῆς στρατευόμενος ἐπ' Αὐγέαν εἰς Ἦλιν,
καὶ αὐτὸν ξενίζει ὁ Ἄλεως ἐν τῷ ἱερῷ τῆς Ἀθηνᾶς.
ἰδὼν δὲ ὁ Ἡρακλῆς τὴν παῖδα ἐν τῷ νεῷ ὑπὸ μέθης
συνεγένετο. ἐπεὶ δὲ κύουσαν αὐτὴν ὁ πατὴρ ᾔσθε-
το Ἄλεως, μεταπέμπεται τὸν τούτου πατέρα, πυθό-
μενος πορθμέα τε εἶναι αὐτὸν καὶ δεινόν. ἀφικο-
μένου δὲ τοῦ Ναυπλίου δίδωσιν αὐτῷ τὴν παῖδα

Ald.: πᾶσαν. — ὑμῖν ABC. — καὶ post δὲ add. AB.

13. Ναύπλιος] ναυτῖλος A. — ἁλιείαν AB Bk.: ἁλείαν. — οὗτος] αὐτὸς AB. — ὑφῄρηται AB Bk.: ὑφῄρηκε. — τὰς ἀλ. ἀκ. τῶν γενομ. AB Bk.: ἀκούσαντες μετὰ ἀληθείας τῶν τότε γενομένων.

14. ἀλέω et ἀλέος A et hic et infra. „Pausaniae est Ἀλέος, Apollodoro Ἄλεος.“ Bk. — θανατώσει B.

15. στρατευόμενος om. AB. — αὐγείαν C. — νεῷ] ἱερῷ AB. — κυοῦσαν C. — ὁ πατὴρ ᾔσθετο AB S.: ᾔσθ. ὁ πατὴρ. — τε εἶναι αὐτὸν AB S.: τε (τὸν C) αὐτὸν εἶναι. — ναυτίλου AB.

16 *καταποντίσαι. ὁ δὲ παραλαβὼν ἦγεν αὐτήν, καὶ ὡς*
γίγνονται ἐν τῷ Παρθενίῳ ὄρει, τίκτει Τήλεφον.
ἀμελήσας δὲ ὢν ὁ Ἄλεως αὐτῷ ἐπέστειλεν, ἄγων
αὐτὴν ἀπέδοτο καὶ τὸ παιδίον ἐς Μυσίαν Τεύθραντι
τῷ βασιλεῖ. ὁ δὲ Τεύθρας ἄπαις ὢν τὴν μὲν Αὔγην
γυναῖκα ποιεῖται, τὸν δὲ παῖδα αὐτῆς ἐπονομάσας
Τήλεφον τίθεται υἱὸν ἑαυτοῦ, δίδωσί τε Πριάμῳ
17 *αὐτὸν εἰς τὸ Ἴλιον παιδεῦσαι. (τοῦ) χρόνου δὲ προϊ-*
όντος Ἀλέξανδρος ἐπεθύμησεν εἰς τὴν Ἑλλάδ' ἀφικέ-
σθαι, τό τε ἱερὸν τὸ ἐν Δελφοῖς θεωρῆσαι βουλό-
μενος, ἅμα δὲ καὶ τὸ κάλλος τῆς Ἑλένης ἀκούων
δηλονότι, καὶ τὴν τοῦ Τηλέφου γένεσιν ἀκηκοώς,
671 *ὁπόθεν τε εἴη καὶ τίνα τρόπον | καὶ ὑπὸ τίνος*
ἐπράθη. ὥστε Ἀλέξανδρος οὕτω τὴν ἀποδημίαν ἐποι-
εῖτο διὰ προφάσεις τοιαύτας εἰς τὴν Ἑλλάδα. ἐν δὲ
τῷ καιρῷ τούτῳ οἱ Μόλου παῖδες ἀφικνοῦνται ἐκ
Κρήτης, δεόμενοι Μενελάου αὐτούς τε διαλλάξαι καὶ
διελεῖν τὴν κτῆσιν αὐτοῖς, ὅτι εἴη ὁ πατὴρ τετελευ-
τηκὼς αὐτοί τε στασιάζοιεν περὶ τῶν πατρῴων χρη-
18 *μάτων. εἶεν· τί οὖν γίγνεται; πλεῖν αὐτῷ ἔδοξε, καὶ*
ἐπιστείλας τῇ γυναικὶ καὶ τοῖς ἀδελφοῖς ἐπιμελεῖσθαι
τῶν ξένων, ἵνα μηδενὸς ἔσοιντο ἐνδεεῖς, ἕως ἂν
αὐτὸς ἔλθῃ ἐκ Κρήτης, ὁ μὲν ᾤχετο· Ἀλέξανδρος δὲ

16. *ὡς*] *ὅτε* AB. — *ὁ* ante *Ἄλεως* add. AB. — *ἀπέστειλεν* ABZ. — *αὐτήν* (*τ'*) W. — *ἐς* ABCMNb Bk.: *εἰς* JX Ald. — *ἄπαις ὢν* auct. R. Bk.: *ἀπιδὼν*. — *Πριάμῳ αὐτὸν* S.: *πριάμω αὐτῶ* AB, *αὐτὸν Πριάμῳ* v. — *εἰς τὸ Ἴλιον* ci. R.: *εἰς τὸ* (*εἴς τι* AB, *εἰς τὸν* JMNb) *ὀλίγον*.

17. *ἐν Δελφοῖς ἱερὸν* Ald. — *γένεσιν* AB: *γέννησιν*. — *προφάσεις τοιαύτας* ci. R.: *προφάσεως τοιαύτης*. — *τε* post *αυτούς* add. AB S.

18. *ἀδελφοῖς* (*αὐτῆς*)? — *ἔλθοι* JMNXZ — *καὶ* ante *ὁ*

αὐτοῦ τὴν γυναῖκα ἐξαπατήσας, ἐκ τῶν οἴκων λαβὼν
ὅσα πλεῖστα ἐδύνατο, ἀποπλέων ᾤχετο, οὐκ αἰδε-
σθεὶς οὔτε Δία ξένιον οὔτε θεῶν οὐδένα, ἄνομα καὶ
βάρβαρα ἔργα διαπραξάμενος, ἄπιστα πᾶσι καὶ τοῖς
ἐπιγιγνομένοις ἀκοῦσαι. ἀφικομένου δὲ αὐτοῦ πάλιν 19
εἰς Ἀσίαν, ἄγοντος τὰ χρήματα καὶ τὴν γυναῖκα,
ἔστιν ὅπου ἀντελάβου τινὸς ἢ βοῇ ἐσήμηνας τοῖς
περιοίκοις ἢ βοήθειαν συνέλεξας; οὐκ ἂν ἔχοις εἰπεῖν,
ἀλλὰ περιεῖδες Ἕλληνας ὑπὸ βαρβάρων ὑβρισθέντας.
ἐπεὶ δ' ἐπύθοντο οἱ Ἕλληνες τὴν ἁρπαγὴν καὶ Με- 20
νέλεως ᾔσθετο, ἤγειρε τὴν στρατιὰν καὶ διέπεμπεν
ἡμῶν ἄλλον ἄλλοσε εἰς τὰς πόλεις αἰτήσοντας στρα-
τόν. καὶ δὴ καὶ τοῦτον ἔπεμψεν εἰς Χίον πρὸς Οἰ-
νοπίωνα καὶ εἰς Κύπρον πρὸς Κινύραν. ὁ δὲ Κινύ-
ραν τε ἔπεισε μὴ συστρατεύειν ἡμῖν, δῶρά τε πολλὰ
παρ' αὐτοῦ λαβὼν ἀποπλέων ᾤχετο· καὶ Ἀγαμέμνονι 21
μὲν ἀποδίδωσι χαλκοῦν θώρακα, ὅςτις οὐδενὸς ἄξιος
ἦν, τὰ δὲ ἄλλα αὐτὸς εἶχε χρήματα. ἀπήγγελλε δὲ

μὲν add. AB. — *ἐκ τῶν οἴκων λαβὼν* AB: *καὶ λαβὼν ἐκ τῶν οἴκων.* — *ὅσα* AB Bk.: *ἃ.* — *οὔτε θεῶν*] *οὐ θεῶν*] ABCMNb. — *οὐδένα* ZS.: *οὐθένα.*

19. Huius criminationis absurditates ne huic quidem scriptori imputare possum. Conicio igitur prima verba: *ἀφικομένου — γυναῖκα*, ante *ἐπεὶ δ'* (scr. *ἐπειδὴ*) § 20 transponenda esse, hic autem addendum *τούτων δὲ γιγνομένων* vel simile quid. — *βοῇ*] *βοὴν* AB. — *οὐκ ἂν ἔχοις εἰπεῖν* om. AB.

20. *στρατόν*] *στρατιάς* AB. — *καὶ δὴ καὶ* C Bk.: *καὶ δὴ* v. (S.). — *ἔπεμψεν*] *ἔπεμπεν* ABZ. — *οἰνωπίωνα* CJMNX. — *κιννύραν* et *κιννύρας* § 21 AB. — Oenopionis mentio in sequentibus aegre desideratur: ft. interciderit post *ἤκουσαν* § 21. — *πολλὰ* add. AB Bk.

21. *τὰ δὲ ἄλλα αὐτὸς* AB S.: *αὐτὸς δὲ τὰ ἄλλα.* — *ἀπήγγελλε* ci. R.: *ἀπηγγέλλετο* AB Ald.; *ἐπηγγέλλετο* cett. cod. —

ὅτι ἑκατὸν ναῦς ἀποπέμψει ὁ Κινύρας· ὁρᾶτε δὲ καὶ αὐτοὶ οὐδεμίαν παρ' αὐτοῦ ἤκουσαν. ὥςτε καὶ διὰ ταῦτα δικαίως ἄν μοι δοκεῖ θανάτῳ ζημιωθῆναι, εἴ ἄρα γε κολάσασθαι ἄξιόν ἐστι τὸν σοφιστήν, ὃς ἐπὶ τοῖς φίλοις τὰ αἴσχιστα μηχανώμενος πέφανται.

22 Ἄξιον δὲ καταμαθεῖν ἃ καὶ φιλοσοφεῖν ἐπικεχείρηκεν ἐξαπατῶν τοὺς νέους καὶ παραπείθων, φάσκων τάξεις ἐξευρηκέναι πολεμικάς, γράμματα, ἀριθμούς, μέτρα, σταθμούς, πεττούς, κύβους, μουσικήν, νόμισμα, πυρσούς. καὶ οὐδὲ αἰσχύνεται ὅταν αὐτίκα
672 ἐλέγχηται φανερῶς ἐν ὑμῖν ψευδόμενος. | Νέστωρ
23 γὰρ ὅδε, πρεσβύτατος (ὢν) ἡμῶν ἁπάντων, καὶ αὐτὸς ἐν τοῖς Πειρίθου γάμοις μετὰ Λαπιθῶν ἐμαχέσατο Κενταύροις ἐν φάλαγγι καὶ τάξει· Μενεσθεὺς δὲ πρῶτος λέγεται κοσμῆσαι τάξεις καὶ λόχους καὶ φάλαγγας συστῆσαι, ἡνίκα Εὔμολπος ὁ Ποσειδῶνος ἐπ' Ἀθηναίους ἐστράτευσε Θρᾷκας ἄγων· ὥςτ' οὐ Παλαμήδους τὸ ἐξεύρημά ἐστιν, ἀλλ' ἄλλων πρότερον.
24 γράμματα μὲν δὴ πρῶτος Ὀρφεὺς ἐξήνεγκε, παρὰ Μουσῶν μαθών, ὡς καὶ ἐπὶ τῷ μνήματι αὐτοῦ δηλοῖ τὰ ἐπιγράμματα·

Μουσάων πρόπολον τῇδ' Ὀρφέα Θρῇκες ἔθηκαν.
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

ἀποπέμψαι AB. — καὶ ante αὐτοὶ add. AB Bk. — δοκεῖ R.: δοκῇ ABC, δοκοίη v. cf. § 11. — εἴ ἄρα γε κολ. ἄξιόν ἐστι AB S.: ἄξιον γὰρ κολάσαι.

22. καὶ post δὲ add. AB. — τάξεις ἐξευρηκ. AB Bk.: ἐξευρηκ. τάξεις. — πυρσοί οὐδὲ (om. καὶ) AB.

23. ὅδε AB S.: ὁ. — πρεσβύτερος AB S. — ὑμῶν AB. — φάλακι AB.

24. τὰ ἐπιγρ. AB S.: v. τὰ ante ἐπὶ ponitur. — θράκες AB. — ζεύς που A. — βέλει] βαλών C, κεραυνῷ cett. cod. et

Οἰάγρου φίλον υἱόν, ὃς Ἡρακλῆ ἐξεδίδαξεν,
εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

μουσικὴν δὲ Λίνος ὁ Καλλιόπης, ὃν Ἡρακλῆς φο- 25
νεύει. ἀριθμούς γε μὴν Μουσαῖος ὁ τῶν Εὐμολπι-
δῶν, Ἀθηναῖος, ὡς καὶ τὰ ποιήματα αὐτοῦ δηλοῖ·

ὄρθιον ἑξαμερὲς τετόρων καὶ εἴκοσι μέτρων. —
ὡς δεκάτην γενεὴν ἑκατὸν βιοτευέμεν ἄνδρας.

νομίσματα δὲ οὐ Φοίνικες ἐξεῦρον, λογιώτατοι 26
καὶ δεινότατοι ὄντες τῶν βαρβάρων; ἐξ ὁλοσφύ-
ρου γὰρ ἴσον μερισμὸν διείλοντο, καὶ πρῶτοι χα-
ρακτῆρα ἔβαλον εἰς τὸν σταθμόν, (δηλοῦντες) τὸ
πλέον καὶ τὸ ἔλαττον. παρ' ὧν οὗτος ἐλθὼν σο-
φίζεται τὸν αὐτὸν ῥυθμόν. ὥςτε αὐτοῦ ταῦτα πάντα
πρεσβύτερα φαίνεται, ὧν οὗτος προςποιεῖται εὑρε-
τὴς εἶναι. μέτρα δὲ καὶ σταθμὰ ἐξεῦρε, καπήλοις 27
καὶ ἀγοραίοις ἀνθρώποις ἀπάτας καὶ ἐπιορκίας, πετ-
τούς γε μήν, τοῖς ἀργοῖς τῶν ἀνδρῶν ἔριδας καὶ
λοιδορίας. καὶ κύβους αὖ μέγιστον κακὸν κατέδειξε,
τοῖς μὲν ἡττηθεῖσι λύπας καὶ ζημίας, τοῖς δὲ νενικη-

γρ. C. — ὑάγρου AB. — ἡρακλῆ Z cum Burneiano 96 (Bk.): ἡρακλῆα A, ἡρακ^{α}λη B, ἡρακλῆν v. — ἐδίδαξεν N Ald.

25. *Λίνος* S.: *λῖνος* AB, *τρύνος* Z, *Τέννος* v. — duos qui afferuntur versus coniungendos non esse vidit S. — *ὡς δεκάτην*] *ἐς δ.* Z, *ὥςτε δ.* ABMNXb, *ὥτε δ.* J. — *βιοτευέμεν* scripsi Sauppium secutus, qui *βιοτεύειν*: *βιοῦν* codd. — *ἀνέρας* C.

26. *οὐ*] *οἳ* AB. — *λογιώτατοι* J. Fr. Fischer et Lobeck (S.): *λογικώτατοι*. — *καὶ πρῶτοι* AB S: *πρῶτοί τε* C Bk.; *πρῶτοι* v. — *χαρακτῆρας* CZ, *χαρακτῆρες* JMNXb. — *παρ' ὧν*] *ὁ παρὼν δ* AB. — *ἐλθὼν*] *ἑλὼν* S. — *τὸν αὐτὸν ῥυθμόν*] *τὸν ῥυθμόν* AB S.; *τῶν αὐτῶν δὲ καὶ ὁ ῥυθμός* C Bk.; *τὸν αὐτοῦ ῥυθμόν* Z. — *ταῦτα* add. AB Bk.

27. *κατέδειξε* AB Bk.: *ἐδίδαξε.* — *νενικηκόσι* AB Bk.:

κόσι καταγέλωτα καὶ ὄνειδος· τα γὰρ ἀπὸ τῶν κύβων προσγιγνόμενα ἀνόνητα γίγνεται, τὰ δὲ πλεῖ-
28 στα καταναλίσκεται παραχρῆμα. πυρσοὺς αὖ ἐσοφίσατο, ἀλλ' ἐπὶ τῷ ἡμετέρῳ κακῷ, ἅ (γε) διενοεῖτο ποιεῖν, χρήσιμον δὲ τοῖς πολεμίοις. ἀρετὴ δέ
673 ἐστιν ἀνδρὸς τοῖς ἡγεμόσι προσέχειν καὶ τὸ | προσταττόμενον ποιεῖν καὶ τῷ πλήθει ἀρέσκειν παντί, αὑτόν τε παρέχειν ἄνδρα πανταχοῦ ἀγαθόν, τούς τε φίλους εὖ ποιοῦντα καὶ τοὺς ἐχθροὺς κακῶς. ὧν τἀναντία πάντων οὗτος ἐπίσταται, τοὺς μὲν ἐχθροὺς ὠφελεῖν, τοὺς δὲ φίλους κακῶς ποιεῖν.

29 Ἀξιῶ δ' ὑμᾶς ἔγωγε κοινῇ σκεψαμένους βουλεύσασθαι περὶ αὐτοῦ καὶ μὴ ἀφεῖναι αὐτὸν ὑποχείριον λαβόντας. εἰ δὲ κατελεήσαντες αὐτὸν διὰ τὴν δεινότητα τῶν λόγων ἀφήσετε, θαυμαστὴ παρανομία γενήσεται ἐν τῷ στρατεύματι· εἰδὼς γὰρ αὐτῶν ἕκαστος ὅτι καὶ Παλαμήδης περιφανῶς τοσαῦτα ἡμαρτηκὼς οὐδεμίαν δίκην ἔδωκε, καὶ αὐτοὶ πειράσονται ἀδικεῖν. ὥστε ἐὰν νοῦν ἔχητε, ψηφιεῖσθε τὰ βέλτισθ' ὑμῖν αὐτοῖς, καὶ τῶν λοιπῶν ἕνεκα παράδειγμα ποιήσεσθε τοῦτον τιμωρησάμενοι.

νικῶσι. — ἀπὸ τῶν κύβων γενόμενα AB S. — ἀνόητα AB Bk.

28. αὖ] οὖν Cb. — ἀλλ' om. AB. ἐπὶ τῷ ἡμετ. AB S.: ἐφ' ὑμετέρῳ C, ἐφημέρῳ J, ἐφ' ἡμετέρῳ v. — ἃ om. C. — χρήσιμον AB: χρήσιμα. — πάντων οὗτος[πάντα οὕτως Z.

29. καὶ ante Παλ. om. AB. — ἕνεκα] οὕνεκα ABJ S.; οὕνεκεν v. — ποιήσασθε AB.

ΑΛΚΙΔΑΜΑΝΤΟΣ

ΠΕΡΙ ΤΩΝ ΤΟΥΣ ΓΡΑΠΤΟΥΣ ΛΟΓΟΥΣ ΓΡΑΦΟΝΤΩΝ Η ΠΕΡΙ ΣΟΦΙΣΤΩΝ.

Ἐπειδή τινες τῶν καλουμένων σοφιστῶν ἱστορίας μὲν καὶ παιδείας ἠμελήκασι καὶ τοῦ δύνασθαι λέγειν ὁμοίως τοῖς ἰδιώταις ἀπείρως ἔχουσι, γράφειν δὲ μεμελετηκότες λόγους καὶ διὰ βιβλίων δεικνύντες τὴν αὑτῶν σοφίαν σεμνύνονται καὶ μέγα φρονοῦσι καὶ πολλοστὸν μέρος τῆς ῥητορικῆς κεκτημένοι δυνάμεως τῆς ὅλης τέχνης ἀμφισβητοῦσι, διὰ ταύτην τὴν αἰτίαν ἐπιχειρήσω κατηγορίαν ποιήσασθαι τῶν γραπτῶν λόγων, οὐχ ὡς ἀλλοτρίαν ἐμαυτοῦ τὴν 2
δύναμιν αὐτῶν ἡγούμενος, ἀλλ' ὡς ἐφ' ἑτέροις μεῖζον φρονῶν καὶ τὸ γράφειν ἐν παρέργῳ μελετᾶν οἰόμενος χρῆναι, καὶ τοὺς ἐπ' αὐτὸ τοῦτο τὸν βίον καταναλίσκοντας ἀπολελεῖφθαι πολὺ καὶ ῥητορικῆς καὶ φιλοσοφίας ὑπειληφώς, καὶ πολὺ δικαιότερον ἂν ποιητὰς ἢ σοφιστὰς προσαγορεύεσθαι νομίζων.

Πρῶτον μὲν οὖν ἐντεῦθεν ἄν τις καταφρονήσειε 3
τοῦ γράφειν, ἐξ ὧν ἐστιν εὐεπίθετον καὶ ῥᾴδιον καὶ τῇ τυχούσῃ φύσει πρόχειρον. εἰπεῖν μὲν γὰρ ἐκ τοῦ παραχρῆμα περὶ τοῦ παρατυχόντος ἐπιεικῶς, καὶ τα-

ΑΛΚΙΔΑΜΑΝΤΟΣ Π. ΣΟΦΙΣΤΩΝ.

Codd. Bk. CKMTX (ab initio et in extrema parte etiam N), quibus accedit b. Inscr. *ΤΟΥΣ* om. C.

1. *διὰ βιβλίων* R.: *διὰ βεβαίων* KMNb Ald., *δι' ἀβεβαίων* CX.

2. *μελετᾶν* J. Strangius S.: *τοῦ μελετᾶν*. cf. §§ 1. 35.

3. *παραχρῆμα*] *παραυτίκα* (sicut 8. 9. 18. 24. 28) CMXb; sed cf. § 33. — post hoc vocab. *καὶ* addit C, non male.

χείᾳ χρήσασθαι τῶν ἐνθυμημάτων καὶ τῶν ὀνομά-
των εὐπορίᾳ, καὶ τῷ καιρῷ τῶν πραγμάτων καὶ ταῖς
ἐπιθυμίαις τῶν ἀνθρώπων εὐστόχως ἀκολουθῆσαι
καὶ τὸν προσήκοντα λόγον εἰπεῖν οὔτε φύσεως ἁπά-
4 σης οὔτε παιδείας τῆς τυχούσης ἐστίν· ἐν πολλῷ δὲ
χρόνῳ γράψαι καὶ κατὰ σχολὴν ἐπανορθῶσαι, καὶ
παραθέμενον τὰ τῶν προγεγονότων σοφιστῶν συγ-
γράμματα πολλαχόθεν εἰς ταὐτὸν ἐνθυμήματα συνα-
674 γεῖραι καὶ μιμήσασθαι τὰς | τῶν εὖ λεγομένων ἐπι-
τυχίας, καὶ τὰ μὲν ἐκ τῆς τῶν ἰδιωτῶν συμβουλίας
ἐπανορθώσασθαι, τὰ δ' αὐτὸν ἐν ἑαυτῷ πολλάκις
ἐπισκεψάμενον ἀνακαθᾶραι καὶ μεταγράψαι καὶ τοῖς
5 ἀπαιδεύτοις ῥᾴδιον πέφυκεν. ἔστι δ' ἅπαντα τὰ μὲν
ἀγαθὰ καὶ καλὰ σπάνια καὶ χαλεπὰ καὶ διὰ πόνων
εἰωθότα γίγνεσθαι, τὰ δὲ ταπεινὰ καὶ φαῦλα ῥᾳδίαν
ἔχει (τὴν) κτῆσιν· ὥστ' ἐπειδὴ τὸ γράφειν τοῦ λέγειν
ἑτοιμότερον ἡμῖν ἐστιν, εἰκότως ἂν αὐτοῦ καὶ τὴν
κτῆσιν ἐλάττονος ἀξίαν νομίζοιμεν.

6 Ἔπειτα τοῖς μὲν λέγειν δεινοῖς οὐδεὶς ἂν φρο-
νῶν ἀπιστήσειεν ὡς οὐ μικρὸν τὴν τῆς ψυχῆς ἕξιν
μεταρρυθμίσαντες ἐπιεικῶς λογογραφήσουσι, τοῖς δὲ
γράφειν ἠσκημένοις οὐδεὶς ἂν πιστεύσειεν ὡς ἀπὸ
τῆς αὐτῆς δυνάμεως καὶ λέγειν οἷοί τ' ἔσονται. τοὺς
μὲν γὰρ τὰ χαλεπὰ τῶν ἔργων ἐπιτελοῦντας εἰκός,
ὅταν ἐπὶ τὰ ῥᾴω τὴν γνώμην μεταστήσωσιν, εὐπό-
ρως μεταχειρίσασθαι τὴν τῶν πραγμάτων ἀπεργα-

4. γράψαι S.: γράψαι ἄν. — ταὐτὸν S. (praeeunte R.): τὰ αὐτῶν.

5. σπάνια δὲ καὶ KMb.

6. ἀπὸ τῆς αὐτῆς auct. R. S.: ἐπὶ τῆς αὐτῆς.

σίαν· τοῖς δὲ τὰ ῥᾴδια γεγυμνασμένοις ἀντίτυπος καὶ προσάντης ἡ τῶν χαλεπωτέρων ἐπιμέλεια καθίσταται. γνοίη δ' ἄν τις ἐκ τῶνδε τῶν παραδειγμάτων. ὁ μὲν γὰρ ἆραι μέγα φορτίον δυνάμενος ἐπὶ 7
τὰ κουφότερα μετελθὼν ῥᾳδίως μεταχειρίσαιτ' ἄν· ὁ δὲ πρὸς τὰ κοῦφα τῇ δυνάμει διικνούμενος οὐδὲν ἂν τῶν βαρυτέρων οἷός τ' εἴη φέρειν. καὶ πάλιν ὁ μὲν ποδώκης δρομεὺς ῥᾳδίως παρέπεσθαι τοῖς βραδυτέροις δύναιτ' ἄν· ὁ δὲ βραδὺς οὐκ ἂν οἷός τ' εἴη τοῖς θᾶττοσιν ὁμοδρομεῖν. ἔτι δὲ πρὸς τούτοις ὁ μὲν τὰ πόρρω δυνάμενος ἐπισκόπως ἀκοντίζειν ἢ τοξεύειν καὶ τῶν ἐγγὺς τεύξεται ῥᾳδίως· ὁ δὲ τὰ πλησίον βάλλειν ἐπιστάμενος οὔπω δῆλον εἰ καὶ τῶν πόρρω δυνήσεται τυγχάνειν. τὸν αὐτὸν δὴ τρόπον 8
καὶ περὶ τοὺς λόγους ὁ μὲν ἐκ τοῦ παραυτίκα καλῶς αὐτοῖς χρώμενος οὐκ ἄδηλον ὅτι μετὰ χρόνου καὶ σχολῆς ἐν τῷ γράφειν διαφέρων ἔσται λογοποιός· ὁ δ' ἐπὶ τοῦ γράφειν τὰς διατριβὰς ποιούμενος οὐκ ἀφανὲς ὅτι μεταβὰς ἐπὶ τοὺς αὐτοσχεδιαστικοὺς λόγους ἀπορίας καὶ πλάνου καὶ ταραχῆς ἕξει πλήρη τὴν γνώμην.

Ἡγοῦμαι δὲ καὶ τῷ βίῳ τῶν ἀνθρώπων τὸ μὲν 9
λέγειν ἀεί τε καὶ διὰ παντὸς χρήσιμον εἶναι, τοῦ δὲ γράφειν ὀλιγάκις εὔκαιρον τὴν δύναμιν αὐτῷ καθίστασθαι. τίς γὰρ οὐκ οἶδεν ὅτι λέγειν μὲν ἐκ τοῦ παραυτίκα καὶ δημηγοροῦσι καὶ δικαζομένοις καὶ τὰς ἰδίας ὁμιλίας ποιοῦσιν ἀναγκαῖόν ἐστι, καὶ πολ-

7. οἷός τ' εἴη (s. οἷός τε εἴη) utrobique S.: οἷός τε ᾖ.
9. αὐτῷ auct. R. Bk.: αὐτοῦ. — αὐτοῦ τὴν δύναμιν C (Bk.).

λάκις ἀπροσδοκήτως καιροὶ πραγμάτων παραπίπτου-
σιν, ἐν οἷς οἱ μὲν σιωπῶντες εὐκαταφρόνητοι δόξου-
σιν εἶναι, τοὺς δὲ λέγοντας ὡς ἰσόθεον τὴν γνώμην
10 ἔχοντας ὑπὸ τῶν ἄλλων τιμωμένους ὁρῶμεν. ὅταν
γὰρ νουθετῆσαι δέῃ τοὺς ἁμαρτάνοντας ἢ παραμυ-
675 θήσασθαι | τοὺς δυστυχοῦντας ἢ πραῢναι τοὺς
παρωξυμμένους ἢ τὰς ἐξαίφνης ἐπενεχθείσας αἰτίας
ἀπολύσασθαι, τηνικαῦθ᾽ ἡ τοῦ λέγειν δύναμις τῇ
χρείᾳ τῶν ἀνθρώπων ἐπικουρεῖν οἵα τ᾽ ἐστίν· ἡ δὲ
γραφὴ σχολῆς δεῖται καὶ μακροτέρους ποιεῖται τοὺς
χρόνους τῶν καιρῶν· οἱ μὲν γὰρ ταχεῖαν τὴν ἐπι-
κουρίαν ἐπὶ τῶν ἀγώνων ἀπαιτοῦσιν, ἡ δὲ κατὰ
σχολὴν καὶ βραδέως ἐπιτελεῖ τοὺς λόγους. ὥστε τίς
ἂν φρονῶν ταύτην τὴν δύναμιν ζηλώσειεν, ἣ τῶν
11 καιρῶν τοσοῦτον ἀπολείπεται; πῶς δ᾽ οὐ καταγέ-
λαστον, εἰ τοῦ κήρυκος παρακαλοῦντος „τίς ἀγο-
ρεύειν βούλεται τῶν πολιτῶν;“ ἢ τοῦ ὕδατος ἐν τοῖς
δικαστηρίοις ἤδη ῥέοντος, ἐπὶ τὸ γραμματεῖον ὁ ῥή-
τωρ πορεύοιτο συνθήσων καὶ μαθησόμενος λόγον;
ὡς ἀληθῶς γὰρ εἰ μὲν ἦμεν τύραννοι τῶν πό-
λεων, ἐφ᾽ ἡμῖν ἂν ἦν καὶ δικαστήρια συλλέγειν καὶ
περὶ τῶν κοινῶν βουλεύεσθαι πραγμάτων, ὥσθ᾽
ὁπότε γράψαιμεν τοὺς λόγους, τηνικαῦτα τοὺς ἄλ-
λους πολίτας ἐπὶ τὴν ἀκρόασιν παρακαλεῖν· ἐπεὶ
δ᾽ ἕτεροι τούτων κυριεύουσιν, ἆρ᾽ οὐκ εὔηθες
ἡμᾶς ἄλλην τινὰ ποιεῖσθαι μελέτην λόγων ἐναντίως

10. δέῃ C Bk.: δεῖ. — παρωξυμμένους scripsi: ἀπολλυμένους KMTXb; ἀπολυμέλους Ald.; ὀργιζομένους C Bk., ἐπιτεθυμένους ci. S. — ἀπολείπεται Bk.: ὑπολείπεται.
11. πῶς δ᾽] δ᾽ add. CX Bk. — ὥςθ᾽ scripsi: ὥςτε. — κυριεύουσιν scripsi (propter hiatum): κύριοί εἰσιν. — μελέτην

ἔχουσαν ἀκριβῶς; καὶ γὰρ οἵ τοῖς ὀνόμασιν ἐξειργα- 12
σμένοι καὶ μᾶλλον ποιήμασιν ἢ λόγοις ἐοικότες, καὶ τὸ μὲν αὐτόματον καὶ πλέων ἀληθείας [ὅμοιον] ἀποβεβληκότες, μετὰ παρασκευῆς δὲ πεπλάσθαι καὶ συγκεῖσθαι δοκοῦντες ἀπιστίας καὶ φθόνου τὰς τῶν ἀκουόντων γνώμας ἐμπιπλᾶσι. τεκμήριον δὲ μέγιστον· οἵ 13
γὰρ εἰς τὰ δικαστήρια τοὺς λόγους γράφοντες φεύγουσι τὰς ἀκριβείας καὶ μιμοῦνται τὰς τῶν αὐτοσχεδιαζόντων ἑρμηνείας, καὶ τότε κάλλιστα γράφειν δοκοῦσιν, ὅταν ἥκιστα γεγραμμένοις ὁμοίους πορίσωνται λόγους. ὁπότε δὲ καὶ τοῖς λογογράφοις τοῦτο πέρας τῆς ἐπιεικείας ἐστίν, ὅταν τοὺς αὐτοσχεδιάζοντας μιμήσωνται, πῶς οὐ χρὴ καὶ τῆς παιδείας ἐκεῖνο μάλιστα τιμᾶν, ἀφ' οὗ πρὸς τοῦτο τὸ γένος τῶν λόγων εὐπόρως ἕξομεν;

Οἶμαι δὲ καὶ διὰ τοῦτ' ἄξιον εἶναι τοὺς γρα- 14
πτοὺς λόγους ἀποδοκιμάζειν, ὅτι τὸν βίον τῶν μεταχειριζομένων ἀνώμαλον καθιστᾶσι. περὶ πάντων μὲν γὰρ τῶν πραγμάτων γεγραμμένους ἐπίστασθαι λόγους ἕν τι τῶν ἀδυνάτων πέφυκεν· ἀνάγκη δ' ἐστίν, ὅταν τις τὰ μὲν αὐτοσχεδιάζῃ τὰ δὲ τυποῖ, τὸν λόγον ἀνόμοιον ὄντα ψόγον τῷ λέγοντι παρασκευάζειν, καὶ τὰ μὲν ὑποκρίσει καὶ ῥαψῳδίᾳ παραπλήσια δοκεῖν

ποιεῖσθαι λόγων C Bk.; ποιεῖσθαι τῶν λ. μ. K. — ἔχουσιν CKMTXb.

12. καὶ γὰρ scripsi: εἰ γάρ. — πλέων ἀληθείας scripsi: πλέον ἀληθείαις. — ἐμπιπλᾶσι scripsi: ἐμπιπλῶσι CKMXb; ἐμπιμπλῶσι v.

13. κάλλιστα Bk.: μάλιστα. — ἐκεῖνο ci. R.: ἐκείνην. — ἀφ' οὗ] ἀφ' ἧς C Bk. S.

14. τὸν βίον] num τὸν λόγον s. τὴν ἑρμηνείαν? cf. § 24 sq. — τὸν λόγον R. C Bk.: τῶν λόγων. — ἀνόμοιον] num ἀνώμαλον? — δοκεῖν R. X Bk.: δοκεῖ.

εἶναι, τὰ δὲ ταπεινὰ καὶ φαῦλα φαίνεσθαι παρὰ τὴν
ἐκείνων ἀκρίβειαν. |

15 Δεινὸν δ᾽ ἐστὶ τὸν ἀντιποιούμενον φιλοσοφίας
676 τῆς τοῦ λέγειν καὶ παιδεύσειν ἑτέρους ὑπισχνούμε-
νον, ἂν μὲν ἔχῃ γραμματεῖον ἢ βιβλίον, δεικνύναι
δύνασθαι τὴν αὑτοῦ σοφίαν, ἂν δὲ τούτων ἄμοιρος
γένηται, μηδὲν τῶν ἀπαιδεύτων βελτίω καθεστάναι,
καὶ χρόνου μὲν δοθέντος δύνασθαι λόγον ἐξενεγκεῖν,
εὐθέως δὲ περὶ τοῦ προτεθέντος ἀφωνότερον εἶναι
τῶν ἰδιωτῶν, καὶ λόγων μὲν τέχνας ἐπαγγέλλεσθαι,
τοῦ δὲ λέγειν μηδὲ μικρὰν δύναμιν ἔχοντ᾽ ἐν ἑαυτῷ
φαίνεσθαι. καὶ γὰρ ἡ μελέτη τοῦ γράφειν ἀπορίαν
16 τοῦ λέγειν πλείστην παραδίδωσιν. ὅταν γάρ τις ἐθι-
σθῇ κατὰ μικρὸν ἐξεργάζεσθαι τοὺς λόγους καὶ μετ᾽
ἀκριβείας καὶ ῥυθμοῦ τὰ ῥήματα συντιθέναι καὶ
βραδείᾳ τῇ τῆς διανοίας κινήσει χρώμενος ἐπιτελεῖν
τὴν ἑρμηνείαν, ἀναγκαῖόν ἐστι τοῦτον, ὅταν εἰς
τοὺς αὐτοσχεδιαστοὺς ἔλθῃ λόγους, ἐναντία πράτ-
τοντα ταῖς συνηθείαις ἀπορίας καὶ θορύβου πλήρη
τὴν γνώμην ἔχειν, καὶ πρὸς ἅπαντα μὲν δυσχεραί-
νειν, μηδὲν δὲ διαφέρειν τῶν ἰσχοφώνων, οὐδέποτε
δ᾽ εὐλύτῳ τῇ τῆς ψυχῆς ἀγχινοίᾳ χρώμενον ὑγρῶς
17 καὶ φιλανθρώπως μεταχειρίζεσθαι τοὺς λόγους· ἀλλ᾽
ὥσπερ οἱ διὰ μακρῶν χρόνων ἐκ δεσμῶν λυθέντες
οὐ δύνανται τοῖς ἄλλοις ὁμοίαν ποιήσασθαι τὴν

15. τῆς τοῦ λέγειν Ald. Bk.: ἐν τῷ λέγειν C, ἀντιλέγειν v. Sed et Aldinae lectio coniecturae deberi videtur; itaque malim καὶ λέγειν παιδεύσειν. — τὸν] τὸ T.

16. ἰσχοφώνων mal. Bk.: ἰσχνοφώνων. — „φιλανθρώπως] h. e. φιλανῶς. Fort. ἱλαρῶς.“ S. At hiatus hoc modo existet.

ὁδοιπορίαν, ἀλλ' εἰς ἐκεῖνα τὰ σχήματα καὶ τοὺς ῥυθμοὺς ἀποφέρονται μεθ' ὧν καὶ δεδεμένοις αὐτοῖς ἀναγκαῖον ἦν πορεύεσθαι, τὸν αὐτὸν τρόπον ἡ γραφὴ βραδείας τὰς διαβάσεις τῇ γνώμῃ παρασκευάζουσα καὶ τοῦ λέγειν ἐν τοῖς ἐναντίοις ἔθεσι ποιουμένη τὴν ἄσκησιν ἄπορον καὶ δεσμῶτιν τὴν ψυχὴν καθίστησι καὶ τῆς ἐν τοῖς αὐτοσχεδιαστοῖς εὐροίας ἁπάσης ἐπίπροσθεν γίγνεται.

Νομίζω δὲ καὶ τὴν μάθησιν τῶν γραπτῶν λό- 18
γων χαλεπὴν καὶ τὴν μνήμην ἐπίπονον καὶ τὴν λήθην αἰσχρὰν ἐν τοῖς ἀγῶσι γίγνεσθαι. πάντες γὰρ ἂν ὁμολογήσειαν τὰ μικρὰ τῶν μεγάλων καὶ τὰ πολλὰ τῶν ὀλίγων χαλεπώτερον εἶναι μαθεῖν καὶ μνημονεῦσαι. περὶ μὲν οὖν τοὺς αὐτοσχεδιασμοὺς ἐπὶ τῶν ἐνθυμημάτων δεῖ μόνον τὴν γνώμην ἔχειν, τοῖς δ' ὀνόμασιν ἐκ τοῦ παραυτίκα δηλοῦν· ἐν δὲ τοῖς γραπτοῖς λόγοις καὶ τῶν ἐνθυμημάτων καὶ τῶν ὀνομάτων καὶ συλλαβῶν ἀναγκαῖόν ἐστι ποιεῖσθαι τὴν
μνήμην καὶ τὴν μάθησιν ἀκριβῆ. ἐνθυμήματα μὲν 19
οὖν ὀλίγα καὶ μεγάλα τοῖς λόγοις ἔνεστιν, ὀνόματα δὲ καὶ ῥήματα πολλὰ καὶ ταπεινὰ καὶ μικρὸν ἀλλήλων διαφέροντα, καὶ τῶν μὲν ἐνθυμημάτων ἅπαξ ἕκαστον δηλοῦται, τοῖς δ' ὀνόμασι πολλάκις τοῖς αὐτοῖς ἀναγκαζόμεθα χρῆσθαι· διὸ τῶν μὲν εὔπορος

17. τῆς ἐν om. C.

18. τῶν ἐνθυμημάτων καὶ τῶν ὀνομ. ci. S.: τῶν ὀνομ. καὶ τῶν ἐνθυμημάτων. nisi potius, ut Dobr. voluit, verba καὶ τῶν ἐνθυμ. delenda sunt. — ἀκριβῆ] hiatus in hac oratione minime tolerandus.

19. δυςανάληπτος cum Ald. Bk.: δυςαν. ἡ μνήμη cum codd. S.

ἡ μνήμη, τοῖς δὲ δυσανάληπτος καὶ δυσφύλακτος ἡ
20 μάθησις καθέστηκεν. ἔτι τοίνυν αἱ λῆθαι περὶ μὲν
677 τοὺς αὐτοσχεδιασμοὺς ἄδηλον | τὴν αἰσχύνην ἔχου-
σιν. εὐλύτου γὰρ τῆς ἑρμηνείας οὔσης καὶ τῶν
ὀνομάτων οὐκ ἀκριβῶς συνεξεσμένων, ἂν ἄρα καὶ
διαφύγῃ τι τῶν ἐνθυμημάτων, οὐ χαλεπὸν ὑπερβῆ-
ναι τῷ ῥήτορι καὶ τῶν ἐφεξῆς ἐνθυμημάτων ἁψά-
μενον μηδεμιᾷ τὸν λόγον αἰσχύνῃ περιβαλεῖν· ἀλλὰ
καὶ τῶν διαφυγόντων, ἂν ὕστερον ἀναμνησθῇ, ῥᾴ-
21 διον ποιήσασθαι τὴν δήλωσιν. τοῖς δὲ γεγραμμένα
λέγουσιν, ἂν κατὰ μικρὸν ὑπὸ τῆς ἀγωνίας ἐκλίπωσί
τι καὶ παραλλάξωσιν, ἀπορίαν ἀνάγκη καὶ πλάνον
καὶ ζήτησιν ἐγγενέσθαι, καὶ μακροὺς μὲν χρόνους
ἐπίσχειν, πολλάκις δὲ τῇ σιωπῇ διαλαμβάνειν τὸν
λόγον, ἀσχήμονα δὲ καὶ καταγέλαστον καὶ δυσεπι-
κούρητον καθεστάναι τὴν ἀπορίαν.
22 Ἡγοῦμαι δὲ καὶ ταῖς ἐπιθυμίαις τῶν ἀκροατῶν
ἄμεινον χρῆσθαι τοὺς αὐτοσχεδιάζοντας τῶν τὰ γε-
γραμμένα λεγόντων. οἱ μὲν γὰρ πολὺ πρὸ τῶν ἀγώ-
νων τὰ συγγράμματα διαπονήσαντες ἐνίοτε τῶν και-
ρῶν ἁμαρτάνουσιν· ἢ γὰρ μακρότερα τῆς ἐπιθυμίας
λέγοντες ἀπεχθάνονται τοῖς ἀκούουσιν, ἢ βουλομένων
ἔτι τῶν ἀνθρώπων ἀκροᾶσθαι προαπολείπουσι τοὺς
23 λόγους. χαλεπὸν γάρ, ἴσως δ' ἀδύνατόν ἐστιν ἀν-
θρωπίνην πρόνοιαν ἐφικέσθαι τοῦ μέλλοντος, ὥςτε
προϊδεῖν ἀκριβῶς τίνα τρόπον αἱ γνῶμαι τῶν ἀκου-
όντων πρὸς τὰ μήκη τῶν λεγομένων ἕξουσιν. ἐν δὲ
τοῖς αὐτοσχεδιασμοῖς ἐπὶ τῷ λέγοντι γίγνεται ταμι-

20. λῆθαι] ἀλήθειαι KMTXb.
21. τι post ἐκλίπωσι om. C. — ἐγγίνεσθαι auct. Bk. S.

εύεσθαι τοὺς λόγους πρὸς τὰς δυνάμεις αὐτῶν ἀποβλέποντι, καὶ τά (τε) μήκη συντέμνειν καὶ τὰ συντόμως ἐσκεμμένα διὰ μακροτέρων δηλοῦν.

Χωρὶς τοίνυν τούτων οὐδὲ τοῖς παρ' αὐτῶν τῶν 24 ἀγώνων ἐνθυμήμασι διδομένοις ὁμοίως ὁρῶμεν ἑκατέρους χρῆσθαι δυναμένους. τοῖς μὲν γὰρ ἄγραφα λέγουσιν, ἄν τι παρὰ τῶν ἀντιδίκων ἐνθύμημα λάβωσιν ἢ διὰ τὴν συντονίαν τῆς διανοίας αὐτοὶ παρὰ σφῶν αὐτῶν διανοηθῶσιν, εὔπορόν ἐστιν ἐν τάξει θεῖναι· τοῖς γὰρ ὀνόμασιν ἐκ τοῦ παραυτίκα περὶ πάντων δηλοῦντες, οὐδ' ὅταν πλείω τῶν ἐσκεμμένων λέγωσιν, οὐδαμῇ τὸν λόγον ἀνώμαλον καὶ ταραχώδη καθιστᾶσι· τοῖς δὲ μετὰ τῶν γραπτῶν λόγων ἀγωνι- 25 ζομένοις, ἂν ἄρα τι χωρὶς τῆς παρασκευῆς ἐνθύμημα δοθῇ, χαλεπὸν ἐναρμόσαι καὶ χρῆσθαι κατὰ τρόπον· αἱ γὰρ ἀκρίβειαι τῆς τῶν ὀνομάτων ἐξεργασίας οὐ παραδέχονται τοὺς αὐτοματισμούς, ἀλλ' ἀναγκαῖον ἢ μηδὲν χρῆσθαι τοῖς ἀπὸ τῆς τύχης ἐνθυμήμασι δοθεῖσιν ἢ χρώμενον διαλύειν καὶ συνερείπειν τὴν τῶν ὀνομάτων οἰκοδομίαν, καὶ τὰ μὲν ἀκριβῶς τὰ δ' εἰκῇ λέγοντα ταραχώδη καὶ διάφωνον καθιστάναι τὴν ἑρμηνείαν. καίτοι τίς ἂν εὖ φρονῶν ἀποδέξαιτο 26 τὴν τοιαύτην μελέτην, ἥτις καὶ τῶν αὐτομάτων ἀγαθῶν ἐπίπροσθεν τῇ χρήσει καθέστηκε καὶ χείρω τῆς

23. τὰς δυνάμεις αὐτῶν scripsi: τὰς δυν. τῶν λόγων v., τὰς δυν. τῶν γνωμῶν C Bk. S.; τ. δ. τῶν καιρῶν ci. S. Fort. autem gravior etiam corruptela subsit: τὰς ἐπιθυμίας τῶν ἀνθρώπων s. ἀκροατῶν?

24. αὐτοὶ scripsi: αὐτῶν. — πάντων W: ἁπάντων. — οὐδαμῇ Bk. cum C: οὐδαμᾶ T, οὐδαμῶ Mb, οὐδαμοῦ v.

25. καὶ χρῆσθαι C Bk.: καὶ κεχρῆσθαι. — οἰκοδομίαν scripsi: οἰκονομίαν. — διάφωνον auct. R. S.: ἄφωνον.

678 | τύχης ἐνίοτε τοῖς ἀγωνιζομένοις τὴν ἐπικουρίαν παραδίδωσι, καὶ τῶν ἄλλων τεχνῶν ἐπὶ τὸ βέλτιον ἄγειν τὸν τῶν ἀνθρώπων βίον εἰθισμένων αὐτὴ καὶ τοῖς αὐτομάτοις εὐπορήμασιν ἐμποδών ἐστιν.

27 Ἡγοῦμαι δ' οὐδὲ λόγους δίκαιον εἶναι καλεῖσθαι τοὺς γεγραμμένους, ἀλλ' ὥςπερ εἴδωλα καὶ σχήματα καὶ μιμήματα λόγων, καὶ τὴν αὐτὴν κατ' αὐτῶν εἰκότως ἂν δόξαν ἔχοιμεν, ἥνπερ καὶ κατὰ τῶν χαλκῶν ἀνδριάντων καὶ λιθίνων ἀγαλμάτων καὶ γεγραμμένων ζώων. ὥςπερ γὰρ ταῦτα μιμήματα τῶν ἀληθινῶν σωμάτων ἐστὶ, καὶ τέρψιν μὲν ἐπὶ τῆς θεωρίας ἔχει, χρῆσιν δ' οὐδεμίαν τῷ τῶν ἀνθρώπων
28 βίῳ παραδίδωσι, τὸν αὐτὸν τρόπον ὁ γεγραμμένος λόγος, ἑνὶ σχήματι καὶ τάξει κεχρημένος, ἐκ βιβλίου (μὲν) θεωρούμενος ἔχει τινὰς ἐκπλήξεις, ἐπὶ δὲ τῶν καιρῶν ἀκίνητος ὢν οὐδεμίαν ὠφέλειαν τοῖς κεκτημένοις παραδίδωσιν· ἀλλ' ὥςπερ ἀνδριάντων καλῶν ἀληθινὰ σώματα πολὺ χείρους τὰς εὐπρεπείας ἔχοντα πολλαπλασίους ἐπὶ τῶν ἔργων τὰς ὠφελείας παραδίδωσιν, οὕτω καὶ λόγος ὁ μὲν ἀπ' αὐτῆς τῆς διανοίας ἐν τῷ παραυτίκα λεγόμενος ἔμψυχός ἐστι καὶ ζῇ καὶ τοῖς πράγμασιν ἕπεται καὶ τοῖς ἀληθέσιν ἀφωμοίωται σώμασιν, ὁ δὲ γεγραμμένος εἰκόνι λόγου

26. αὐτὴ S.: αὕτη.

27. ἔχοιμι Bk. cum C. — καὶ post ἥνπερ om. Bk. cum C.

28. μιᾷ τάξει ci. R. — κεχρημένος codd. Bk.: γεγραμμένος. — μὲν post βιβλίου addendum ci. S. — displicet παραδίδωσι quater intra has tres paragraphos in membrorum fine repetitum. — εὐπρεπείας scripsi: εὐπορίας. — ἀπ' αὐτῆς τῆς διανοίας ci. R.: ἐπ' αὐτῆς τ. δ. (pro διανοίας S. requirit ἀνάγκης vel simile quid, ego mallem ἀγωνίας). —

τὴν φύσιν ὁμοίαν ἔχων ἁπάσης ἐνεργείας ἄμοιρος
καθέστηκεν.
Ἴσως ἂν οὖν εἴποι τις ὡς ἄλογόν ἐστι κατηγορεῖν 29
μὲν τῆς γραφικῆς δυνάμεως, αὐτὸν δὲ διὰ ταύτης
φαίνεσθαι τὰς ἐπιδείξεις ποιούμενον, καὶ προδια-
βάλλειν τὴν πραγματείαν ταύτην δι᾽ ἧς εὐδοκιμεῖν
παρασκευάζεται παρὰ τοῖς Ἕλλησιν, ἔτι δὲ περὶ φι-
λοσοφίαν διατρίβοντα τοὺς αὐτοσχεδιαστικοὺς λόγους
ἐπαινεῖν καὶ προυργιαίτερον ἡγεῖσθαι τὴν τύχην τῆς
προνοίας καὶ φρονιμωτέρους τοὺς εἰκῇ λέγοντας τῶν
μετὰ παρασκευῆς γραφόντων. ἐγὼ δὲ πρῶτον μὲν 30
οὐ παντελῶς ἀποδοκιμάζων τὴν γραφικὴν δύναμιν
ἀλλὰ χείρω τῆς αὐτοσχεδιαστικῆς ἡγούμενος εἶναι,
καὶ τοῦ δύνασθαι λέγειν πλείστην ἐπιμέλειαν οἰόμενος
χρῆναι ποιεῖσθαι, τούτους εἴρηκα τοὺς λόγους· ἔπειτα
προςχρῶμαι τῷ γράφειν οὐκ ἐπὶ τούτῳ μέγιστον
φρονῶν, ἀλλ᾽ ἵν᾽ ἐπιδείξω τοῖς ἐπὶ ταύτῃ τῇ δυνά-
μει σεμνυνομένοις ὅτι μικρὰ πονήσαντες ἡμεῖς ἀπο-
κρύψαι καὶ καταλῦσαι τοὺς λόγους αὐτῶν οἷοί τ᾽
ἐσόμεθα. πρὸς δὲ τούτοις καὶ τῶν ἐπιδείξεων ἕνεκα 31
τῶν εἰς τοὺς ὄχλους ἐκφερομένων ἅπτομαι τοῦ γρά-
φειν. τοῖς μὲν γὰρ πολλάκις ἡμῖν ἐντυγχάνουσιν ἐξ
ἐκείνου τοῦ τρόπου παρακελεύομαι πεῖραν ἡμῶν | 679
λαμβάνειν, ὅταν ὑπὲρ ἅπαντος τοῦ προτεθέντος εὐ-

ἐνεργείας R. S.: *εὐεργεσίας.*

29. *αὐτὸν* auct. Bk. S.: *ἑαυτὸν.* — *ἐπιδείξεις* Bk.: *ἀποδείξεις.* — *προδιαβάλλειν* C Bk.: *προςδιαβάλλειν.*

30. *καταλῦσαι*] *κατακλύσαι* ci. R.

31. *ἐπιδείξεως* C; voluitne *τῶν ἐπιδείξεως εἵνεκα εἰς τ. ὄ. ἐκφερ.?* — *εἵνεκα* CX. — *ὄχλους*] *λόγους* C. — *ἐκφερομένους* KMTb. — nonne *παρακελευόμεθα?* —

καίρως καὶ μουσικῶς εἰπεῖν οἷοί τ᾽ ὦμεν· τοῖς δὲ διὰ χρόνου μὲν ἐπὶ τὰς ἀκροάσεις ἀφικνουμένοις, μηδεπώποτε δὲ πρότερον ἡμῖν ἐντετυχηκόσιν ἐπιχειροῦμέν τι δεικνύναι τῶν γεγραμμένων· εἰθισμένοι γὰρ ἀκροᾶσθαι τῶν ἄλλων γραπτοὺς λόγους ἴσως ἂν ἡμῶν αὐτοσχεδιαζόντων ἀκούοντες ἐλάττονα τῆς
32 ἀξίας δόξαν καθ᾽ ἡμῶν λάβοιεν. χωρὶς δὲ τούτων καὶ σημεῖα τῆς ἐπιδόσεως, ἣν εἰκὸς ἐν τῇ διανοίᾳ γίγνεσθαι, παρὰ τῶν γραπτῶν λόγων ἐναργέστατα κατιδεῖν ἔστιν. εἰ μὲν γὰρ βέλτιον αὐτοσχεδιάζομεν νῦν ἢ πρότερον, οὐ ῥάδιον ἐπικρίνειν ἐστί· χαλεπαὶ γὰρ αἱ μνῆμαι τῶν προειρημένων λόγων καθεστήκασιν· εἰς δὲ τὰ γεγραμμένα κατιδόντας ὥσπερ ἐν κατόπτρῳ θεωρῆσαι τὰς τῆς ψυχῆς ἐπιδόσεις ῥάδιόν ἐστιν. ἔτι δὲ καὶ μνημεῖα καταλιπεῖν ἡμῶν αὐτῶν σπουδάζοντες καὶ τῇ φιλοτιμίᾳ χαριζόμενοι λόγους γράφειν ἐπιχειροῦμεν.

33 Ἀλλὰ μὴν οὐδ᾽ ὡς εἰκῇ λέγειν παρακελευόμεθα, τὴν αὐτοσχεδιαστικὴν δύναμιν τῆς γραφικῆς προτιμῶντες, ἄξιόν ἐστι πιστεύειν. τοῖς μὲν γὰρ ἐνθυμήμασι καὶ τῇ τάξει μετὰ προνοίας ἡγούμεθα δεῖν χρῆσθαι τοὺς ῥήτορας, περὶ δὲ τὴν τῶν ὀνομάτων δήλωσιν αὐτοσχεδιάζειν· οὐ γὰρ τοσαύτην ὠφέλειαν αἱ τῶν γραπτῶν λόγων ἀκρίβειαι παραδιδόασιν, ὅσην εὐκαιρίαν αἱ τῶν ἐκ τοῦ παραχρῆμα λεγομένων
34 δηλώσεις ἔχουσιν. Ὅστις οὖν ἐπιθυμεῖ ῥήτωρ γενέ-

ἀφικνουμένοις scripsi: ἀφιγμένοις. — γραπτοὺς Dobr.: τούς.
33. οὐδ᾽ ὡς codd. Bk.: ὡς οὐδ᾽. — χρᾶσθαι KMNTXb.
34. ἅμα καὶ scripsi: ἀλλὰ καὶ C: ἀλλὰ μὴ v. —

σθαι δεινὸς ἅμα καὶ ποιητὴς λόγων ἱκανός, καὶ βούλεται μᾶλλον τοῖς καιροῖς χρῆσθαι καλῶς ἢ τοῖς ὀνόμασι λέγειν ἀκριβῶς, καὶ τὴν εὔνοιαν τῶν ἀκροωμένων ἐπίκουρον ἔχειν σπουδάζει μᾶλλον ἢ τὸν φθόνον ἀνταγωνιστήν, ἔτι δὲ καὶ τὴν γνώμην εὔλυτον καὶ τὴν μνήμην εὔπορον καὶ τὴν λήθην ἄδηλον καθεστάναι βούλεται, καὶ τῇ χρείᾳ τοῦ βίου σύμμετρον τὴν δύναμιν τῶν λόγων κεκτῆσθαι πρόθυμός ἐστιν, εἰκότως ἂν τοῦ μὲν αὐτοσχεδιάζειν ἀεί τε καὶ διὰ παντὸς ἐνεργὸν τὴν μελέτην ποιοῖτο, τοῦ δὲ γράφειν ἐν παιδιᾷ καὶ παρέργως ἐπιμελόμενος εὖ φρονεῖν κριθείη παρὰ τοῖς εὖ φρονοῦσιν.

χρῆσθαι C Bk.: *χρᾶσθαι.* — *σπουδάζειν* CK. — *τὴν γνώμην εὔλυτον καὶ τὴν μνήμην εὔπορον* scripsi coll. §§ 16 et 19: *τὴν γνώμην* (*μνήμην* ci. S.) *εὔπορον καὶ τὴν μνήμην* (*ἑρμηνείαν* ci. S.) *εὔλυτον.*

35. *εἰκότως* C: *οὐκ εἰκότως* KMNTXb, *οὗτος εἰκότως* Ald. Bk. — *παρέργως* scripsi: *παρέργῳ* cum hiatu.

ADDENDA ET CORRIGENDA.

P. 124 sqq. Fragmenta Antiphontis Sophistae.

Monui in praefatione, sero in manus meas pervenisse Sauppii dissertationem de Antiphonte sophista, cuius ex copiis haec nunc apponenda videntur.

Fr. 81 p. 125. Priorem locum J. Bernays (Mus. rhen. 9 p. 256) ita restituere conatus est: *ἑνί τε λόγῳ, ταυταδὶ νοῦς εἴσεται, ἕν τε οὐδὲν αὐτῷ· οὔτε οὖν ὄψει ὁρᾷ μακρότητα οὔτε ἂν γνώμῃ γιγνώσκοι ὁ μακρότητα γιγνώσκων.* Sauppius autem haec nunc proponit: *ὥςπερ καὶ ὁ Ἀ. ἐν τῷ περὶ τῆς Ἀληθείας πρώτῳ λόγῳ· ταῦτα δὲ γνώσει, ἕν τε οὐδὲν τὸ αὐτό· οὔτε οὖν ὄψει ὁρᾷ ὁ ὁρῶν* (*ὄψι ὁρῶν* cod. paris. 1849 teste Hasio) *μακρότητα οὔτε οὖν γνώμῃ γιγνώσκει ὁ γιγνώσκων*, hoc sensu: *haec vero* (res singulas) *tu cognosces*, *neque quidquam in eis unum idemque*, *ut neque qui cernit* (res singulas) *oculis cernere possit longitudinem neque cognitione eam cognoscere qui cognoscit* (res singulas). Ad sententiam cum Bern. comp. Diogen. La. 6, 53.

Fr. 94 p. 128 ad initium alterius libri refert S.

Fr. 103 p. 129. De Antiphontis quadratura Simplicii iste quem adscripsi locus nihil recte docet; audiendus potius est Themistius (4 p. 327 b 36, ad *φυσ. ἀκρ.* 1, 2), qui haec exhibet: *Ἀντιφῶντα* —, *ὃς ἐγγράφων τριγωνον ἰσόπλευρον εἰς τὸν κύκλον καὶ ἐφ' ἑκάστης* (S.: l. *ἑκάστου*) *τῶν πλευρῶν ἕτερον ἰσοσκελὲς συνιστὰς πρὸς τῇ περιφερείᾳ τοῦ κύκλου, καὶ τοῦτο ἐφεξῆς ποιῶν ᾤετό ποτε ἐφαρμόσειν τοῦ τελευταίου τριγώνου τὴν πλευρὰν εὐθεῖαν οὖσαν τῇ περιφερείᾳ.* Add. Simpl. ad eundem locum (p. 327 a 36).

ante fr. 104 (ibd.) addendum est frg. 103a e Stob. ecl. phys. 1. 25, 1: *Ἀντ.* (*τὸν ἥλιον ἀπεφήνατο ὑπάρχειν*) *πῦρ ἐπινεμόμενον μὲν τὸν περὶ τὴν γῆν ὑγρὸν ἀέρα, ἀνατολὰς δὲ καὶ δύσεις ποιούμενον τῷ τὸν μὲν ἐπικαιόμενον ἀεὶ προλείπειν τοῦ δ' ὑπονοτιζομένου πάλιν ἀντέχεσθαι.*

Fr. 104 de luna exstat etiam ap. Stob. ecl. phys. 1. 26, 1 et ap. Io. Lydum de mensibus 3, 8. — *ἰδιοφεγγῆ* Stob. S.; *ἰδίῳ μὲν φέγγει* Lyd. — *πυρὸς* post *ἰσχυροτέρου* cum Stob. del. S.; *φωτὸς* Lyd. — Coniungendum autem cum hoc loco, quod teste Stob. l. d. defectiones lunae fieri dixerant *Ἀλκμαίων Ἡράκλειτος Ἀντιφῶν κατὰ τὴν τοῦ σκαφοειδοῦς στροφὴν καὶ τὰς περικλίσεις.*

post fr. 105 add. frg. 105a ap. Stob. ecl. 1. 8, 40: *Ἀντιφάνης* (*Ἀντιφῶν* Meineke prob. S.) *νόημα ἢ μέτρον τὸν χρόνον, οὐχ ὑπόστασιν.*

Fr. 124 p. 132. Harpocrationis locum nunc ita rest. S.: — — *ἀντὶ τοῦ τὸ* (*διπλάσιον καὶ τὸ*) *ἡμιόλιον δοῦναι* (fort. *θεῖναι*) *ἐν τοῖς λογισμοῖς.*

Fr. 125—133, quae ego libro *περὶ ὁμονοίας* adscripsi, S. et ipsa ad Politicum refert.

Fr. 129 p. 135, 3 ita nunc scribi vult S.: *ἢ ὅςτις τοῦ θυμοῦ τὰς παραχρῆμα ἡδονὰς ἐμφράσσων* [*αὐτὸς ἑαυτὸν*] *κρατεῖν τε καὶ νικᾶν ἠδυνήθη αὐτὸς ἑαυτόν,* quas mutationes necessarias non puto.

Fr. 131 p. 135, 21 *ἴσα φρονεῖν ἴσα βαίνειν* antea S. rescripserat: nunc *ἴσα φρονοῦντας ἴσα βαίνοντας* sententiae satis convenire ducit. — paullo post pro eo quod est *φέρε δὴ* restit. *φέρε δὲ.*

Fr. 132 p. 137 *εὐκατηγόρητος πᾶς ὁ βίος θαυμαστῶς ὡς ὦ μακάριε* nunc S.

Fr. 133 ibd. verba *τό τε μῆκος τοῦ βίου ἡμέρᾳ μιᾷ* del. vult S.

Denique ap. Polluc. II, 224 (p. 143 adn.) quae in cod. Antwerpiensi adscripta protulit Ruhnkenius, ita prob. S. emendavit Meinekius: *ἐν τῷ θ' συνόψεως τῶν κατ' ἄνθρωπον.*

INDEX
NOMINUM ET RERUM MEMORABILIUM.

A.

B.

Γ.

Δ.

E.

Z.

H.

Θ.

I.

K.

Λ.

Ρ.

Σ.

X.

Ψ.

ANDOCIDIS
ORATIONES

EDIDIT

FRIDERICUS BLASS.

EDITIO ALTERA CORRECTIOR.



LIPSIAE,
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXX.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

PRAEFATIO.

Andocidis codices eosdem fere atque Antiphontis habemus, praeterquam quod Oxoniensis N ope in hoc oratore destituti sumus. Quos ut omnes ex uno exemplari derivatos esse e lacunis corruptelisque multis, quas omnes communes habent, certissimum est, ita nihil dubium quin antiquum illud exemplar in codice Crippsiano A magis fideliter expressum, in ceteris multimodis corruptum intueamur. Contulit autem I. Bekkerus praeter Crippsianum tres Andocidis libros: Laurentianum B, qui plerumque cum illo consentiens aliquanto tamen deterior est, Marcianum L et Vratislaviensem Z, quos cum et corruptissimos esse et eadem omnia plerumque exhibere videret, Marcianum post orationem primam missum fecit. Ambrosianum autem P et Burneianum M paucis locis Bekkerus inspexit, neque hercle ex codicis M integra collatione, quae apud Dobsonum exstat, quicquam magnopere lucrati sumus.*) Contra quod Crippsianum idem Dobsonus iterum excussit, id quidem non sine aliquo fructu factum est. Quod nequaquam de mea ipsius opera dixerim: nam et ipse cum Londinii essem, Crippsiani eos locos quibus correctus esse videba-

*) Codicem Z ex M descriptum esse comprobare student Thalheim (in Fleckeiseni Annal. vol. CXV, p. 673) et Reutzel (Exercit. crit. in Antiphontis or. [diss. Giss. 1879] p. 10).

tur inspexi, multaque primus enotavi, quae vellem equidem utiliora fuissent. Sed cum semper fere eadem manus, alia paucis tantum locis (I, 3. 5) correxerit, res haud perinde est in Andocide atque in Antiphonte et Dinarcho. Ille suo archetypo collato correctus est, hi et ad archetypum et ab alio ad alium codicem: itaque quae ex illo sublata sunt, plerumque mera σφάλματα fuerunt, quae ex his, non item. Ea autem manus quae duos hos Isaeum quoque pertractavit, ita tamen ut eius verba semper fere emendaret, paene numquam corrumperet; reliquos oratores quorum opera in eo codice insunt non attigit. — Haud scio an aliquem usum praestiturus sit codex Q Ambrosianus, qui habet Andocidis orationes III et IV; in Isaeo, cuius itidem habet duas orationes, minime spernendus est. Sed ad Andocidem eum neque Bekkerus neque alius quisquam adhuc contulit. — Codicis instar est exemplar quoddam editionis Aldinae, quod in bibliotheca Hamburgensi nunc asservatur: in eius margine vir quidam doctus varias lectiones ex aliquo codice, qui nobis non praesto est, adscripsit. De eis diligentissime egit Aem. Rosenberg in Fleckeiseni Annalibus, vol. CIX (1874), p. 338 sqq. Eaedem fere in Leydensi exemplari Aldinae exstant, unde protulit Sluiterus. Non sunt magni pretii. — Ego Crippsiani lectiones e Bekkeri Dobsonique (A^d) apparatu, adiectis quas ipse enotatas habebam, integras in hanc editionem transtuli; ceterorum codicum consensum nunquam neglexi; reliquam autem lectionum farraginem magnam partem abieci. Qua in re id tantum vereor, ne cui iusto plura retinuisse videar; sed in hanc partem peccare malui.

Editionem Andocidis principem Aldus Manutius confecit, libro usus deterioribus nostris simili, sed qui praeter corruptelas proprias plurimas interdum veriorem etiam lectionem praeberet.*) Aldum secutus Henr. Stephanus suapte coniectura non pauca emendavit; Reiskius deinde (R.), quamvis ne ille quidem ullis librorum manuscriptorum adiumentis usus, et sustulit ipse menda quaedam et adnotationes aspersit bonae frugis plenissimas, ita ut eorum quae Bekkerus e codicibus nova introduxit permagnam partem coniectura ab illo iam inventa fuisse videamus. Postquam I. Bekkerus pro vulgata illa novam ex codicibus optimis recensionem proposuit, primus Dobsonus inter ceteros oratores Atticos Andocidem quoque edidit, quae editio quamvis sit propter copias lectionum adnotationumque Dobrei, Reiskii, aliorum virorum doctorum appositas utilissima, nova tamen et ex coniectura vel ipsius editoris vel alius cuiusquam profecta haud sane continet. Car. quoque Schillerus (Schi.), qui post Sluiteri lectiones Andocideas denuo editas orationes quoque ipsas typis mandandas curavit, in Bekkeri plerumque lectionibus acquievit, pauca mutavit. Turicenses vero editores Baiterus et Sauppius (Turr.) magnopere rem promoverunt, cum certatim locis corruptis medelas quaererent et reperirent: quae ab altero profecta alterius adsensum non tulerunt, ea in

*) Exemplum praesto est or. 1, 123, ubi codices *ἀποφεύξαιμι*, Aldus *ἀποφθέγξομαι*, quod illo loco sensu omnino cassum est, vera lectio a Reiskio et Valckenaerio reperta *ἀποφεύξομαι*.

adnotationibus apposita magno ad emendandas orationes adiumento sunt.

Sed etiam qui non ediderint has orationes multi multa contulerunt. Nomino ex eis, quorum copiis iam Bekkerus usus est, Valckenaerium, Luzacium, Sluiterum (Sl.), quorum plurimas coniecturas nunc in orationibus ipsis legimus. Quos secutus est non minore successu quem coniectorem felicissimum Sauppius praedicat Dobreus Britannus, et apud nos Ad. Emperius. Postea autem quamvis multi viri docti in Andocide operam collocarint, tamen haud aeque multum in emendandis orationibus profectum est. Meierus et Vaterus aliis nominibus bene de Andocide meruerunt, artem criticam in eo vix sequebantur. Klotzius autem (Kl.), qui Schillerianae editionis censor exstitit (J. J. 1835 XIII p. 372), id praesertim egit ut corruptissimam quamque lectionem enixo studio defenderet; raro ut recte et prospero successu tutaretur contigit. Bergkius in epistula ad Schillerum, quae huius editioni adiuncta legitur, locos quosdam paucos egregie sane tractavit explicavitque. Pauca sunt Cobeti, plura Hirschigii (Hi.; Philol. 1850 p. 318), sed ea nequaquam cum eis comparanda quae in Antiphonte postea idem ille praestitit. Egregie autem Kirchhoffius aliquot primae orationis locos ex inscriptionibus et illustravit et emendavit (Ann. Fleckeis. 1860 p. 238; Herm. I p. 1). Reliquos quorum scriptis maiore minoreve cum fructu usus sum iam uno in conspectu proponam. Bake Schol. hypomn. I p. 222 et V, 242. — I. Droysen, de Demophanti Patroclidis Tisameni populiscitis, diss. Berl. 1873. — H. Frohberger, Recens. dissert. Köpkii, Philol. Anzeiger II p. 327,

et Coniect. in oratores Atticos, Philol. 1870 p. 630. — C. Fuhr, Animadversiones in oratores Atticos, diss. Bonn. 1877. — G. Gebauer, de praeteritionis formis ap. or. Att., Lips. 1874, et De hypotacticis et paratacticis argumenti ex contrario formis, Zwiccaviae 1877. — W. Helbig, Annal. Fleckeis. 1862 p. 679. — C. Fr. Hertlein, [Conjecturen z. griech. Prosaikern, Progr. Wertheim 1862, cuius mihi copia non fuit, et] Zu griech. Prosaikern, Herm. XII, p. 182. — L. Kayser, Recens. dissert. Linderi, Mus. Rh. N. S. XVI, 72. — R. Köpke (Kö.), Emendationes Andocideae, Progr. Guben 1869. — C. Gust. Linder, de rerum dispositione apud Antiphontem et Andocidem, diss. Upsal. 1859. — I. H. Lipsius (Li.), Annal. Fleckeis. 1870 p. 737; Recens. editionis meae, Philol. Anzeiger IV p. 338; Rec. diss. Droyseni, ibd. VI, 233. — S. A. Naber, Mnemos. III, 66. (Non mihi praesto fuit eiusdem diss. de or. I, Lugd. Bat. 1850). — E. Rosenberg, Annal. Fleckeis. 1874, p. 338. — H. Sauppe (S.), Symbolae ad emendandos orat. Att., Ind. lect. Gotting. 1873. — C. Scheibe, zur Erklärung des Beschlusses des Patrokleides, Zeitschr. f. Alterth. 1842 p. 201. — R. Schöll, Recens. diss. Droyseni, Jen. LZ. 1874 p. 186. — H. Usener, Mus. Rhen. N. S. XXV. (1870) p. 588. — G. M. Ydén, Andocidis or. de pace, diss. Upsalae 1872. — Grato animo profiteor A. Weidnerum (W.) olim collegam ad Andocidis quoque editionem benignam opem liberaliter tulisse, neque parvo mihi adminiculo fuisse et prudentem et benevolam censuram Andocidis mei, quam Lipsio acceptam refero.

Ipse autem quam normam in constituenda lectione secutus sim, breviter iam exponam. Conie-

cturis audacioribus abstinere vel ob eam causam satius visum est, quod hae orationes, praesertim si Crippsianum respicias, multo minus depravatae sunt quam aut Antiphontis aut Lysiae: id quod cernitur vel maxime in nominibus propriis, quae facillime corrumpebantur neque tamen insignem labem contraxerunt. Dialecti tamen seorsim ratio habenda est: quare cum Schillero *γίγνομαι* et *γιγνώσκω*, quamvis raro in libris tradita, ubique reduxi, neque toleravi in genuinis orationibus nominum in — *ης* desinentium accusativos quales sunt *Δημοσθένην* et *Διογένην*, quos recte idem Schillerus ab Andocidis certe aetate alienos iudicat. Longius progressus ipse haec introduxi: *Ἀλκμεωνίδου* pro *Ἀλκμαιου*. (I, 16) et *Ἀλκμέωνος* pro *Ἀλκμαίονος* (I, 47); cf. quae affert Sauppius ad Dem. 21, 144 et in epistula ad Baiterum de Alcibiade altero p. XIV. — *Συνεκέκλῃτο* pro *συνεκέκλειστο* (I, 48) et *κατεκλῄσαμεν* pro *κατεκλείσαμεν* (III, 7). Reliqui *κλεῖν* I, 61, quod quomodo emendandum esset parum liquebat. — Item *HI* pro *EI* restitui in *λῃτουργεῖν* I, 132; cf. quae dixi in praefatione Isocratis vol. II, p. III. — Porro *ἐλῄσω* pro *ἐληΐσω* (cf. A. v. Bamberg, Ztschr. f. G. W. XXVIII, 26), et *Αἰγῇς* pro *Αἰγηΐς* (I, 101. 62); nam necessario apud Atticos hae vocales in diphthongum coalescebant, et confirmant rem scripturae titulorum IV. saeculi quales sunt *Αἰγείς*, *Ἐρεχθεῖδος*. V. praef. Is. p. IV, 1. — Docuit Sauppius *EI* pro *I* verum esse in formis nominibusque a verbo *τίνω* profectis (v. ibd. p. III): itaque scripsi *Τεισαμενός*, *Τεισάνδρου*, *Τείσαρχον* (I, 83. 117. III, 29. I, 15), *ἀποτεῖσαι* (IV, 18), *ἔκτεισις* (I, 73). Est enim *ἔστεισις* in titulo Tege-

atico notissimo; *τίσις* epicum alia ratione formatum est. — *Σῴζω* scribendum esse in vulgus notum est; contra *ἐσώθην σωτηρία.* De ceteris formis ambigitur: *διασεσωιμένος* extat in tit. Attico circa finem saec. IV, ut Köhlero videtur, exarato (C. I. A. II, 225); idem Köhlerus *διέσ[ωσε* restituit in tit. eiusdem fere aetatis (II, 194), quod num recte fecerit dubito. Expectemus certiora; interim I in his formis nondum addidi. (Cf. de hac re quae congessit H. Usener in Annal. Fleckeis. 1865 p. 238). — *Μουνιχία* restitui I, 80; recentiores demum tituli *υ* pro *ι* praebent (*Μουνυχιών* C. I. A. II, 247; *Μωνυχίαν* tit. Theban. *'Αθήν.* III). — Non tolerandum duxi in tam antiquo scriptore *ἕνεκεν* pro *ἕνεκα* vel *εἵνεκα.* Illa forma in titulis Atticis IV. saec. nusquam quod sciam lecta, aliquoties restituta est (C. I. A. II, 10[b] [rescr. *εὐνοίας ἕνεκα*]. 117. 187. 231. 276). — *Θέλειν* apud Andocidem est I, 22 (ubi *μὴ 'θέλοντας* Turr.) et IV, 7. 37. — *Ξύμμαχος* et *ξυμφορά* saepe ZM praebent, *ἐς* uno loco (III, 3) AB. — *ΣΣ* pro *ΤΤ* in optimis libris nusquam fere traditur; mutavi *τεσσαράκονθ'* III, 33 et *Μολοσσίαν* IV, 41, quamquam haud ignarus huius orationis et in his et in aliis rebus causam separatam esse. Cuius auctor Isocrateo magis genere dicendi usus neque hiatus ultra modum patiens, si e sola forma loquendi aestimes, circa medium quartum saeculum fuisse videtur.

Scholia quaedam vel glossemata in verba Andocidis irrepsisse non est quod dubitemus; at cum numquam multum lectitatus hic scriptor fuerit, multa ea crebraque esse verisimile non videtur. Scripsit commentarium in Andocidis orationes, Suida teste, Valerius Theon, et argumenta duarum certe ora-

tionum nunc quoque manent. Perlustranti autem mihi quattuor has orationes haec occurrunt quae talem speciem prae se ferre videantur. I, 133 *λεύκην, οὓς*] *λεύκην τὸ πόσους* h. e. *λ. τόπος οὓς* codd. omnes. — IV, 2 *ὧν εἷς*] *ὧν τῶν ἀγαθῶν εἷς* codd. omnes, e superioribus *πολίτου δὲ ἀγαθοῦ νομίζω*. — I, 61 *εἰσηγήσατο μὲν ταύτην τὴν βουλὴν*] *γενέσθαι* add. codd. — I, 17 *ἐγράψατο τὸν Σπεύσιππον παρανόμων*] *γραφὴν* add. Ald., lacunam habent BLZM; ergo non in Aldina demum id vocabulum additum est. — I, 142 *τῆς ἐλευθερίας ὑπῆρξαν*] add. *αἴτιοι* Z et mg. M. — III, 21 *τὴν πόλιν ἡμῶν ἀνδραποδίζεσθαι καὶ τὴν χώραν ἐρημοῦν*] *καὶ δῃοῦν* post *ἀνδραποδ.* add. ZM. — III, 26 *μάχεσθαι Λακεδαιμονίοις* AB: *μάχ. πρὸς Λακεδαιμονίους* cett. — II, 16 *οὐκ ἔστιν ὅ τι ἔργον* A pr., *οὐκ ἔστιν ὅ τι ἕτερον ἔργον* cett., *οὐκέτι ἕτερον* Ald.; *ἕτερον ἔργον* del. S. — I, 59 *τῶν δ' ἄλλων, οἳ πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν*] post *οἳ* (*οἱ* codd.) v. additur *λοιποὶ*, quod cum Dobr. delerunt Turr. Sed totum membrum *οἱ λοιποὶ πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν* scholii speciem habet, id quod idem vidit Dobreus. — II, 19 *ἡ βουλὴ* deleri vult Valkenaerius. — Haec sane pauca sunt, et ex eis ipsis quaedam minime certa; denique intra vocabulorum explicationes vel sententiarum quae mancae viderentur complendarum studium paene omnia continentur. Quare quamquam profecto etiam alia glossemata insunt quae nos convincere nequeamus, parcus tamen in secludendo fui neque Dobrei et Hirschigii in eo exemplum sequi volui. Apud nos I. H. Lipsius in interpolationes inquisivit: qui ut exemplo utar 1, 15 in verbis *καὶ κομισθεὶς ἄδειαν εὑρόμενος*

ἀπογράφει δυοῖν δέοντας εἴκοσιν ἄνδρας ea quae sunt *ἄδειαν εὑρόμενος* eici vult, etenim eam rem iam supra verbis *ψηφισαμένης δὲ τῆς βουλῆς* indicatam esse. At ne potuit quidem senatus ei impunitatem decernere qui nondum adesset, sed promittere tantum, si redisset, fore ut decerneretur, et illud *ψήφισμα* nihil aliud continuisse videtur, nisi ut delegati quidam Megarā proficiscerentur Teucrumque his promissis Athenas reducerent.

Ipse autem Lipsius id quidem confitetur, magna cautione opus esse, si quis in hoc oratore interpolationes indagare velit: etenim fuisse Andocidem ad verborum ambages natura propensiorem neque immerito a quibusdam veterum, Hermogene teste, nugatorem habitum esse. Hoc verissimum et omnibus qui artem criticam in hoc oratore faciant imprimis tenendum est. Plurima sunt quae sine detrimento orationis recidi possint, verba, sententiae, totae partes; sed non hercle ideo illa non genuina sunt. Alterum est quod Andocides levitatis concinnitatisque minime studiosus fuit. Quare et in illo loco qui omnium maxime coniecturis hominum doctorum vexatus est: *καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους εἶπον ὡς πρότερον ἑτέρων ἁμαρτόντων κτἑ.* (I, 29), ipse medelam corruptelae similem adhibui, nempe ut addito οἳ post *κατηγόρων* concinnitatem sententiae prorsus tollerem. Denique id moneo, in collocandis verbis nonnumquam liberiorem esse Andocidem et gratiae aliquid ex ea re aucupari videri: quod cum parum animadverterem, iniuria olim tentavi locum I, 30: *ἐν οἷς ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ παραιτούμενον σωθῆναι κτἑ.* Dixit de hac re nuper Waltherus

Francke in dissertatione quae inscribitur: de Andocidis oratione quae est de pace (Halae 1876) p. 7 sqq.

Ceterum eas tantum coniecturas in adnotatione apposui, quae mihi veri specie non prorsus carere viderentur. Auctor cuiusque sedulo indicatus, item editor qui primus receperit. Multas in hac demum altera editione adscripsi, eas praesertim, quae cum a Reiskio, Sluitero, ceteris antiquis factae essent, postea codicum auctoritate confirmatae sunt: ita suum cuique reddi visum est.

Scr. Kiliae mense Februario a. CIƆIƆCCCLXXX.

Fridericus Blass.

VITA ANDOCIDIS

E VITIS X ORATORUM PLUTARCHO ADSCRIPTIS.

1 Ἀνδοκίδης Λεωγόρου μὲν ἦν πατρὸς (τοῦ Ἀνδοκίδου) τοῦ θεμένου ποτὲ πρὸς Λακεδαιμονίους εἰρήνην Ἀθηναίοις, τῶν δήμων δὲ Κυδαθήναιος ἢ Θορεύς, γένους εὐπατριδῶν, ὡς δ' Ἑλλάνικος καὶ ἀπὸ Ἑρμοῦ· καθήκει γὰρ εἰς αὐτὸν τὸ Κηρύκων γένος. — 2 διὸ καὶ προεχειρίσθη ποτὲ μετὰ Γλαύκωνος σὺν ναυσὶν εἴκοσι Κερκυραίοις βοηθήσων διαφερομένοις πρὸς Κορινθίους. 3 μετὰ δὲ ταῦτα αἰτιαθεὶς ἀσεβεῖν ὡς καὶ αὐτὸς τοὺς Ἑρμᾶς περικόψας καὶ εἰς τὰ τῆς Δήμητρος ἁμαρτὼν μυστήρια,

Andocidis res enarravit Caecilius in libro de X oratoribus; Dionysius quoque attigisse videtur (cf. arg. or. III). Ipsi autem biographi veteres fontes praecipuos habuerunt Andocidis ipsius orationes (v. § 13) et Lysiae qui fertur sextam; Theodori Byzantii in Andocidem orationem exstitisse apud Suidam legimus, usurpatam a quoquam esse nescimus. Superest nobis praeter hanc Plutarcheam vitam et Suidae brevissima et *μετάφρασις* quam Plutarcheae confecit Photius (cod. 261). — 1. *τοῦ Ἀνδοκίδου* add. Ruhnken. West. coll. Andoc. 3, 6. — *τῶν δήμων* AHP West.: *τὸν δῆμον*. — *Κυδαθηναιεὺς* Taylor. — *Θορεύς* Taylor: *Θουρεύς*. v. C. I. Gr. n. 213 (C. I. A. II, 553): *Ἀνδοκίδης Λειωγόρου Κυδαθηναιεύς*, et Androt. ap. Schol. Aristid. III, 485 Dd.: *Ἀνδοκίδης Κυδαθηναιεύς*. — *Ἑλλάνικος*] cf. Plut. Alcib. c. 21: *Ἀ. ὁ ῥήτωρ, ὃν Ἑλλάνικος ὁ συγγραφεὺς εἰς τοὺς Ὀδυσσέως ἀπογόνους ἀνήγαγεν*, et Suid. s. v. *Ἀνδ.*: *ἀπόγονος Τηλεμάχου τοῦ Ὀδυσσέως καὶ Ναυσικάας, ὥς φησιν Ἑλλάνικος*. Inepta est explicatio sive auctoris sive interpolatoris qui *Κηρύκων* gentem admiscuit. — 2. E Thucyd. I, 51 (l. d.); sed hic si fuit avus est. — 4 et 5 e margine demum sententiae interiecta

4 [διὰ τὸ πρότερον ἀκόλαστον ὄντα νύκτωρ κωμά-
σαντα θραῦσαί τι τῶν ἀγαλμάτων τοῦ θεοῦ, καὶ
εἰςαγγελθέντα, ἐπειδὴ οὐκ ἠβουλήθη ὃν ἐξῄτουν
οἱ κατήγοροι δοῦλον ἐκδοῦναι, διαβληθῆναι καὶ
πρὸς τὴν αἰτίαν τῆς δευτέρας γραφῆς ὕποπτον
5 γενέσθαι, ἣν μετ' οὐ πολὺν χρόνον τοῦ ἐπὶ
Σικελίαν στόλου συνέβη γενέσθαι, Κορινθίων εἰς-
πεμψάντων . . . Λεοντίνους τε καὶ Αἰγεσταίους ἄν-
δρας ἰδίᾳ, μελλόντων βοηθεῖν αὐτοῖς τῶν Ἀθη-
ναίων, (οἳ) νύκτωρ τοὺς περὶ τὴν ἀγορὰν Ἑρμᾶς
6 περιέκοψαν, ὡς Κράτιππός φησι] κριθεὶς ἐπὶ τού-
τοις ἀπέφυγεν ἐπὶ τῷ μηνύσειν τοὺς ἀδικοῦντας·
σπουδὴν δὲ πᾶσαν εἰςενεγκάμενος ἐξεῦρε τοὺς
περὶ τὰ ἱερὰ ἁμαρτόντας, ἐν οἷς καὶ τὸν αὑτοῦ
7 πατέρα ἐμήνυσεν. καὶ τοὺς μὲν ἄλλους πάντας
ἐλέγξας ἐποίησεν ἀπολέσθαι, τὸν δὲ πατέρα ἐρρύ-
σατο, καίτοι δεδεμένον ἤδη, ὑποσχόμενος πολλὰ
λυσιτελήσειν αὐτὸν τῇ πόλει. καὶ οὐκ ἐψεύσατο·
ἤλεγξε γὰρ ὁ Λεωγόρας πολλοὺς δημόσια χρήματα

esse, id quod perspexit West., ex his arguitur, quod et ignorat ea Photius et ante κριθεὶς (6) vulgo adduntur verba προσαμαρτὼν μυστήρια, nata illa e Δήμητρος ἁμαρτ. μυστ. (3). —

4. v. Lys. 6, 21, ubi similia, etsi non eadem prorsus, traduntur. — ἐξῄτουν Duebnerus: ἐζήτουν. — 5. Male corrupta haec esse West. vidit; ἄνδρας ἰδίᾳ necessario cum Κορινθ. εἰςπ. iungendum est. num Κ. εἰςπ. ἄνδρας διὰ Λ. τε καὶ Αἰγ., μελλ. κτέ.? Rumorem hunc respiciunt Plut. Alcib. 18, Phot. s. v. Ἑρμοκοπίδαι, Philochorus ap. Schol. Arist. Lys. 1094. — 6. κριθεὶς A (West.): κριθεὶς δὲ P, κριθείς τε v. — εἰσενεγκάμενος e Photio R. West.: ἐνεγκάμενος. — v. Lys. 6, 23, ubi sane patris mentio non fit, et And. 1, 19.—7. De Leogorae iudicio satis diversa narrat And. 1, 17; ineptit biographus ad patrem transferens quae

σφετερισαμένους καὶ ἄλλα τινὰ ἀδικοῦντας. καὶ διὰ μὲν ταῦτα ἀφείθη τῆς αἰτίας· (οὐκ) εὐδοκιμῶν 8
δ' ὁ Ἀνδοκίδης ἐπὶ τοῖς πολιτευομένοις ἐπέθετο ναυκληρίᾳ καὶ τοῖς τε Κυπρίων βασιλεῦσι καὶ πολλοῖς ἄλλοις ἐπεξενώθη· ὅτε καὶ μίαν τῶν πολιτί- 9
δων, Ἀριστείδου θυγατέρα, ἀνεψιὰν οὖσαν αὐτῷ, λάθρᾳ τῶν οἰκείων ἐξαγαγὼν ἔπεμψε δῶρον τῷ Κυπρίων βασιλεῖ. μέλλων δ' ἐπὶ τούτοις εἰς δικαστήριον εἰσάγεσθαι πάλιν αὐτὴν ἐξέκλεψεν ἀπὸ τῆς Κύπρου, καὶ ληφθεὶς ὑπὸ τοῦ βασιλέως ἐδέθη. διαδρὰς δ' ἧκεν εἰς τὴν πόλιν, καθ' ὃν χρόνον οἱ 10
τετρακόσιοι διεῖπον τὰ πράγματα. δεθεὶς δ' ὑπὸ τούτων καὶ διαφυγὼν αὖθις, ὁπότε κατελύθη ἡ ὀλιγαρχία, ἐξέπεσε τῆς πόλεως τῶν τριάκοντα τὴν 11
ἀρχὴν παραλαβόντων. οἰκήσας δὲ τὸν τῆς φυγῆς χρόνον ἐν Ἤλιδι, κατελθόντων τῶν περὶ Θρασύβουλον καὶ αὐτὸς ἧκεν εἰς τὴν πόλιν. — πεμ- 12
φθεὶς δὲ περὶ τῆς εἰρήνης εἰς Λακεδαίμονα καὶ δόξας ἀδικεῖν ἔφυγε. — δηλοῖ δὲ περὶ πάντων ἐν τοῖς 13
λόγοις οἷς συγγέγραφεν· οἱ μὲν γὰρ ἀπολογουμένου περὶ τῶν μυστηρίων εἰσίν, οἱ δὲ καθόδου δεο-

de se ipse And. promittit 1, 136. — σφετερισαμένους ci. R.: σφετερισμένους BTZ; σφετεριζομένους v. (νοσφισαμένους Phot.). — 8. οὐκ add. Duebner. West., quamquam et apud Photium omittitur. — cf. autem Lys. 6, 19. 26 et Andoc. 1, 145. 4. etc. — 9. De Aristidis filia in Lysiana oratione, quam sane mutilam habemus, nihil legitur. Reliqua quaeque § 10 leguntur exstant ap. Lys. 26 sq. — 10. δεθεὶς δὲ καὶ ὑπὸ τούτων Phot. — 11. vv. τῶν τριάκ. — παραλαβόντων ignorat Phot.; ἕως ante τῶν τρ. add. West. — Elide A. domicilium constituisse nusquam legimus (cf. autem Lys. § 6), neque bene haec conveniunt cum And. 1, 4. — 13. καθόδου B Xyl. West.: καθόλου. — 14. Orationem περὶ τῆς

14 μένου. — σώζεται δ' αὐτοῦ καὶ ὁ περὶ τῆς ἐνδεί-
ξεως λόγος καὶ ἀπολογία πρὸς Φαίακα καὶ περὶ
15 τῆς εἰρήνης. — καὶ ἤκμακε μὲν κατὰ τοῦτον τὸν
χρόνον ἅμα Σωκράτει τῷ φιλοσόφῳ· ἄρχει δ' αὐτῷ
τῆς γενέσεως ὀλυμπιὰς μὲν οη', ἄρχων δ' Ἀθήνησι
Θεογενίδης, ὥστ' εἶναι πρεσβύτερον αὐτὸν Λυσίου
16 ἔτεσί που δέκα. — τούτου δ' ἐπώνυμός ἐστι καὶ
Ἑρμῆς ὁ Ἀνδοκίδου καλούμενος, ἀνάθημα μὲν ὢν
φυλῆς Αἰγηΐδος, ἐπικληθεὶς δ' Ἀνδοκίδου διὰ τὸ
17 πλησίον παροικῆσαι τὸν Ἀνδοκίδην. — καὶ αὐτὸς
δ' ἐχορήγησε κυκλίῳ χορῷ τῇ αὐτοῦ φυλῇ ἀγωνι-
ζομένῃ διθυράμβῳ, καὶ νικήσας ἀνέθηκε τρίποδα
ἐφ' ὑψηλοῦ ἄντικρυς τοῦ πωρίνου Σειληνοῦ. —
18 ἔστι δ' ἁπλοῦς καὶ ἀκατάσκευος ἐν τοῖς λόγοις,
ἀφελής τε καὶ ἀσχημάτιστος.

ἐνδ. ab illa quae est de myst. diversam habet Sauppius O. A. II p. 165; mihi secus videtur. de ἀπολογία πρὸς Φαίακα dixi Att. Bereds. p. 330; videtur non diversa fuisse a quarta nostra. — 15. κατὰ τὸν αὐτὸν χρόνον mal. West. — Andocidem ol. 78, 1 (468) natum esse computatum esse videtur ex Androtionis loco (v. ad § 1), quo traditum erat praetorem fuisse bello Samio (a. 440/39). Nimis enim artificiosa sunt quae exposuit C. Fuhr in Animadv. in orat. Atticos (Bonn. 1877) p. 18, 1. Lysiam autem ol. 80, 2 natum esse existimabant. — δέκα West.: ἑκατόν libri (ἐννέα Meziriacus: ὀκτώ Taylor). — 16. Plut. Alcib. c. 21; Nic. 13 (Aesch. 1, 125); cf. And. 1, 62 et Harp. s. v. Ἀνδοκίδου Ἑρμῆς. — 17. V. de hac victoria, quam Dionysiis choro puerorum reportavit A., C. I. Att. II, 553. — ἐφ' ὑψηλοῦ βάθρου vel ἰκρίου ci. Reisk. — Σειληνοῦ Salmas. West.: σελίνου. — 18. Iudicium hoc Caecilium auctorem habere videtur: cf. quae idem de Antiphonte exponit ap. Phot. cod. 259.

HERMOGENIS
IUDICIUM DE ANDOCIDIS ELOQUENTIA.

Ὁ δὲ Ἀνδοκίδης πολιτικὸς μὲν εἶναι προαιρεῖται, οὐ μὴν πάνυ γε ἐπιτυγχάνει τούτου· ἀδιάρθρωτος γάρ ἐστιν ἐν τοῖς σχήμασι καὶ ἀδιευκρίνητος καὶ τὰ πολλὰ ἐπισυνάπτει τε καὶ περιβάλλει ἀτάκτως διὰ τὸ ταῖς ἐπεμβολαῖς χωρὶς εὐκρινείας χρῆσθαι, ὅθεν ἔδοξέ τισι φλύαρος καὶ ἄλλως ἀσαφὴς εἶναι. ἐπιμελείας δὲ αὐτῷ καὶ κόσμου πάνυ βραχὺ μέτεστι, γοργότητός τε ὡσαύτως, καὶ μέντοι καὶ τῆς κατὰ μέθοδον δεινότητος ὀλίγον, ἀλλὰ καὶ σφόδρα ὀλίγον ἔχει, τῆς δ' ἄλλης σχεδὸν οὐδ' ὅλως.

ARGUMENTA ORATIONUM
BREVITER DESCRIPTA.

Or. I. *Περὶ τῶν μυστηρίων.* Andocides cum in causa Hermocopidarum indicium fecisset, primo impunitatem tulit, postea ex Isotimidis plebiscito capitis deminutione ita affectus est, ut et templis et foro ei interdiceretur. Quare urbem reliquit diuque vagatus post restitutum demum per Thrasybulum imperium populare Athenas rediit. Ubi cum publi-

Hermogenis iudicium exstat π. ἰδεῶν B p. 416 Sp. Ultimo loco Andocidis inter X oratores mentionem facit, atque omnino Graecis hic scriptor parum lectitatus, Romanis prope ignotus fuit. Cf. Herodis Attici dictum ap. Philostr. V. S. II, 1, 14: Ἀνδοκίδου μὲν κρείττων εἰμί, et Quintilian. XII, 10, 21: Quis erit hic Atticus? Sit Lysias — — Non igitur iam usque ad Coccum et Andocidem remittemur.

cae oblivionis lege fretus rursus omnia civium munera capesseret rebusque sacris interesset, triennio postquam rediit mysteriorum festos dies una cum ceteris initiatis agens a Cephisio Meleto Epichare per *ἔνδειξιν* apud regem sacrorum in ius vocatus est. Arguebant autem accusatores olim de mysteriorum profanatione et in se ipsum et in alios Andocidem indicem extitisse: quare iudicium huic causae ex solis initiatis constitutum est. Reus et de mysteriis sese purgat e de ipsa Hermarum mutilatione nihil adversus se ipsum pronuntiavisse affirmat: quare plebiscitum illud, quo ei soli qui de se confessi essent continerentur, ad se nihil pertinere; idem autem tunc certe post restitutionem capite deminutorum Patroclidis plebiscito factam et post eas leges quae populari imperio restituto latae sint prorsus sublatum esse. Habita videtur oratio exeunte anno ol. 95, 2 399 a. Chr. n.; cecidisse causa accusatores certum, quintam partem suffragiorum non tulisse satis verisimile est.*) Conferenda autem cum hac oratione falso Lysiae tributa *κατ' Ἀνδοκίδου* (Lys. or. VI), Meleto fortasse scripta, certe *δευτερολογία* quaeque a Cephisio principe accusatore habita esse nequeat.

Or. II *περὶ τῆς ἑαυτοῦ καθόδου.* Inter peregrinationem diuturnam bis Andocides Athenas adiit, primum Quadringentorum tempore, deinde aliquanto post eversum illorum imperium (circa a. 407), quo

*) Id sperare audet Andocides § 33: quod si non evenisset, vix in oratione nunc legeremus.

tempore hanc in populi contione orationem habuit. Cuius id est argumentum, ut commemoratis suis in rempublicam Atheniensium beneficiis a populo impetrare studeat, ut *ἄδεια* pridem sibi decreta restituatur et *ἀτιμία* qua postea affectus erat tollatur. Sed praevalente inimicorum auctoritate cum eam rem impetrare non potuisset, Andocides rursus peregre abire coactus est.

Or. III. *Περὶ τῆς πρὸς Λακεδαιμονίους εἰρήνης.* Haec quoque oratio in contione coram populo habita est, Corinthiaci belli medio tempore. Suadet Andocides, ut pax cum Lacedaemoniis fiat eis condicionibus, de quibus ipsi, cum legatus de pace facienda ad Lacedaemonios missus esset, cum illis convenerat: nempe ut moenia, naves, Lemnum Imbrum Scyrumque Athenienses haberent, reliquae civitates omnes suis quaeque legibus uterentur liberaeque essent. Quas condiciones Boeoti quoque accipere parati erant, Lacedaemoniorumque legati aderant qui eas commendabant; adversabantur autem Corinthiorum qui tum id oppidum habebant et Argivi, qui utrique et ipsi legationes Athenas miserant. Bellum Atheniensibus magis placuit; itaque infecta re legati Spartani domum redierunt, pacis auctor Andocides, si biographo tradenti fides habenda, in exilium pulsus est. Habita oratio, ut plerisque videtur, auctumno anni 391 (coll. § 20); rectius ad hiemem 392/1 referemus, propter ea quae § 27 leguntur.*) Ceterum genuinam

*) Cf. quae exposuit C. Fuhrius in dissertatione quam supra (p. XIII adn.) laudavi, p. 7 sqq.

non esse orationem et inter veteres Dionysii Halicarnassensis et multorum inter recentiores sententia fuit: quod iudicium nunc recte ab omnibus fere improbatur.

Or. IV *κατ' Ἀλκιβιάδου.* Neque Andocidem haec oratio auctorem habet neque a quoquam unquam habita est, neque omnino haberi potuit. Agitur testarum suffragium, quo tum aut is qui verba facit, aut Alcibiades, aut Nicias in exilium pelli debebat. Orator igitur, postquam questus est iniquitate legum neque accusandi neque defendendi in hac causa facultatem dari, et sese a criminibus adversariorum defendit et Alcibiadem accusat idoneumque probat qui ex urbe eiciatur. Tempus ambiguum: etenim et Alcibiades nondum in Siciliam profectus erat, quod factum a. 415, et Melos ab Atheniensibus integro ante anno capta erat (cf. § 22 sq.), ut nequeamus de tempore ante hiemem 415/4 cogitare. Auctor autem orationis, quisquis fuit, ne voluit quidem Andocidis personam induere: in Phaeacem omnia conveniunt, et id tantum erraruut qui hoc exposuerunt Taylorus et Vaterus, quod re vera Phaeacis monumentum ingenii hoc nos possidere arbitrati sunt. Est quod mireris criticos veteres, quantum nos compertum habemus, de origine orationis non dubitasse.

1.

ΠΕΡΙ ΤΩΝ ΜΥΣΤΗΡΙΩΝ.

Τὴν μὲν παρασκευὴν ὦ ἄνδρες καὶ τὴν προθυμίαν τῶν ἐχθρῶν τῶν ἐμῶν, ὥστε με κακῶς ποιεῖν ἐκ παντὸς τρόπου καὶ δικαίως καὶ ἀδίκως, ἐξ ἀρχῆς ἐπειδὴ τάχιστα ἀφικόμην εἰς τὴν πόλιν ταυτηνί, σχεδόν τι πάντες ἐπίστασθε, καὶ οὐδὲν δεῖ περὶ τούτων πολλοὺς λόγους ποιεῖσθαι· ἐγὼ δὲ ὦ ἄνδρες δεήσομαι ὑμῶν δίκαια καὶ ὑμῖν τε ῥᾴδια χαρίζεσθαι καὶ ἐμοὶ ἄξια πολλοῦ τυχεῖν παρ' ὑμῶν. καὶ πρῶτον 2
μὲν ἐνθυμηθῆναι ὅτι νῦν ἐγὼ ἥκω οὐδεμιᾶς μοι ἀνάγκης οὔσης παραμεῖναι, οὔτ' ἐγγυητὰς καταστήσας οὔθ' ὑπὸ δεσμῶν ἀναγκασθείς, πιστεύσας δὲ μάλιστα μὲν τῷ δικαίῳ, ἔπειτα δὲ καὶ ὑμῖν,

Π. Τ. ΜΥΣΤΗΡΙΩΝ] ita veteres quoque, nisi quod Harp. s. v. *ζητητής* laudat *Ἀ. ἐν τῷ π. τῆς ἐνδείξεως*; cf. Vit. § 14.

1. Per totum prooemium latius dispositis litteris ea distinxi, quae ex aliena prooemiorum aliqua collectione Andocides mutuatus est; quod eum fecisse ex eo arguitur, quod eadem ap. Lys. 19, 2 sqq. Isocr. 15, 17 sqq. recurrunt: cf. etiam Clem. Alex. Strom. VI. p. 748. — *τὴν μ. παρ. ὦ ἄνδρες δικασταὶ* Clem. l. c. — *ὥστ' ἐμὲ* AB Bk. haec autem v. usque ad *ταυτηνί* pro suo consilio om. Clem. — *τι*] *τοι* A corr. — *ἐπίστασθε*] *εἴσεσθε* Clem., qui hucusque locum affert. — *ὑμῖν τε* R. ABLZ Bk.: *ὑμῖν γε*.

2. *καὶ* ante *πρῶτον* abesse mal. Bait. — *ἐνθυμήθητε* et *ὑπομεῖναι* Hi.

γνώσεσθαι τὰ δίκαια καὶ μὴ περιόψεσθαί με ἀδίκως ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν διαφθαρέντα, ἀλλὰ πολὺ μᾶλλον σώσειν δικαίως κατά τε τοὺς νόμους τοὺς ὑμετέρους καὶ τοὺς ὅρκους οὓς ὑμεῖς ὀμόσαντες
3 *μέλλετε τὴν ψῆφον οἴσειν. εἰκότως δ' ἄν, ὦ ἄνδρες, τὴν αὐτὴν γνώμην ἔχοιτε περὶ τῶν ἐθελοντῶν εἰς τοὺς κινδύνους καθισταμένων, ἥνπερ αὐτοὶ περὶ αὑτῶν ἔχουσιν. ὁπόσοι μὲν γὰρ μὴ ἠθέλησαν ὑπομεῖναι καταγνόντες αὑτῶν ἀδικίαν, εἰκότως τοι καὶ ὑμεῖς τοιαῦτα περὶ αὐτῶν γιγνώσκετε οἷά περ καὶ αὐτοὶ περὶ σφῶν αὐτῶν ἔγνωσαν· ὁπόσοι δὲ πιστεύσαντες μηδὲν ἀδικεῖν ὑπέμειναν, δίκαιοί ἐστε καὶ ὑμεῖς περὶ τούτων τοιαύτην ἔχειν τὴν γνώμην οἵαν περ καὶ αὐτοὶ περὶ αὑτῶν ἔσχον, καὶ μὴ προκατα-*
4 *γιγνώσκειν ἀδικεῖν. αὐτίκα ἐγὼ πολλῶν μοι ἀπαγγελλόντων ὅτι λέγοιεν οἱ ἐχθροὶ ὡς ἄρα ἐγὼ οὔτ' ἂν ὑπομείναιμι οἰχήσομαί τε φεύγων, — „τί γὰρ ἂν καὶ βουλόμενος Ἀνδοκίδης ἀγῶνα τοσοῦτον ὑπομείνειεν, ᾧ ἔξεστι μὲν ἀπελθόντι ἐντεῦθεν ἔχειν πάντα τὰ ἐπιτήδεια, ἔστι δὲ (καὶ) πλεύσαντι εἰς Κύπρον, ὅθεν περ ἥκει, γῆ πολλὴ καὶ ἀγαθὴ διδομένη καὶ δωρεὰ ὑπάρχουσα; οὗτος ἄρα βουλήσεται περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ κινδυνεῦσαι; εἰς τι*

ὑμετέρους AZM Turr.: *ἡμετέρους*. cf. 100. 105.

3. *ἐθελόντων* et mox *ἥπερ* ABLZM. — malim *αὑτῶν ἀδικεῖν*, cf. § 49. Aesch. 2, 6. — *τοι* AB Kl. Turr.: *αὐτοὶ* LZ, *ἂν* v. (*ἄν τοι* ed. I.). — *γινώσκετε* A corr. (ab alia m.; pr. quid habuerit non liquet) Kl. Turr.: *γινώσκητε* B, *γινώσκηται* L, *γινώσκοιτε* Z Ald. Bk., *γιγνώσκοιτε* Schi. (ed. I). — *οἷα* Markland. Bk.: *ὅσα*. *περ* add. AB Bk.

4. *ὑπομείνειεν ᾧ* Valck. (R.) Bk.: *ὑπομείνει ἐν ᾧ* AB, *ὑπομείνοι ἐν ᾧ* v. — *ἔστι δὲ* . . . A, unde *καὶ* add. W. — *γῆ* cum Valck. et R. Bk.: *ἢ* AB, *ἣ* LZ. — *δωρεᾶ* A. *δωρεᾷ*

ἀποβλέψας; οὐχ ὁρᾷ τὴν πόλιν ἡμῶν ὡς διάκειται;“
ἐγὼ δὲ ὦ ἄνδρες πολὺ τὴν ἐναντίαν τούτοις γνώμην
ἔχω. ἄλλοθί τε γὰρ ὢν πάντα τὰ ἀγαθὰ ἔχειν 5
στερόμενος τῆς πατρίδος οὐκ ἂν δεξαίμην, τῆς δὲ
πόλεως οὕτω διακειμένης ὥσπερ αὐτοὶ οἱ ἐχθροὶ
λέγουσι, πολὺ ἄν αὐτῆς μᾶλλον ἐγὼ πολίτης δεξαίμην
εἶναι ἢ ἑτέρων πόλεων, αἵ ἴσως πάνυ [μοι] δοκοῦσιν ἐν τῷ παρόντι εὐτυχεῖν. ἅπερ γιγνώσκων ἐπέτρεψα διαγνῶναι ὑμῖν περὶ τοῦ σώματος τοῦ ἐμαυτοῦ. αἰτοῦμαι οὖν ὑμᾶς, ὦ ἄνδρες, εὔνοιαν πλείω 6
παρασχέσθαι ἐμοὶ τῷ ἀπολογουμένῳ ἢ τοῖς κατηγόροις, εἰδότας ὅτι κἂν ἐξ ἴσου ἀκροᾶσθε, ἀνάγκη τὸν ἀπολογούμενον ἔλαττον ἔχειν. οἱ μὲν γὰρ ἐκ πολλοῦ χρόνου ἐπιβουλεύσαντες καὶ συνθέντες, αὐτοὶ ἄνευ κινδύνων ὄντες, τὴν κατηγορίαν ἐποιήσαντο· ἐγὼ δὲ μετὰ δέους καὶ κινδύνου καὶ διαβολῆς τῆς μεγίστης τὴν ἀπολογίαν ποιοῦμαι. εἰκὸς οὖν ὑμᾶς ἐστιν εὔνοιαν πλείω παρασχέσθαι ἐμοὶ ἢ τοῖς κατηγόροις. ἔτι δὲ καὶ τόδε ἐν- 7
θυμητέον, ὅτι πολλοὶ ἤδη πολλὰ καὶ δεινὰ
κατηγορήσαντες | παραχρῆμα ἐξηλέγχθησαν 2
ψευδόμενοι οὕτω φανερῶς, ὥστε ὑμᾶς πολὺ

Kl.; δωρεὰν ci. R., διδ. δωρεὰ καὶ Wyttenbach., δεδομ. ἐν δωρεᾷ ὑπ. Köpke, διδ. καὶ del. S.

5. τῆς πόλεως et πολὺ δ' ἂν codd.: δὲ transponendum esse ci. Schi. (τῆς τε πόλ. et cum Valck. πολύ γ' Sl.). — οἱ post αὐτοὶ add. ABLZ Bk. (ci. R.). — τυχεῖν pr. A. — γινώσκω B et pr. L et corr. A (extremum ω est ab eadem m. quae in § 3 corr.).

6. vv. εὔνοιαν πλείω — κατηγόροις etsi Andocides, certe non auctor prooemii bis posuit: genuina sunt ap. Lys. § 2.

7. ἐξειλέχθησαν AB. cf. Isocr. 16, 7 (Dobr.). —

ἂν ἥδιον δίκην λαβεῖν παρὰ τῶν κατηγόρων ἢ παρὰ τῶν κατηγορουμένων· οἱ δὲ αὖ, μαρτυρήσαντες τὰ ψευδῆ (καὶ) ἀδίκως ἀνθρώπους ἀπολέσαντες, ἑάλωσαν παρ' ὑμῖν ψευδομαρτυριῶν, ἡνίκ' οὐδὲν ἦν ἔτι πλέον τοῖς πεπονθόσιν. ὁπότ' οὖν ἤδη πολλὰ τοιαῦτα γεγένηται, εἰκὸς ὑμᾶς ἐστι μήπω τοὺς τῶν κατηγόρων λόγους πιστοὺς ἡγεῖσθαι. εἰ μὲν γὰρ δεινὰ κατηγόρηται ἢ μή, οἷόν τε γνῶναι ἐκ τῶν τοῦ κατηγόρου λόγων· εἰ δὲ ἀληθῆ ταῦτά ἐστιν ἢ ψευδῆ, οὐχ οἷόν τε ὑμᾶς πρότερον εἰδέναι πρὶν ἂν καὶ ἐμοῦ ἀκούσητε ἀπολογουμένου.

8 Σκοπῶ μὲν οὖν ἔγωγε, ὦ ἄνδρες, πόθεν χρὴ ἄρξασθαι τῆς ἀπολογίας, πότερον ἐκ τῶν τελευταίων λόγων, ὡς παρανόμως με ἐνέδειξαν, ἢ περὶ τοῦ ψηφίσματος τοῦ Ἰσοτιμίδου, ὡς ἄκυρόν ἐστιν, ἢ περὶ τῶν νόμων καὶ τῶν ὅρκων τῶν γεγενημένων, εἴτε καὶ ἐξ ἀρχῆς ὑμᾶς διδάξω τὰ γεγενημένα. ὃ δέ με ποιεῖ μάλιστ' ἀπορεῖν, ἐγὼ ὑμῖν ἐρῶ, ὅτι οὐ πάντες ἴσως ἐπὶ πᾶσι τοῖς κατηγορουμένοις ὁμοίως ὀργίζεσθε, ἀλλ' ἕκαστός τι ὑμῶν ἔχει πρὸς ὃ βούλοιτο ἄν με πρῶτον ἀπολογεῖσθαι· ἅμα δὲ περὶ πάντων εἰπεῖν ἀδύνατον. κράτιστον οὖν μοι εἶναι δοκεῖ ἐξ ἀρχῆς

καὶ ante ἀδίκως addidi ex Lysia § 4. — παρ' ὑμῖν ψευδομαρτυριῶν om. Lys. ψευδομαρτυριῶντες LZ v. ante (R. et) Bk. — ἔτι om. LZM Lys. (Hi.). — γεγένηται Lys. et cum Dobr. Schi. Turr.: γεγένηνται. — ἡγεῖσθαι] πρὶν ἂν καὶ ἡμεῖς εἴπωμεν add. Lys. (qui om. quae sequuntur usque ad finem paragraphi); similia etiam Isocrates.

8. σκοπῶ] ἀπορῶ Hi. — οὖν om. A pr. — λόγων om. LZ Dobr. — ἕκαστός τι ABL Bk.: ἕκ. τις. —

ὑμᾶς διδάσκειν πάντα τὰ γενόμενα καὶ παραλιπεῖν
μηδέν. ἂν γὰρ ὀρθῶς μάθητε τὰ πραχθέντα, ῥᾳδίως
γνώσεσθ' ἅ μου κατεψεύσαντο οἱ κατήγοροι. τὰ μὲν 9
οὖν δίκαια γιγνώσκειν ὑμᾶς ἡγοῦμαι καὶ αὐτοὺς
παρεσκευάσθαι, οἷσπερ ἐγὼ πιστεύσας ὑπέμεινα,
ὁρῶν ὑμᾶς καὶ ἐν τοῖς ἰδίοις καὶ ἐν τοῖς δημοσίοις
περὶ πλείστου τοῦτο ποιουμένους, ψηφίζεσθαι κατὰ
τοὺς ὅρκους· ὅπερ καὶ συνέχει μόνον τὴν πόλιν,
ἀκόντων τῶν οὐ βουλομένων ταῦτα οὕτως ἔχειν·
τάδε δὲ ὑμῶν δέομαι, μετ' εὐνοίας μου τὴν
ἀκρόασιν τῆς ἀπολογίας ποιήσασθαι, καὶ μήτε
μοι ἀντιδίκους καταστῆναι μήτε ὑπονοεῖν τὰ
λεγόμενα μήτε ῥήματα θηρεύειν, ἀκροασα-
μένους δὲ διὰ τέλους τῆς ἀπολογίας τότε
ἤδη ψηφίζεσθαι τοῦτο ὅ τι ἂν ὑμῖν αὐτοῖς
ἄριστον καὶ εὐορκότατον νομίζητε εἶναι.
ὥσπερ δὲ καὶ προεῖπον ὑμῖν, ὦ ἄνδρες, ἐξ ἀρχῆς 10
περὶ πάντων ποιήσομαι τὴν ἀπολογίαν, πρῶτον μὲν
περὶ αὐτῆς τῆς αἰτίας ὅθεν περ ἡ ἔνδειξις ἐγένετο,
διόπερ εἰς τὸν ἀγῶνα τόνδε κατέστην, περὶ τῶν
μυστηρίων ὡς οὔτε μοι ἠσέβηται οὐδέν οὔτε με-

παραλ.ιπεῖν A[d].

9. ὑμᾶς A[d] ZM Emp. Turr.: ἡμᾶς. — καὶ αὐτοὺς Emp. Turr.: καὶ λόγους (καὶ μὴ λόγ. Schi.). Sed ante οἷσπερ aliqua intercidisse puto, quibus iurisiurandi mentio continebatur. — παρασκευάσθαι BL, παρεσκευάσασθαι Z. — ἔχειν AB Bk. (ci. R.): ἔχει. — τάδε δὲ ὑμῶν κτέ.] cf. Lys. § 11. — μήτε μοι scr.: μήτ' ἐμοὶ. — μήτε ὑπονοεῖν τ. λ. μήτε ῥήματα θηρεύειν] cf. Antiph. 6, 18: καὶ θηρεύειν καὶ ἐπὶ σμικρὸν ὑπονοεῖν τὰ λεγόμενα. — τοῦτο ὅ τι A M: τοῦθ' ὅ τι. ceterum ὅ τι ἂν ὑμῖν A a corr. habet; pr. fort. om. ἄν. cf. § 11.

10. τόνδε] τοῦδε Z, δὲ AB. — οὔτε μοι scripsi: οὔτ' ἐμοὶ. — οὐδὲ μεμήν. οὐδ' ὡμολόγ. (codd.) Bk. Schi. Turr. cf. 29; 71. —

μήνυται οὔθ' ὡμολόγηται, οὐδ' οἶδα τοὺς μηνύσαντας ὑμῖν περὶ αὐτῶν οὔτ' εἰ ψευδῆ οὔτ' εἰ ἀληθῆ ἐμήνυσαν· ταῦθ' ὑμᾶς διδάξω.

11 *Ἦν μὲν γὰρ ἐκκλησία τοῖς στρατηγοῖς τοῖς εἰς Σικελίαν, Νικίᾳ καὶ Λαμάχῳ καὶ Ἀλκιβιάδῃ, καὶ τριήρης ἡ στρατηγὶς ἤδη ἐξώρμει ἡ Λαμάχου· ἀναστὰς δὲ Πυθόνικος ἐν τῷ δήμῳ εἶπεν· „ὦ Ἀθηναῖοι, ὑμεῖς μὲν στρατιὰν ἐκπέμπετε καὶ παρασκευὴν τοσαύτην, καὶ κίνδυνον ἀρεῖσθαι μέλλετε· Ἀλκιβιάδην δὲ τὸν στρατηγὸν ἀποδείξω ὑμῖν τὰ μυστήρια ποιοῦντα ἐν οἰκίᾳ μεθ' ἑτέρων, καὶ ἐὰν ψηφίσησθε ἄδειαν (ᾧ) ἐγὼ κελεύω, θεράπων ὑμῖν ἐνθάδε ἑνὸς τῶν ἀνδρῶν ἀμύητος ὢν ἐρεῖ τὰ μυστήρια· εἰ δὲ μή, χρῆσθε ἐμοὶ ὅ τι ἂν ὑμῖν δοκῇ, ἐὰν μὴ τἀληθῆ*
12 *λέγω.“ ἀντιλέγοντος δὲ Ἀλκιβιάδου πολλὰ καὶ ἐξάρνου ὄντος ἔδοξε τοῖς πρυτάνεσι τοὺς μὲν ἀμυήτους μεταστήσασθαι, αὐτοὺς δ' ἰέναι ἐπὶ τὸ μειράκιον ὃ ὁ Πυθόνικος ἐκέλευε. καὶ ᾤχοντο, καὶ ἤγαγον θεράποντα Πολεμάρχου· Ἀνδρόμαχος αὐτῷ ὄνομα ἦν. ἐπεὶ δὲ ἐψηφίσαντο αὐτῷ τὴν ἄδειαν, ἔλεγεν ὅτι ἐν τῇ οἰκίᾳ τῇ Πουλυτίωνος γίγνοιτο μυστήρια· Ἀλκιβιάδην μὲν οὖν καὶ Νικιάδην καὶ*

οὐδ' οἶδα scripsi: *οὔτ' οἶδα.* cf. 29.

11. *λα.μάχω* et *λα.μάχου* A. — *ἀρεῖσθαι* Bk.: *αἱρεῖσθαι.* fort. autem adiectivum ad *κινδ.* appositum interciderit. — *ᾧ*] om. ABLZ; *ὡς* add. v. Bk., qui adicit: „praestat fort. *ᾧ*“. — *ἐνθάδε ἑνὸς τῶν* scripsi: *ἑνὸς τῶν ἐνθάδε.* — *ἂν ὑμῖν* a corr. habet A (pr. om *ἂν*?)

12. *Πολεμάρχου* cum R. Bk.: *ἀλκιβιάδου πολέμαρχον.* Illud tamen huic coniecturae obstat, quod Polemarchi nomen inter cetera § 13 non occurrit. itaque *Ἀρχεβιάδου πρὸς τὸν πολ.* cum R. (qui *Ἀλκιβ.*) ci. Helbig. num *Πολυστράτου*, qui homo solus comprehensus et supplicio affectus est? — *οὖν*

Μέλητον, τούτους μὲν αὐτοὺς εἶναι τοὺς ποιοῦντας, συμπαρεῖναι δὲ καὶ ὁρᾶν τὰ γιγνόμενα καὶ ἄλλους, παρεῖναι δὲ καὶ δούλους, ἑαυτόν τε καὶ τὸν ἀδελφὸν καὶ Ἱκέσιον τὸν αὐλητὴν καὶ τὸν Μελήτου δοῦλον.
πρῶτος μὲν οὗτος ταῦτα ἐμήνυσε, καὶ ἀπέγραψε 13
τούτους· ὧν Πολύστρατος | μὲν συνελήφθη καὶ 3
ἀπέθανεν, οἱ δὲ ἄλλοι φεύγοντες ᾤχοντο, καὶ αὐτῶν ὑμεῖς θάνατον κατέγνωτε. Καί μοι λαβὲ καὶ ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.

ΟΝΟΜΑΤΑ. Τούςδε Ἀνδρόμαχος ἐμήνυσεν· Ἀλκιβιάδην, Νικιάδην, Μέλητον, Ἀρχεβιάδην, Ἄρχιππον, Διογένη, Πολύστρατον, Ἀριστομένη, Οἰωνίαν, Παναίτιον.

Πρώτη μὲν ὦ ἄνδρες μήνυσις ἐγένετο αὕτη ὑπὸ 14
Ἀνδρομάχου κατὰ τούτων τῶν ἀνδρῶν. Καί μοι κάλει Διόγνητον.

Ἦσθα ζητητής, ὦ Διόγνητε, ὅτε Πυθόνικος εἰσήγγειλεν ἐν τῷ δήμῳ περὶ Ἀλκιβιάδου; Ἦν. Οἶσθα οὖν μηνύσαντα Ἀνδρόμαχον τὰ ἐν τῇ οἰκίᾳ τῇ Πουλυτίωνος γιγνόμενα; Οἶδα. Τὰ ὀνόματα οὖν τῶν ἀνδρῶν ἐστι ταῦτα, καθ' ὧν ἐμήνυσεν; Ἔστι ταῦτα.

om. pr. A. — *μέλητον* A (Bk.): *μέλιτον.* ita semper A, plerumque etiam BL hoc nomen scriptum exhibent. — *καὶ* ante *Ἱκέσιον* del. Valck.

13. *πρῶτον* A pr. — *μὲν* ante *οὗτος* a corr. habere videtur A. — *ΟΝΟΜΑΤΑ* e codd. add. Bk. (ci. Markl. R.) — *Διογένη* Schi.: *Διογένην.* cf. infra *Ἀριστομένη* (ita codd., *Ἀριστομένην* Ald.). — *Οἰωνίαν* restituendum erat e fragmento tituli poletarum (C. I. Att. I, 275): *Ἰωνίαν.* Praeter alia nomina (v. ad § 15. 16. 17. 35) haec in his fragmentis (C. I. A. I, 274 sqq.; *Ἀθήναιον* 1878 p. 205) inveniuntur: *Οἰωνίου τοῦ Οἰωνο —, Π]αναιτίου* (276), *Πολυστράτου Διο — — Ἀγκυλῆθεν* (277), *Νικι[άδου* (*Ἀθήν.* l. c.).

14. *τῇ Πουλυτ.* A Bk.: *τοῦ Πουλ.*

15 *Δευτέρα τοίνυν μήνυσις ἐγένετο. Τεῦκρος ἦν ἐνθάδε μέτοικος, ὃς ᾤχετο Μέγαράδε ὑπεξελθών, ἐκεῖθεν δὲ ἐπαγγέλλεται τῇ βουλῇ, εἴ οἱ ἄδειαν δοῖεν, μηνύσειν περί (τε) τῶν μυστηρίων, συνεργὸς ὤν, καὶ τοὺς ἄλλους τοὺς ποιοῦντας μεθ' ἑαυτοῦ, καὶ περὶ τῶν Ἑρμῶν τῆς περικοπῆς ἃ ᾔδει. ψηφισαμένης δὲ τῆς βουλῆς, ἦν γὰρ αὐτοκράτωρ, ᾤχοντο ἐπ' αὐτὸν Μέγαράδε· καὶ κομισθείς, ἄδειαν εὑρόμενος, ἀπογράφει τοὺς μεθ' ἑαυτοῦ. καὶ οὗτοι κατὰ τὴν Τεύκρου μήνυσιν ᾤχοντο φεύγοντες. Καί μοι λαβὲ καὶ ἀνάγνωθι τὰ ὀνόματα αὐτῶν.*

ΟΝΟΜΑΤΑ. Τούσδε Τεῦκρος ἐμήνυσε· Φαῖδρον, Γνιφωνίδην, Ἰσόνομον, Ἡφαιστόδωρον, Κηφισόδωρον, ἑαυτόν, Διόγνητον, Σμινδυρίδην, Φιλοκράτη, Ἀντιφῶντα, Τείσαρχον, Παντακλέα.

Μέμνησθε δέ, ὦ ἄνδρες, ὅτι καὶ ταῦθ' ὑμῖν προσομολογεῖται ἅπαντα.

16 *Τρίτη μήνυσις ἐγένετο. ἡ γυνὴ Ἀλκμεωνίδου, γενομένη δὲ καὶ Δάμωνος, — Ἀγαρίστη ὄνομα αὐτῇ — αὕτη ἐμήνυσεν ἐν τῇ οἰκίᾳ τῇ Χαρμίδου τῇ παρὰ τὸ Ὀλυμπιεῖον μυστήρια ποιεῖν Ἀλκιβιάδην*

15. *ἐπαγγέλλεται* AB Bk.: *ἐπαγγέλλετο* L, *ἐπαγγέλετο* ZM, *ἐπηγγέλλετο* v. — *τε* post *περὶ* addidi coll. § 34 (*μην. καὶ π. τ. μυστ., σ. ὤν, τοὺς ἄλλ.* Li.). — *εὑρόμενος* AB Bk.: *εὑράμενος*. verba *ἄδ. εὑρ.* del. Li. — *ΟΝΟΜΑΤΑ* in mg. add. A[d]. — C. I. A. I, 277: *Κηφισοδώρου μετοίκου ἐμ Πειρα[ιεῖ]*. — *Φιλοκράτη* Schi.: *Φιλοκράτην*. — *Τείσαρχον* scripsi: *Τίσαρχον*. — *ὅτι* om. pr. A. — *προσωμολόγηται* cum mg. Ald. (ubi *προσωμολόγητε* est) et R. Turr.
16. *Ἀλκμεωνίδου* scripsi: *Ἀλκμαιωνίδου* ZM, *Ἀλκμαιονίδου* v. — *τὸ Ὀλυμπιεῖον* ci. R. S.: *τὸ Ὀλύμπιον* A Bk., *τὸν Ὀλύμπιον* v. — *ἀδίμαντον* ABLZ. — in titulorum fragmentis

καὶ Ἀξίοχον καὶ Ἀδείμαντον· καὶ ἔφυγον οὗτοι πάντες ἐπὶ ταύτῃ τῇ μηνύσει.

17 Ἔτι μήνυσις ἐγένετο μία. Λυδὸς ὁ Φερεκλέους τοῦ Θημακέως ἐμήνυσε μυστήρια γίγνεσθαι ἐν τῇ οἰκίᾳ Φερεκλέους τοῦ δεσπότου τοῦ ἑαυτοῦ, ἐν Θημακῷ· καὶ ἀπογράφει τούς τε ἄλλους, καὶ τὸν πατέρα ἔφη τὸν ἐμὸν παρεῖναι μέν, καθεύδειν δὲ ἐγκεκαλυμμένον. Σπεύσιππος δὲ βουλεύων παραδίδωσιν αὐτοὺς τῷ δικαστηρίῳ. κἄπειτα ὁ πατὴρ καταστήσας ἐγγυητὰς ἐγράψατο τὸν Σπεύσιππον παρανόμων, καὶ ἠγωνίσατο ἐν ἑξακισχιλίοις Ἀθηναίων, καὶ μετέλαβε δικαστῶν τοσούτων οὐδὲ διακοσίας ψήφους ὁ Σπεύσιππος. ὁ δὲ πείσας καὶ δεόμενος μεῖναι τὸν πατέρα ἐγὼ ἦν μάλιστα, εἶτα δὲ καὶ οἱ ἄλλοι συγγενεῖς. Καί μοι κάλει Καλλίαν 18
καὶ Στέφανον, κάλει δὲ καὶ Φίλιππον καὶ Ἀλέξιππον· οὗτοι γάρ εἰσιν Ἀκουμενοῦ καὶ Αὐτοκράτορος συγγενεῖς, οἳ ἔφυγον ἐπὶ τῇ Λυδοῦ μηνύσει· τοῦ μὲν ἀδελφιδοῦς ἐστιν Αὐτοκράτωρ, τοῦ δὲ θεῖος Ἀκουμενός· οἷς προσήκει μισεῖν μὲν τὸν ἐξελάσαντα

(v. ad § 13) haec sunt: *Ἀξιόχου τοῦ Ἀλκιβιάδου Σκα[μβωνίδου], Ἀδειμάντου τοῦ Λευκολοφίδου Σκα[μβωνίδου]* (274. 275. 276). — *ἔφυγον* scripsi coll. §§ 26. 35. 55. 67. 68: *ἔφευγον*.

17. Phereclis nomen est *Ἀθήν.* l. c. (v. ad § 13). — *Θημακέως*] *μαθηκέως* BLZ. cf. Harp. s. v. — *θη.α.κῶ* A pr. — *βουλεύων*] *βασιλεύων* Sl. Bk. Schi., cui coniecturae recte adversatur Bgk. ep. ad. Schill. p. 113 (Turr.). — *γραφὴν* post *παραν.* add. Ald., om. codd. (in lacuna BLZM). — *ὁ δὲ πείσας ὑπομεῖναι τ. π.* Hi.

18. *ἀκουμένου* et *ἀκούμενος* codd. — *οἳ ἔφυγον* et *δι' ὅντινα ἔφυγον* scripsi: erat *ἔφευγον*. cf. ad § 16. —

ἐκείνους, εἰδέναι δὲ μάλιστα δι' ὅντινα ἔφυγον. Βλέπετε εἰς τούτους, καὶ μαρτυρεῖτε εἰ ἀληθῆ λέγω.

ΜΑΡΤΥΡΕΣ.

19 Τὰ μὲν γενόμενα ἠκούσατε, ὦ ἄνδρες, καὶ ὑμῖν
οἱ μάρτυρες μεμαρτυρήκασιν· ἃ δὲ οἱ κατήγοροι
ἐτόλμησαν εἰπεῖν, ἀναμνήσθητε. οὕτω γὰρ καὶ δί-
καιον ἀπολογεῖσθαι, ἀναμιμνήσκοντα τοὺς τῶν κατη-
γόρων λόγους ἐξελέγχειν. ἔλεξαν γὰρ ὡς ἐγὼ μηνύ-
σαιμι περὶ τῶν μυστηρίων, ἀπογράψαιμί τε τὸν πα-
τέρα τὸν ἐμαυτοῦ παρόντα, καὶ γενοίμην μηνυτὴς
κατὰ τοῦ πατρὸς τοῦ ἐμαυτοῦ, λόγον οἶμαι πάντων
δεινότατόν τε καὶ ἀνοσιώτατον λέγοντες. ὁ μὲν γὰρ
ἀπογράψας αὐτὸν Λυδὸς ἦν ὁ Φερεκλέους, ὁ δὲ
πείσας ὑπομεῖναι καὶ μὴ οἴχεσθαι φεύγοντα ἐγώ,
πολλὰ ἱκετεύσας καὶ λαμβανόμενος τῶν γονάτων.
20 καίτοι τί ἐβουλόμην, εἰ ἐμήνυσα μὲν κατὰ τοῦ πα-
4 τρός, ὡς οὗτοί φασιν, ἱκέτευον δὲ τὸν | πατέρα
μείναντά τι παθεῖν ὑπ' ἐμοῦ; καὶ ὁ πατὴρ ἐπείσθη
ἀγῶνα τοιοῦτον ἀγωνίσασθαι, ἐν ᾧ δυοῖν τοῖν μεγί-
στοιν κακοῖν οὐκ ἦν αὐτῷ ἁμαρτεῖν; ἢ γὰρ ἐμοῦ

μαρτυρεῖτ. A. pr. — *ΜΑΡΤΥΡΕΣ* om. A[d], sed in lacuna punctum rubrum habet.

19. *γενόμενα* Sl. Bk.: *γινόμενα*. — *ἡμῖν* A[d]. — *οὕτω* cum R. Bk. Turr.: *οὐ*, quod cum Foertschio retinet Schi., interrogationis signo post *ἐξελ.* posito. — *ἀναμιμνήσκοντα* Luzac. Turr.: *ἀναμιμνήσκοντας*, quod cum Foertsch. retinet Schi. — *τε* post *ἀνοσιώτ.* om. pr. A. cf. C. Fuhrium Mus. Rhen. XXXIII, 578 sq. — *αὐτὸν* AZ mg. Ald. R.: *αὐτῶν*. — *λαμβανόμενος* A Bk. (ci. R.): *καταλαμβ.* (*λαβόμ.* Hi.).

20. *δυεῖν* A pr. — *ἁμαρτεῖν*] „nonne addendum *θατέρου*?“ post R. Bk. cf. autem Schi. ad Sl. et Turr. — *ἢ γὰρ*] *ἦ* a corr. habet A. —

δόξαντος τὰ ὄντα μηνῦσαι κατ' ἐκείνου ὑπ' ἐμοῦ ἀποθανεῖν, ἢ αὐτῷ σωθέντι ἐμὲ ἀποκτεῖναι. ὁ γὰρ νόμος οὕτως εἶχεν· εἰ μὲν τἀληθῆ μηνύσειέ τις, εἶναι τὴν ἄδειαν, εἰ δὲ τὰ ψευδῆ, τεθνάναι. καὶ μὲν δὴ τοῦτό γε ἐπίστασθε πάντες, ὅτι ἐσώθην καὶ ἐγὼ καὶ ὁ ἐμὸς πατήρ· οἷόν τε δ' οὐκ ἦν, εἴπερ ἐγὼ μηνυτὴς ἐγενόμην περὶ τοῦ πατρός, ἀλλ' ἢ ἐμὲ ἢ ἐκεῖνον ἔδει ἀποθανεῖν. φέρε δὴ τοίνυν, εἰ καὶ ὁ 21
πατὴρ ἐβούλετο ὑπομένειν, τοὺς φίλους ἂν οἴεσθε ἢ ἐπιτρέπειν αὐτῷ μένειν ἢ ἐγγυήσασθαι, ἀλλ' οὐκ ἂν παραιτεῖσθαι καὶ δεῖσθαι ἀπιέναι ὅπου [ἂν] ἔμελλεν αὐτὸς σωθήσεσθαι ἐμέ τε οὐκ ἀπολεῖν; ἀλλὰ 22
γὰρ καὶ ὅτε Σπεύσιππον ἐδίωκεν ὁ πατὴρ τῶν παρανόμων, αὐτὰ ταῦτα ἔλεγεν, ὡς οὐδεπώποτε ἔλθοι εἰς Θημακὸν ὡς Φερεκλέα· ἐκέλευε δὲ βασανίσαι τὰ ἀνδράποδα, καὶ μὴ τοὺς μὲν παραδιδόντας μὴ ἐθέλειν ἐλέγχειν, τοὺς δὲ μὴ θέλοντας ἀναγκάζειν. ταῦτα δὲ λέγοντος τοῦ πατρὸς τοῦ ἐμοῦ, ὡς ἅπαντες ἴστε, τί ὑπελείπετο τῷ Σπευσίππῳ λέγειν, εἰ ἀληθῆ οἴδε λέγουσιν, ἀλλ' ἢ „Ὦ Λεωγόρα, τί βούλει περὶ θεραπόντων λέγειν; οὐχ ὁ υἱὸς οὑτοσὶ μεμήνυκε κατὰ σοῦ, καὶ φησί σε παρεῖναι ἐν Θημακῷ; ἔλεγχε σὺ τὸν πατέρα, ἢ οὐκ ἔστι σοι ἄδεια.“ ταυτὶ ἔλεγεν αν ὁ Σπεύσιππος, ὦ ἄνδρες, ἢ οὔ; ἐγὼ μὲν οἶμαι.

τὰ ψευδῆ] τὰ om. pr. A.

21. ἂν post ὅπου del. Dobr. Bait. — ἔμελεν ut videtur A pr.; αὐτὸς corr. addidisse videtur. nonne αὐτός τε?

22. τῶν ante παραν. del Valck. — οὐδέποτε A pr. — ἔλθῃ A et pr. L. — καὶ μὴ τοὺς μὲν] κ . . . . A pr. — 'θέλοντας Bait. Turr. — Λεωγόρα Bk. (et A[d]): λεώ^γρ. A sec. Bk., λέω ante lac. B, lac. solam habent LZM, ἄνθρωπε v. — μεμύνηκε A[d].

23 εἰ τοίνυν ἀνέβην ἐπὶ δικαστήριον, ἢ λόγος τις περὶ
ἐμοῦ ἐγένετο, ἢ μήνυσίς τις ἐμή ἐστιν ἢ ἀπογραφή,
μὴ ὅτι ἐμὴ καθ' ἑτέρου, ἀλλ' εἰ καὶ ἄλλου τινὸς
κατ' ἐμοῦ, ἐλεγχέτω με ὁ βουλόμενος ἐνταῦθα ἀνα-
βάς. ἀλλὰ γὰρ λόγον ἀνοσιώτερον καὶ ἀπιστότερον
οὐδένα πώποτ' ἐγὼ εἰπόντα οἶδα, οἳ τοῦτο μόνον
ἡγήσαντο δεῖν, τολμῆσαι κατηγορῆσαι· εἰ δ' ἐλεγχθή-
24 σονται ψευδόμενοι, οὐδὲν αὐτοῖς ἐμέλησεν. ὥσπερ
οὖν, εἰ ἀληθῆ ἦν ταῦτα ἅ μου κατηγόρησαν, ἐμοὶ
ἂν ὠργίζεσθε καὶ ἠξιοῦτε δίκην τὴν μεγίστην ἐπιτι-
θέναι, οὕτως ἀξιῶ ὑμᾶς, γιγνώσκοντας ὅτι ψεύδονται,
πονηρούς τε αὐτοὺς νομίζειν, χρῆσθαί τε τεκμηρίῳ
ὅτι εἰ τὰ δεινότατα τῶν κατηγορηθέντων περιφανῶς
ἐλέγχονται ψευδόμενοι, ἦ που τά γε πολλῷ φαυλό-
τερα ῥᾳδίως ὑμῖν ἀποδείξω ψευδομένους αὐτούς.
25 Αἱ μὲν μηνύσεις ὧδε περὶ τῶν μυστηρίων αὗται
ἐγένοντο τέτταρες· οἳ δὲ ἔφυγον καθ' ἑκάστην μή-
νυσιν, ἀνέγνων ὑμῖν τὰ ὀνόματα αὐτῶν, καὶ οἱ
μάρτυρες μεμαρτυρήκασιν. ἔτι δὲ πρὸς τούτοις ἐγὼ
πιστότητος ὑμῶν ἕνεκα, ὦ ἄνδρες, τάδε ποιήσω.
τῶν γὰρ φυγόντων ἐπὶ τοῖς μυστηρίοις οἱ μέν τινες
ἀπέθανον φεύγοντες, οἱ δ' ἥκουσι καὶ εἰσὶν ἐνθάδε

23. ἐμὴ] ὡς ἐμὴ Ald. — ἢ c. R. Bk.: ἡ ABLZ v. — ἀνοσιώτερον καὶ ἀπιστότερον cum R. Bk.: ἀνοσιώτατον καὶ ἀπιστότατον. — οὐδένας cum R. Bk. — εἰπόντα (ed. I.) dedisse vid. pr. A Li.: εἰπόντας (ed. I). — οὐδὲν αὐτοῖς codd. mg. Ald. Valck. R.: οὐδὲ νῦν τοῖς.

24. μου Dobr. Turr.: με. — τά γε Bk.: τάγα A (litt. γ fort. corr.), τάγα B, τἄλλα v., τά γ' ἄλλα c. Dobr. (qui τά γ' ἄ. πολλῷ φαυλότερον ὑμῖν) Turr., τάχα ed. I, τά γε φαυλότερα πολλῷ ῥᾷον ὑμῖν Hi.

25. ἔφυγον et φυγόντων scripsi: ἔφευγον et φευγόντων. cf. ad § 16. — ἐπὶ τοῖς ci. R. (coll. § 35) Bk.: ἐν τοῖς.

καὶ πάρεισιν ὑπ' ἐμοῦ κεκλημένοι. ἐγὼ οὖν ἐν τῷ 26
ἐμῷ λόγῳ δίδωμι τῷ βουλομένῳ ἐμὲ ἐλέγξαι ὅτι ἔφυγέ τις αὐτῶν δι' ἐμὲ ἢ ἐμήνυσα κατά του, ἢ οὐχ ἕκαστοι ἔφυγον κατὰ τὰς μηνύσεις ταύτας ἃς ἐγὼ ὑμῖν ἀπέδειξα. καὶ ἐάν τις ἐλέγξῃ με ὅτι ψεύδομαι, χρήσασθέ μοι ὅ τι βούλεσθε. καὶ σιωπῶ, καὶ παραχωρῶ, εἴ τις ἀναβαίνειν βούλεται.

Φέρε δή, ὦ ἄνδρες, μετὰ ταῦτα τί ἐγένετο; 27
ἐπειδὴ αἱ μηνύσεις ἐγένοντο, περὶ τῶν μηνύτρων, ἦσαν γὰρ κατὰ τὸ Κλεωνύμου ψήφισμα χίλιαι δραχμαί, κατὰ δὲ τὸ Πεισάνδρου μύριαι, περὶ δὲ τούτων ἠμφισβήτουν οὗτοί τε οἱ μηνύσαντες καὶ Πυθόνικος, φάσκων πρῶτος εἰσαγγεῖλαι, καὶ Ἀνδροκλῆς ὑπὲρ τῆς βουλῆς. ἔδοξεν οὖν τῷ δήμῳ ἐν τῷ 28
τῶν θεσμοθετῶν δικαστηρίῳ τοὺς μεμυημένους ἀκούσαντας τὰς μηνύσεις ἃς ἕκαστος ἐμήνυσε, διαδικάσαι. καὶ ἐψηφίσαντο πρώτῳ μὲν Ἀνδρομάχῳ, δευτέρῳ δὲ Τεύκρῳ, καὶ ἔλαβον Παναθηναίων τῷ ἀγῶνι Ἀνδρόμαχος μὲν μυρίας δραχμάς, Τεῦκρος δὲ χιλίας. Καί μοι κάλει τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

| Περὶ μὲν τῶν μυστηρίων, ὦ ἄνδρες, ὧν εἵνεκα 29
ἡ ἔνδειξις ἐγένετο καὶ περὶ ὧν ὑμεῖς οἱ μεμυημένοι εἰσεληλύθατε, ἀποδέδεικταί μοι ὡς οὔτε ἠσέβηκα

26. ἐλέγξαι pr. A Turr.: ἐξελέγξαι. — κατά του Sl.: κατ' αὐτοῦ. — post hanc § addendum dicit S. *ΔΙΑΝΑΠΑΥΣΙΣ* vel simile quid.
27. κατὰ μὲν τὸ Κλ. ψ?
28. μυήσεις A^d pr., μυνήσεις A^d corr. — πα .. θηναίων A pr. — *ΜΑΡΤΥΡΕΣ* in mg. add. A^d it. 46.
29. μεμύηκα A^d pr., μεμύνηκα A^d corr. —

οὔτε μεμήνυκα περὶ οὐδενὸς οὔτε ὡμολόγηκα περὶ αὐτῶν, οὐδὲ ἔστι μοι ἁμάρτημα περὶ τὼ θεὼ οὔτε μεῖζον οὔτ' ἔλαττον οὐδὲ ἕν. ὅπερ ἐμοὶ περὶ πλείστου ἐστὶν ὑμᾶς πεῖσαι. καὶ γὰρ οἱ λόγοι τῶν κατηγόρων, (οἳ) ταῦτα τὰ δεινὰ καὶ φρικώδη ἀνωρθίαζον, καὶ λόγους εἶπον ὡς πρότερον ἑτέρων ἁμαρτόντων καὶ ἀσεβησάντων περὶ τὼ θεώ, οἷα ἕκαστος αὐτῶν
30 ἔπαθε καὶ ἐτιμωρήθη — τούτων οὖν ἐμοὶ τῶν λόγων ἢ τῶν ἔργων τί προσήκει; ἐγὼ γὰρ πολὺ μᾶλλον ἐκείνων (ταῦτα) κατηγορῶ, καὶ δι' αὐτὸ τοῦτό φημι δεῖν ἐκείνους μὲν ἀπολέσθαι, ὅτι ἠσέβησαν, ἐμὲ δὲ σῴζεσθαι, ὅτι οὐδὲν ἡμάρτηκα. ἦ δεινόν γ' ἂν εἴη, εἰ ἐμοὶ ὀργίζοισθε ἐπὶ τοῖς ἑτέρων ἁμαρτήμασι, καὶ τὴν εἰς ἐμὲ διαβολὴν εἰδότες ὅτι ὑπὸ τῶν ἐχθρῶν τῶν ἐμῶν λέγεται, κρείττω τῆς ἀληθείας ἡγήσεσθε. δηλονότι γὰρ τοῖς μὲν ἡμαρτηκόσι τὰ τοιαῦτα ἁμαρτήματα οὐκ ἔστιν ἀπολογία ὡς οὐκ ἐποίησαν· ἡ γὰρ βάσανος δεινὴ παρὰ τοῖς εἰδόσιν· ἐμοὶ δὲ ὁ ἔλεγχος ἥδιστος, ἐν οἷς ὑμῶν οὐδέν με δεῖ δεόμενον οὐδὲ παραιτούμενον σωθῆναι ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ, ἀλλ' ἐλέγχοντα τοὺς τῶν κατηγόρων λόγους καὶ
31 ὑμᾶς ἀναμιμνήσκοντα τὰ γεγενημένα, οἵ τινες ὅρκους

οὐδὲ ἕν] οὐδέν A. — καὶ γὰρ οἱ λόγοι κτέ.] si addas οἵ, nihil in his cum Andocide non convenire videtur, neque cuiquam eorum qui praeterea mutare tentarunt conatus prospere cessit (οἱ λ. τ. κατ. del. Usener.). — ἀνωρθίαζον] cf. Harp.: ἀνωρθ. ἀντὶ τοῦ ὄρθιον βοῶντες ἔλεγον Ἀνδοκίδης, et Suid. et B. A. I p. 412. Eurip. Andr. 1148 et Aesch. Ch. 271 confert Kö.

30. γ' ἂν codd. Bk. (ci. R.): γάρ. — ἡγήσαισθε cum R. Bk. (vulg. ret. Schi. Turr.). — malim δεινὴ (ἡ) παρά. — τῇ τοιαύτῃ pr. A W.: τοιαύτῃ. — ἀναμιμνήσκοντα ci. R. Bait.: ἀναμιμνήσκω.

μεγάλους ὀμόσαντες οἴσετε τὴν ψῆφον περὶ ἐμοῦ, καὶ ἀρασάμενοι τὰς μεγίστας ἀρὰς ὑμῖν τε αὐτοῖς καὶ παισὶ τοῖς ὑμετέροις αὐτῶν, ἦ μὴν ψηφιεῖσθαι περὶ ἐμοῦ τὰ δίκαια, πρὸς δὲ τούτοις μεμύησθε καὶ ἑωράκατε τοῖν θεοῖν τὰ ἱερά, ἵνα τιμωρήσητε μὲν τοὺς ἀσεβοῦντας, σῴζητε δὲ τοὺς μηδὲν ἀδικοῦντας. νομίσατε τοίνυν ἀσέβημα οὐδὲν ἔλαττον εἶναι τοὺς 32
μηδὲν ἠδικηκότας ἀσεβεῖν καταγνῶναι ἢ τοὺς ἠσεβηκότας μὴ τιμωρεῖσθαι. ὥστ᾽ ἐγὼ ὑμῖν πολὺ μᾶλλον τῶν κατηγόρων πρὸς τοῖν θεοῖν ἐπισκήπτω, ὑπέρ τε τῶν ἱερῶν ἃ εἴδετε, καὶ ὑπὲρ τῶν Ἑλλήνων οἳ τῆς ἑορτῆς ἕνεκα ἔρχονται δεῦρο· εἰ μέν τι ἠσέβηκα ἢ ὡμολόγηκα ἢ ἐμήνυσα κατά τινος ἀνθρώπων, ἢ ἄλλος τις περὶ ἐμοῦ, ἀποκτείνατέ με· οὐ παραιτοῦμαι· εἰ δὲ οὐδὲν ἡμάρτηταί μοι, καὶ τοῦτο ὑμῖν 33
ἀποδείκνυμι σαφῶς, δέομαι ὑμῶν αὐτὸ φανερὸν τοῖς Ἕλλησι πᾶσι ποιῆσαι, ὡς ἀδίκως εἰς τόνδε τὸν ἀγῶνα κατέστην. ἐὰν γὰρ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων καὶ ἀτιμωθῇ ὁ ἐνδείξας ἐμὲ Κηφίσιος οὑτοσί, οὐκ ἐξέσται αὐτῷ εἰς τὸ ἱερὸν τοῖν θεοῖν εἰσιέναι, ἢ ἀποθανεῖται. εἰ οὖν ὑμῖν δοκῶ ἱκανῶς περὶ τούτων ἀπολελογῆσθαι, δηλώ-

31. *ἀσάμενοι* ut videtur pr. A. — *παισὶ* A et corr. B (Bk): *πᾶσι*. — *ἦ* (*ἢ*) *μὴν ψηφιεῖσθαι* AB (*ἢ μὴν . . . ψηφιεῖσθαι* pr. A) Kl. Schi. Turr.: *εἰ μὴ ψηφιεῖσθε*.
32. *ἐπισκήπτω*] cf. Harp. s. v. *ἐπεσκήψατο*: *τὸ δὲ ἐπισκήπτω ἀντὶ τοῦ μετά τινος ἐπιθειασμοῦ λέγω καὶ οἷον ἐξορκίζω Ἀνδ. τε ἐν τῷ περὶ τῶν μυστηρίων καὶ Λυσίας — — εἰρήκασιν*. — *εἴδετε* A Bk.: *ἴδετε*. — *ἕνεκα* scripsi: *ἕνεκεν*. — *μεμήνυκα* Bait., sicut est § 29. *ἐγώ* desiderat Hi.
33. *αὐτὸ*] *αὖ τοῦτο* Emp. — *Κηφίσιος* auct. Steph. Bk.: *Κηφήσιος*. — *ἐξέσται* scripsi: *ἔξεστιν*. — *ὑμῖν δοκῶ* AB Bk.: *δοκῶ ὑμῖν*. — *ἀπολελογῆσθαι* AB Bk. (ci. Sl.): *ἀπολογεῖσθαι*.

σατέ μοι, ἵνα προθυμότερον περὶ τῶν ἄλλων ἀπολογῶμαι.

34 Περὶ δὲ τῶν ἀναθημάτων τῆς περικοπῆς καὶ τῆς μηνύσεως, ὥσπερ καὶ ὑπεσχόμην ὑμῖν, οὕτω καὶ ποιήσω· ἐξ ἀρχῆς γὰρ ὑμᾶς διδάξω ἅπαντα τὰ γεγενημένα. ἐπειδὴ Τεῦκρος ἦλθε Μεγαρόθεν, ἄδειαν εὑρόμενος μηνύει περί τε τῶν μυστηρίων (καὶ) ἃ ᾔδει ἐκ τῶν περικοψάντων τὰ ἀναθήματα, καὶ ἀπογράφει δυοῖν δέοντας εἴκοσιν ἄνδρας. ἐπειδὴ δὲ οὗτοι ἀπεγράφησαν, οἱ μὲν αὐτῶν φεύγοντες ᾤχοντο, οἱ δὲ συλληφθέντες ἀπέθανον κατὰ τὴν Τεύκρου μήνυσιν. Καί μοι ἀνάγνωθι αὐτῶν τὰ ὀνόματα.

35 ΟΝΟΜΑΤΑ. Τεῦκρος ἐπὶ τοῖς Ἑρμαῖς ἐμήνυσεν Εὐκτήμονα, Γλαύκιππον, Εὐρύμαχον, Πολύευκτον, Πλάτωνα, Ἀντίδωρον, Χάριππον, Θεόδωρον, Ἀλκισθένη, Μενέστρατον, Ἐρυξίμαχον, Εὐφίλητον, Εὐρυδάμαντα, Φερεκλέα, Μέλητον, Τιμάνθη, Ἀρχίδαμον, Τελένικον.

Τούτων τοίνυν τῶν ἀνδρῶν οἱ μὲν ἥκουσι καὶ εἰσὶν ἐνθάδε, τῶν δὲ ἀποθανόντων εἰσὶ πολλοὶ προσήκοντες· ὧν ὅστις βούλεται, ἐν τῷ ἐμῷ λόγῳ ἀναβὰς με ἐλεγξάτω ἢ ὡς ἔφυγέ τις δι' ἐμὲ τούτων τῶν ἀνδρῶν ἢ ὡς ἀπέθανεν.

36 Ἐπειδὴ δὲ ταῦτα ἐγένετο, Πείσανδρος καὶ Χαρι-

34. (καὶ) ἃ ᾔδει ἐκ τῶν („quae audiverat ex —") scripsi coll. § 15: ἃ ᾔδει ἐκ τῶν codd., ἃ ᾔ. καὶ τῶν Ald. Bk., ἃ ᾔ., καὶ ἐκ τ. deleto καὶ quod sequitur Ros. — εἴκοσι A[d] pr. — ἐπειδὴ δὲ codd. Bk. (ci. R.): om. δὲ v.

35. Ἀλκισθένη et Τιμάνθη Schi.: Ἀλκισθένην et Τιμάνθην. — Ἐρυξίμαχον cum Steph. Bk.: εὐρυξίμαχον A, εὐριξύμαχον BLZ, εὐριξίμαχον Ald. — Εὐφίλητον] cf. C. I. A. I, 274, Suppl. p. 35 (v. ad § 13): Εὐφιλήτου Τιμοθέου Κ[υ]δαθη[ναιῶς. — εὐρυμάδαντα AB, εὐροδάμαντα Z.

κλῆς, ὄντες μὲν τῶν ζητητῶν, δοκοῦντες | δ' ἐν 6
ἐκείνῳ τῷ χρόνῳ εὐνούστατοι εἶναι τῷ δήμῳ, ἔλεγον
ὡς εἴη τὰ ἔργα τὰ γεγενημένα οὐκ ὀλίγων ἀνδρῶν
ἀλλ' ἐπὶ τῇ τοῦ δήμου καταλύσει, καὶ χρῆναι ἐπι-
ζητεῖν καὶ μὴ παύσασθαι. καὶ ἡ πόλις οὕτως διέκειτο,
ὥστ' ἐπειδὴ τὴν βουλὴν εἰς τὸ βουλευτήριον ὁ κῆρυξ
ἀνείποι ἰέναι καὶ τὸ σημεῖον καθέλοι, τῷ αὐτῷ
σημείῳ ἡ μὲν βουλὴ εἰς τὸ βουλευτήριον ᾔει, οἱ δ'
ἐκ τῆς ἀγορᾶς ἔφευγον, δεδιότες εἷς ἕκαστος μὴ
συλληφθείη. ἐπαρθεὶς οὖν τοῖς τῆς πόλεως κακοῖς 37
εἰσαγγέλλει Διοκλείδης εἰς τὴν βουλήν, φάσκων
εἰδέναι τοὺς περικόψαντας τοὺς Ἑρμᾶς, καὶ εἶναι
αὐτοὺς εἰς τριακοσίους· ὡς δ' ἴδοι καὶ περιτύχοι
τῷ πράγματι, ἔλεγε. καὶ τούτοις, ὦ ἄνδρες, δέομαι
ὑμῶν προσέχοντας τὸν νοῦν ἀναμιμνήσκεσθαι, ἐὰν
ἀληθῆ λέγω, καὶ διδάσκειν ἀλλήλους· ἐν ὑμῖν γὰρ
ἦσαν οἱ λόγοι, καί μοι ὑμεῖς τούτων μάρτυρές ἐστε.
ἔφη γὰρ εἶναι μὲν ἀνδράποδόν οἱ ἐπὶ Λαυρίῳ, δεῖν 38
δὲ κομίσασθαι ἀποφοράν. ἀναστὰς δὲ πρῴ ψευσθεὶς
τῆς ὥρας βαδίζειν· εἶναι δὲ πανσέληνον. ἐπεὶ δὲ
παρὰ τὸ προπύλαιον τὸ Διονύσου ἦν, ὁρᾶν ἀνθρώ-
πους πολλοὺς ἀπὸ τοῦ ᾠδείου καταβαίνοντας εἰς
τὴν ὀρχήστραν· δείσας δὲ αὐτούς, εἰσελθὼν ὑπὸ

36. ζητητῶν] cf. Harp. ζητητής· ἀρχή τις Ἀθήνησι κατὰ καιροὺς καθισταμένη — —· Δημοσθένης — — καὶ Ἀνδοκίδης ἐν τῷ περὶ ἐνδείξεως. — ἔλεγον οὖν ὡς Ald. — ἐπιζητεῖν A pr. Dobr.: ἔτι ζητεῖν. — οὕτως A[d] Turr.: οὕτω. — ἀνείποι Schoem. Dobr. Bk.: ἀνείπῃ. — καθέλοι AB Bk.: καθέλῃ. — ἔφευγον Bait.: ἔφυγον.

37. Διοκλείδης Ald.: διὸ καὶ δὶς. — τὰς Ἑρμᾶς pr. A.

38. πρῴ Bk.: πρωὶ A, πρωῒ v. — τὸ Διονύσου ZMBk. Schi.: τοῦ Δ. —

τὴν σκιὰν καθέζεσθαι μεταξὺ τοῦ κίονος καὶ τῆς
στήλης ἐφ' ᾗ ὁ στρατηγός ἐστιν ὁ χαλκοῦς. ὁρᾶν
δὲ ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους,
ἑστάναι δὲ κύκλῳ ἀνὰ πέντε καὶ δέκα ἄνδρας, τοὺς
δὲ ἀνὰ εἴκοσιν· ὁρῶν δὲ αὐτῶν πρὸς τὴν σελήνην
39 τὰ πρόσωπα τῶν πλείστων γιγνώσκειν. καὶ πρῶτον
μέν, ὦ ἄνδρες, τοῦθ' ὑπέθετο δεινότατον πρᾶγμα,
οἶμαι, ὅπως ἐν ἐκείνῳ εἴη ὅντινα βούλοιτο Ἀθηναίων
φάναι τῶν ἀνδρῶν τούτων εἶναι, ὅντινα δὲ μὴ
βούλοιτο, λέγειν ὅτι οὐκ ἦν. ἰδὼν δὲ ταῦτ' ἔφη
ἐπὶ Λαύριον ἰέναι, καὶ τῇ ὑστεραίᾳ ἀκούειν ὅτι οἱ
Ἑρμαῖ εἶεν περικεκομμένοι· γνῶναι οὖν εὐθὺς ὅτι
40 τούτων εἴη τῶν ἀνδρῶν τὸ ἔργον. ἥκων δὲ εἰς ἄστυ
ζητητάς τε ἤδη ᾑρημένους καταλαμβάνειν καὶ μήνυ-
τρα κεκηρυγμένα ἑκατὸν μνᾶς. ἰδὼν δὲ Εὔφημον
τὸν Καλλίου τοῦ Τηλεκλέους ἀδελφὸν ἔν τῳ χαλκείῳ
καθήμενον, ἀναγαγὼν αὐτὸν εἰς τὸ Ἡφαιστεῖον
λέγειν ἅπερ ὑμῖν ἐγὼ εἴρηκα, ὡς ἴδοι ἡμᾶς ἐν ἐκείνῃ
τῇ νυκτί· οὔκουν δέοιτο παρὰ τῆς πόλεως χρήματα
λαβεῖν μᾶλλον ἢ παρ' ἡμῶν, ὥσθ' ἡμᾶς ἔχειν φίλους.
εἰπεῖν οὖν τὸν Εὔφημον ὅτι καλῶς ποιήσειεν εἰπών,
καὶ νῦν ἥκειν κελεῦσαί οἱ εἰς τὴν Λεωγόρου οἰκίαν,

σκιὰν] οἰκίαν pr. A. — num μεταξύ του? — ὁρᾶν δὲ κτέ.] cf. Galen. XVIII A p. 450 ed. Kühn: Ἀ. ἐν τῷ περὶ μυστηρίων· ἄδων δ' ἀνθρώπους τὸν μὲν ἀριθμὸν μάλιστα τριακοσίους. μὲν et μάλιστα, quae om. codd., e Galeno add. Sl. Bk. idem Sl. pro ὁρᾶν (ἄδων) ci. ἰδεῖν. — τῶν πλείστων] τὰ πλεῖστα pr. A (prob. Li.).

39. malim ἐπ' ἐκείνῳ. — Λαύριον Bk.: λαυρίαν codd., λαυρεῖον v. (sicut Λαυρείῳ § 38).

40. καταλαμβάνειν codd. Bk. (ci. Valck. R.): καταλαμβάνει. — ἔν τῳ Valck.: ἐν τῷ. — ἴδοι ὑμᾶς A[d] M. — καὶ συνήκειν Emp. — κελεῦσαί οἱ] pronomen ad Euphemum

„ἵν᾽ ἐκεῖ συγγένῃ μετ᾽ ἐμοῦ Ἀνδοκίδῃ καὶ ἑτέροις οἷς δεῖ.“ ἥκειν ἔφη τῇ ὑστεραίᾳ, καὶ δὴ κόπτειν τὴν 41
θύραν· τὸν δὲ πατέρα τὸν ἐμὸν τυχεῖν ἐξιόντα, καὶ εἰπεῖν αὐτῷ· „ἆρά γε σὲ οἵδε περιμένουσι; χρὴ μέντοι μὴ ἀπωθεῖσθαι τοιούτους φίλους.“ εἰπόντα δὲ αὐτὸν ταῦτα οἴχεσθαι. καὶ τούτῳ μέν τῷ τρόπῳ τὸν πατέρα μου ἀπώλλυε, συνειδότα ἀποφαίνων. εἰπεῖν δὲ ἡμᾶς ὅτι δεδογμένον ἡμῖν εἴη δύο μὲν τάλαντα ἀργυρίου διδόναι οἱ ἀντὶ τῶν ἑκατὸν μνῶν τῶν ἐκ τοῦ δημοσίου, ἐὰν δὲ κατάσχωμεν ἡμεῖς ἃ βουλόμεθα, ἕνα αὐτὸν ἡμῶν εἶναι, πίστιν δὲ τούτων δοῦναί τε καὶ δέξασθαι. ἀποκρίνασθαι δὲ αὐτὸς 42
πρὸς ταῦτα ὅτι βουλεύσοιτο· ἡμᾶς δὲ κελεύειν αὐτὸν ἥκειν εἰς Καλλίου τοῦ Τηλεκλέους, ἵνα κἀκεῖνος παρείη. τὸν δ᾽ αὖ κηδεστήν μου οὕτως ἀπώλλυεν. ἥκειν ἔφη εἰς Καλλίου, καὶ καθομολογήσας ἡμῖν πίστιν δοῦναι ἐν ἀκροπόλει, καὶ ἡμᾶς συνθεμένους οἱ τὸ ἀργύριον εἰς τὸν ἐπιόντα μῆνα δώσειν διαψεύδεσθαι καὶ οὐ διδόναι· ἥκειν οὖν μηνύσων τὰ γενόμενα.

Ἡ μὲν εἰσαγγελία αὐτῷ, ὦ ἄνδρες, τοιαύτη· 43
ἀπογράφει δὲ τὰ ὀνόματα τῶν ἀνδρῶν ὧν ἔφη γνῶναι, δύο καὶ τετταράκοντα, πρώτους μὲν Μαντίθεον καὶ Ἀψεφίωνα, βουλευτὰς ὄντας καὶ καθη-

referri debet (cf. R. Add.). — τὴν et οἰκίαν del. Hi. — συγγένηται A pr.

41. αὐτῷ Li., αὐτῷ ipse praetuli: αὐτόν (πρὸς αὐτόν ci. R.). — βουλώμεθα A. — αὐτὸν R. Bk.: αὐτῶν.

42. παρήει pr. A, παροίη B. — καθομολογήσας AB Bk.: καθοδηγήσας. — ἐπιόντα Emp. Turr.: εἰσιόντα.

43. αὐτῷ cum R. Turr.: αὐτῶν. — Ἀφεψίωνα Bk. contra

μένους ἔνδον, εἶτα δὲ καὶ τοὺς ἄλλους. ἀναστὰς
δὲ Πείσανδρος ἔφη χρῆναι λύειν τὸ ἐπὶ Σκαμαν-
δρίου ψήφισμα καὶ ἀναβιβάζειν ἐπὶ τὸν τροχὸν
τοὺς ἀπογραφέντας, ὅπως μὴ πρότερον νὺξ ἔσται
πρὶν πυθέσθαι τοὺς ἄνδρας ἅπαντας. ἀνέκραγεν
44 ἡ βουλὴ ὡς εὖ λέγει. | ἀκούσαντες δὲ ταῦτα Μαν-
7 τίθεος καὶ Ἀψεφίων ἐπὶ τὴν ἑστίαν ἐκαθέζοντο,
ἱκετεύοντες μὴ στρεβλωθῆναι ἀλλ' ἐξεγγυηθέντες
κριθῆναι. μόλις δὲ τούτων τυχόντες, ἐπειδὴ τοὺς
ἐγγυητὰς κατέστησαν, ἐπὶ τοὺς ἵππους ἀναβάντες
ᾤχοντο εἰς τοὺς πολεμίους αὐτομολήσαντες, κατα-
λιπόντες τοὺς ἐγγυητάς, οὓς ἔδει (ἐν) τοῖς αὐτοῖς
45 ἐνέχεσθαι ἐν οἷσπερ οὓς ἠγγυήσαντο. ἡ δὲ βουλὴ
ἐξελθοῦσα ἐν ἀπορρήτῳ συνέλαβεν ἡμᾶς καὶ ἔδη-
σεν ἐν τοῖς ξύλοις. ἀνακαλέσαντες δὲ τοὺς στρα-
τηγοὺς ἀνειπεῖν ἐκέλευσαν Ἀθηναίων τοὺς μὲν ἐν
ἄστει οἰκοῦντας ἰέναι εἰς τὴν ἀγορὰν τὰ ὅπλα
λαβόντας, τοὺς δ' ἐν μακρῷ τείχει εἰς τὸ Θησεῖον,
τοὺς δ' ἐν Πειραιεῖ εἰς τὴν Ἱπποδαμείαν ἀγοράν,
τοὺς δὲ ἱππεῖς ἔτι (πρὸ) νυκτὸς σημῆναι τῇ σάλ-
πιγγι ἥκειν εἰς τὸ Ἀνάκειον, τὴν δὲ βουλὴν εἰς
ἀκρόπολιν ἰέναι κἀκεῖ καθεύδειν, τοὺς δὲ πρυτά-
νεις ἐν τῇ θόλῳ. Βοιωτοὶ δὲ πεπυσμένοι τὰ πρά-
γματα ἐπὶ τοῖς ὁρίοις ἦσαν ἐξεστρατευμένοι. τὸν

codd. (Ἀφεψίονα R.). cf. Boeckh. C. I. Gr. II p. 340 (Turr.): Voemel. ad Dem. Lept. § 144.

44. Ἀφεψίων Bk. — ἡκετεύοντες pr. A. — ἐξεγγυηθέντες Sl. Bk.: ἐξεγγυηθέντας. — ἐγκαταλιπόντες ci. S. — ἐν add. W.; hoc addendum aut ἐν quod sequitur delendum esse dicit Hertl.

45. εἰς τὸ Θησ. cum R. Bk.: εἴς τε Θ. AB, εἴς γε Θ. v. — Ἱπποδαμείαν Lobeck. Turr.: Ἱπποδαμίαν. — (πρὸ) νυκτὸς scripsi; cf. § 48. — Ἀνακεῖον Schi. — ἐστρατευμένοι

δὲ τῶν κακῶν τούτων αἴτιον Διοκλείδην ὡς σωτῆρα ὄντα τῆς πόλεως ἐπὶ ζεύγους ἦγον εἰς τὸ πρυτανεῖον στεφανώσαντες, καὶ ἐδείπνει ἐκεῖ.

Πρῶτον μὲν οὖν ταῦτα, ὦ ἄνδρες, ὁπόσοι ὑμῶν 46
παρῆσαν, ἀναμιμνήσκεσθε καὶ τοὺς ἄλλους διδάσκετε· εἶτα δέ μοι τοὺς πρυτάνεις κάλει τοὺς τότε πρυτανεύσαντας, Φιλοκράτη καὶ τοὺς ἄλλους.

ΜΑΡΤΥΡΕΣ.

Φέρε δή, καὶ τὰ ὀνόματα ὑμῖν ἀναγνώσομαι 47
τῶν ἀνδρῶν ὧν ἀπέγραψεν, ἵν' εἰδῆτε ὅσους μοι τῶν συγγενῶν ἀπώλλυεν, πρῶτον μὲν τὸν πατέρα, εἶτα δὲ τὸν κηδεστήν, τὸν μὲν συνειδότα ἀποδεικνύς, τοῦ δ' ἐν τῇ οἰκίᾳ φάσκων τὴν σύνοδον γενέσθαι. τῶν δ' ἄλλων ἀκούσεσθε τὰ ὀνόματα. Καὶ αὐτοῖς ἀναγίγνωσκε.

Χαρμίδης Ἀριστοτέλους·
οὗτος ἀνεψιὸς ἐμός· ἡ μήτηρ ἡ ἐκείνου καὶ ὁ πατὴρ ὁ ἐμὸς ἀδελφοί.

A pr. — *τῶν* ante *κακῶν* om. A pr. — *ζεῦγος* pr. A. — *στεφανώσαντες* A[d] pr. („*στεφανώσαντες* A ni fallor" Bk.) Bk.: *στεφανώσοντες*.

46. Φ. *καὶ τοὺς ἄλλους* cum R. m. Ald. Bk.: libri post haec verba iterant *διδάσκετε*.

47. *ἀπέγραψεν* AB Bk. (R.): *ἔγραψεν*. — *ἀναγίνωσκε* … A. — *μήτηρ ἐκείνου* A[d] M v. ante Bk. — *ὁ πατὴρ ὁ ἐμὸς* A Bk.: *ὁ πατὴρ ἐμὸς* LZ, *ὁ ἐμὸς πατὴρ* v. — *Ἀλκμέωνος* scripsi (cf. § 16): *Ἀλκμαίονος*. — *φρίνικος* ABLZ. Schol. Ar. Nub. 1087 confert Sl.; contra Kö. Ros. (R.) in vocabulo *ὀρχησ.* (*ὀρχησαμένου* mg. Ald.) patris nomen latere putant. — post *Κριτίας ἀνεψιὸς* legebantur male iterata *Εὐκρατίας ὁ Νικίου ἀδελφός*, quae auct. R. del. Bk. — ceterum in hoc indice aliquid turbatum esse evincitur e § 68: *ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγγενῶν ἑπτά.* nam etiamsi ibi cum Sl. *πέντε* pro *ἑπτὰ* rescribas, ut numerus constet, certe duo tantum

Ταυρέας·
οὑτοσὶ ἀνεψιὸς τοῦ πατρός.

Νισαῖος·
υἱὸς Ταυρέου.

Καλλίας ὁ Ἀλκμέωνος·
ἀνεψιὸς τοῦ πατρός.

Εὔφημος·
Καλλίου τοῦ Τηλεκλέους ἀδελφός.

Φρύνιχος ὁ ὀρχησάμενος·
ἀνεψιός.

Εὐκράτης ὁ Νικίου ἀδελφός·
κηδεστὴς οὗτος Καλλίου.

Κριτίας·
ἀνεψιὸς καὶ οὗτος τοῦ πατρός· αἱ μητέρες ἀδελφαί.

Τούτους πάντας ἐν τοῖς τετταράκοντα ἀνδράσιν ἀπέγραψεν.

48 Ἐπειδὴ δὲ ἐδεδέμεθα πάντες ἐν τῷ αὐτῷ καὶ νύξ τε ἦν καὶ τὸ δεσμωτήριον συνεκέκλητο, ἧκον δὲ τῷ μὲν μήτηρ τῷ δὲ ἀδελφὴ τῷ δὲ γυνὴ καὶ παῖδες, ἦν δὲ βοὴ καὶ οἶκτος κλαιόντων καὶ ὀδυρομένων τὰ παρόντα κακά, λέγει πρός με Χαρμίδης, ὢν μὲν ἀνεψιός, ἡλικιώτης δὲ καὶ συνεκτραφεὶς ἐν
49 τῇ οἰκίᾳ τῇ ἡμετέρᾳ ἐκ παιδός, ὅτι „Ἀνδοκίδη, τῶν μὲν παρόντων κακῶν ὁρᾷς τὸ μέγεθος, ἐγὼ δ' ἐν μὲν τῷ παρελθόντι χρόνῳ οὐδὲν ἐδεόμην λέγειν οὐδέ σε λυπεῖν, νῦν δὲ ἀναγκάζομαι διὰ τὴν παροῦσαν ἡμῖν συμφοράν. οἷς γὰρ ἐχρῶ καὶ οἷς συνῆσθα ἄνευ ἡμῶν τῶν συγγενῶν, οὗτοι ἐπὶ

consobrini commemorati erunt. fort. τοῦ πατρός altero loco delendum. — πάντας AB Bk.: ἅπαντας. — τετταρακο . . . . pr. A. — ἀπέγραψεν Steph.: ἐπέγραψεν.
48. συνεκέκλητο S.: συνεκέκλειστο. — κλαόντων Schi.

ταῖς αἰτίαις δι᾽ ἃς ἡμεῖς ἀπολλύμεθα οἱ μὲν αὐτῶν τεθνᾶσιν, οἱ δὲ οἴχονται φεύγοντες, σφῶν αὐτῶν καταγνόντες ἀδικεῖν . . . . . . εἰ ἤκουσάς τι τούτου 50
τοῦ πράγματος τοῦ γενομένου, εἰπέ, καὶ πρῶτον μὲν σεαυτὸν σῶσον, εἶτα δὲ τὸν πατέρα, ὃν εἰκός ἐστί σε μάλιστα φιλεῖν, εἶτα δὲ τὸν κηδεστήν, ὃς ἔχει σου τὴν ἀδελφὴν ἥπερ σοι μόνη ἐστίν, ἔπειτα δὲ τοὺς ἄλλους συγγενεῖς καὶ ἀναγκαίους τοσούτους ὄντας, ἔτι δὲ ἐμέ, ὃς ἐν ἅπαντι τῷ βίῳ ἠνίασα μέν σε οὐδὲν πώποτε, προθυμότατος δὲ εἰς σὲ καὶ τὰ σὰ πράγματά εἰμι, ὅ τι ἂν δέῃ ποιεῖν.“ λέγον- 51
τος δὲ ὦ ἄνδρες Χαρμίδου ταῦτα, ἀντιβολούντων δὲ τῶν ἄλλων καὶ ἱκετεύοντος ἑνὸς ἑκάστου, ἐνεθυμήθην πρὸς ἐμαυτόν· „Ὦ πάντων ἐγὼ δεινοτάτῃ συμφορᾷ περιπεσών, πότερα περιίδω τοὺς ἐμαυτοῦ συγγενεῖς ἀπολλυμένους ἀδίκως, καὶ αὐτούς τε ἀποθανόντας καὶ τὰ χρήματα αὐτῶν δημευθέντα, πρὸς δὲ τούτοις ἀναγραφέντας ἐν στήλαις ὡς ὄντας ἀλιτηρίους τῶν θεῶν τοὺς οὐδενὸς αἰτίους τῶν γεγενημένων, ἔτι δὲ τριακοσίους Ἀθηναίων μέλλοντας ἀδίκως | ἀπολεῖσθαι, τὴν δὲ πόλιν ἐν κακοῖς 8
οὖσαν τοῖς μεγίστοις καὶ ὑποψίαν εἰς ἀλλήλους ἔχοντας, ἢ εἴπω Ἀθηναίοις ἅ περ ἤκουσα Εὐφιλήτου αὐτοῦ τοῦ ποιήσαντος;“ ἔτι δὲ ἐπὶ τούτοις καὶ 52

49. post ἀδικεῖν lacuna est in ABL, in A quidem XII litterarum. τούτων τοίνυν ins. vult S., φέρε δὴ τοίνυν Linder K.

50. δέῃ Bk.: δέοι A v.

51. ὦ πάντων ABLZ. — ἀπολλυμένους et quod sequitur καὶ del. Usener. — ἀλιτρίους A, ἀλειτηρίους verum puto. — ἀπολεῖσθαι Steph. R. Bait., coll. §§ 66, 67, 68: ἀπολέσθαι. — post ἔχοντας Dobr. add. ἅπαντας.

τόδε ἐνεθυμήθην, ὦ ἄνδρες, καὶ ἐλογιζόμην πρὸς
ἐμαυτὸν τοὺς ἐξημαρτηκότας καὶ τὸ ἔργον εἰργα-
σμένους, ὅτι οἱ μὲν αὐτῶν ἤδη ἐτεθνήκεσαν ὑπὸ
Τεύκρου μηνυθέντες, οἱ δὲ φεύγοντες ᾤχοντο καὶ
αὐτῶν θάνατος κατέγνωστο, τέτταρες δὲ ἦσαν ὑπό-
λοιποι οἳ οὐκ ἐμηνύθησαν ὑπὸ Τεύκρου τῶν πε-
ποιηκότων, Παναίτιος Χαιρέδημος Διάκριτος Λυσί-
53 στρατος· οὓς εἰκὸς ἦν ἁπάντων μάλιστα δοκεῖν εἶναι
τούτων τῶν ἀνδρῶν οὓς ἐμήνυσε Διοκλείδης, φίλους
ὄντας τῶν ἀπολωλότων ἤδη. καὶ τοῖς μὲν οὐδέπω
βέβαιος ἦν ἡ σωτηρία, τοῖς δὲ ἐμοῖς οἰκείοις φανε-
ρὸς (ὁ) ὄλεθρος, εἰ μή τις ἐρεῖ Ἀθηναίοις τὰ γε-
νόμενα. ἐδόκει οὖν μοι κρεῖττον εἶναι τέτταρας
ἄνδρας ἀποστερῆσαι τῆς πατρίδος δικαίως, οἳ νῦν
ζῶσι καὶ κατεληλύθασι καὶ ἔχουσι τὰ σφέτερα αὐ-
54 τῶν, ἢ ἐκείνους ἀποθανόντας ἀδίκως περιιδεῖν. εἰ
οὖν τινι ὑμῶν, ὦ ἄνδρες, (ἢ) τῶν ἄλλων πολιτῶν
γνώμη τοιαύτη παρειστήκει πρότερον περὶ ἐμοῦ,
ὡς ἄρα ἐγὼ ἐμήνυσα κατὰ τῶν ἑταίρων τῶν ἐμαυτοῦ,
ὅπως ἐκεῖνοι μὲν ἀπόλοιντο, ἐγὼ δὲ σωθείην — ἃ
ἐλογοποίουν οἱ ἐχθροὶ περὶ ἐμοῦ, βουλόμενοι διαβάλ-
55 λειν με — σκοπεῖσθε ἐξ αὐτῶν τῶν γεγενημένων. νῦν
γὰρ ἐμὲ μὲν λόγον (δεῖ) διδόναι τῶν ἐμοὶ πεπρα-
γμένων μετὰ τῆς ἀληθείας, αὐτῶν παρόντων οἵπερ
ἥμαρτον καὶ ἔφυγον ταῦτα ποιήσαντες, ἴσασι δὲ
ἄριστα εἴτε ψεύδομαι εἴτε ἀληθῆ λέγω, ἔξεστι δὲ

52. εἰργασμένους AB (εἰργασαμένους A[d]) Bk.: ἐργασα-
μένους. — Διάκριτος nomen iniuria tentaverunt Valck. et
R.: v. Turr.
53. φίλους γ' ὄντας Hi. — (ὁ) ὄλεθρος cum R. Bk.
54. τινὶ ὑμ . . A pr. — ἢ cum Sl. add. Bk.

αὐτοῖς ἐλέγχειν με ἐν τῷ ἐμῷ λόγῳ· ἐγὼ γὰρ
ἐφίημι· ὑμᾶς δὲ δεῖ μαθεῖν τὰ γενόμενα. ἐμοὶ γὰρ 56
ὦ ἄνδρες τοῦδε τοῦ ἀγῶνος τοῦτ' ἔστι μέγιστον,
σωθέντι μὴ δοκεῖν κακῷ εἶναι, (ἀλλὰ πρῶτον μὲν
ὑμᾶς,) εἶτα δὲ καὶ τοὺς ἄλλους ἅπαντας μαθεῖν ὅτι
οὔτε μετὰ κακίας οὔτε μετ' ἀνανδρίας οὐδεμιᾶς
τῶν γεγενημένων πέπρακται ὑπ' ἐμοῦ οὐδέν, ἀλλὰ
διὰ συμφορὰν γεγενημένην μάλιστα μὲν τῇ πόλει,
εἶτα δὲ καὶ ἡμῖν, εἶπον δὲ ἃ ἤκουσα Εὐφιλήτου
προνοίᾳ μὲν τῶν συγγενῶν καὶ τῶν φίλων, προ-
νοίᾳ δὲ τῆς πόλεως ἁπάσης, μετ' ἀρετῆς ἀλλ' οὐ
μετὰ κακίας, ὡς ἐγὼ νομίζω. εἰ οὖν οὕτως ἔχει
ταῦτα, σῴζεσθαί τε ἀξιῶ καὶ δοκεῖν ὑμῖν εἶναι μὴ
κακός. φέρε δὴ — χρὴ γὰρ ὦ ἄνδρες ἀνθρωπί- 57
νως περὶ τῶν πραγμάτων ἐκλογίζεσθαι, ὥσπερ ἂν
αὐτὸν ὄντα ἐν τῇ συμφορᾷ — τί ἂν ὑμῶν ἕκαστος
ἐποίησεν; εἰ μὲν γὰρ ἦν δυοῖν τὸ ἕτερον ἑλέσθαι,
ἢ καλῶς ἀπολέσθαι ἢ αἰσχρῶς σωθῆναι, ἔχοι ἄν
τις εἰπεῖν κακίαν εἶναι τὰ γενόμενα· καίτοι πολλοὶ
ἂν καὶ τοῦτο εἵλοντο, τὸ ζῆν περὶ πλείονος ποιη-
σάμενοι τοῦ καλῶς ἀποθανεῖν· ὅπου δὲ τούτων τὸ 58
ἐναντιώτατον ἦν, σιωπήσαντι μὲν αὐτῷ τε αἴσχιστα
ἀπολέσθαι μηδὲν ἀσεβήσαντι, ἔτι δὲ τὸν πατέρα

55. δεῖ cum R. add. Turr. (δεῖ δοῦναι Dobr.).

56. μὴ codd. Bk. (ci. R.): μοι. — ὑμῖν post μὴ δοκεῖν addi vult R., post σωθέντι vel post κακῷ Scheib. — ἀνανδρίας ABk.: ἀνδρίας B, ἀδικίας v. — πόλει εἶτα δὲ καὶ Sl.: πόλει εἶτα . . καὶ A, unde πόλει εἶτα καὶ Bk.; πολιτείᾳ τε καὶ v. ante Bk. — οὐ μετὰ codd. Bk. (ci. R.): οὐ μὴν.

57. γὰρ post μὲν om. pr. A. — δυοῖν] δυσὶ ABLZ. — ἔχει A pr. — γενόμενα ci. R. Bgk. Bait.: λεγόμενα.

*περιιδεῖν ἀπολόμενον καὶ τὸν κηδεστὴν καὶ τοὺς
συγγενεῖς καὶ ἀνεψιοὺς τοσούτους, οὓς οὐδεὶς ἀπώλ-
λυεν ἢ ἐγὼ μὴ εἰπὼν ὡς ἕτεροι ἥμαρτον· Διοκλεί-
δης μὲν γὰρ ψευσάμενος ἔδησεν αὐτούς, σωτηρία
δὲ αὐτῶν ἄλλη οὐδεμία ἦν ἢ πυθέσθαι Ἀθηναίους
πάντα τὰ πραχθέντα· φονεὺς οὖν αὐτῶν ἐγιγνόμην
ἐγὼ μὴ εἰπὼν ὑμῖν ἃ ἤκουσα. ἔτι δὲ τριακοσίους
Ἀθηναίων ἀπώλλυον, καὶ ἡ πόλις ἐν κακοῖς τοῖς*
59 *μεγίστοις ἐγίγνετο. ταῦτα μὲν οὖν ἦν ἐμοῦ μὴ
εἰπόντος· εἰπὼν δὲ τὰ ὄντα αὐτός τε ἐσῳζόμην καὶ
τὸν πατέρα ἔσῳζον καὶ τοὺς ἄλλους συγγενεῖς, καὶ
τὴν πόλιν ἐκ φόβου καὶ κακῶν τῶν μεγίστων
ἀπήλλαττον. φυγάδες δὲ δι' ἐμὲ τέτταρες ἄνδρες
ἐγίγνοντο, οἵπερ καὶ ἥμαρτον· τῶν δ' ἄλλων, οἳ
πρότερον ὑπὸ Τεύκρου ἐμηνύθησαν, οὔτε δήπου
οἱ τεθνεῶτες δι' ἐμὲ μᾶλλον ἐτέθνασαν οὔτε οἱ*
60 *φεύγοντες μᾶλλον ἔφευγον. ταῦτα δὲ πάντα σκο-
πῶν εὕρισκον, ὦ ἄνδρες, τῶν παρόντων κακῶν ταῦτα
ἐλάχιστα εἶναι, εἰπεῖν τὰ γενόμενα ὡς τάχιστα καὶ
ἐλέγξαι Διοκλείδην ψευσάμενον, (καὶ σῶσαί τε*
9 *ἡμᾶς) καὶ τιμωρήσασθαι ἐκεῖνον, ὃς ἡμᾶς μὲν
ἀπώλλυεν ἀδίκως, τὴν δὲ πόλιν ἐξηπάτα, ταῦτα δὲ
ποιῶν μέγιστος εὐεργέτης ἐδόκει εἶναι καὶ χρήματα*
61 *ἐλάμβανε. διὰ ταῦτα εἶπον τῇ βουλῇ ὅτι εἰδείην*

58. *ἀπολόμενον* AB Bk.: *ἀπολούμενον*. — videtur hic quoque restituendum esse *καὶ τοὺς* (*ἄλλους*) *συγγενεῖς καὶ ἀναγκαίους τοσούτους* (*ὄντας*), sicut est § 50. — *μὲν* post *Διοκλ.* om. pr. A. — *ἐγίνετο . . ταῦτα* A pr.

59. *ἦν* add. A Bk. — *τῶν δ' ἄλλων οἳ* Dobr. Turr.: *τῶν δ' ἄλλων οἱ λοιποὶ*. Fort. autem vv. *οἱ λοιποὶ . . ἐμηνύθ.* cum Dobr. delenda. cf. § 52. — *πρότερον* in mg. add. A.

61. *οὖν* post *εἶπον* add. Ald. (om. Bk.). —

τοὺς ποιήσαντας, καὶ ἐξήλεγξα τὰ γενόμενα, ὅτι εἰσηγήσατο μὲν πινόντων ἡμῶν ταύτην τὴν βουλὴν Εὐφίλητος, ἀντεῖπον δὲ ἐγώ, καὶ τότε μὲν οὐ γένοιτο δι' ἐμέ, ὕστερον δ' ἐγὼ μὲν ἐν Κυνοσάργει ἐπὶ πωλίον ὅ μοι ἦν ἀναβὰς ἔπεσον καὶ τὴν κλεῖν συνετρίβην καὶ τὴν κεφαλὴν κατεάγην, φερόμενός τε ἐπὶ κλίνης ἀπεκομίσθην οἴκαδε· αἰσθόμενος δ' 62
Εὐφίλητος ὡς ἔχοιμι, λέγει πρὸς αὐτοὺς ὅτι πέπεισμαι ταῦτα συμποιεῖν καὶ ὡμολόγηκα αὐτῷ μεθέξειν τοῦ ἔργου καὶ περικόψειν τὸν Ἑρμῆν τὸν παρὰ τὸ Φορβαντεῖον. ταῦτα δ' ἔλεγεν ἐξαπατῶν ἐκείνους· καὶ διὰ ταῦτα ὁ Ἑρμῆς ὃν ὁρᾶτε πάντες, ὁ παρὰ τὴν πατρῴαν οἰκίαν τὴν ἡμετέραν, ὃν ἡ Αἰγὴς ἀνέθηκεν, οὐ περιεκόπη μόνος τῶν Ἑρμῶν τῶν Ἀθήνησιν, ὡς ἐμοῦ τοῦτο ποιήσοντος, ὡς ἔφη πρὸς αὐτοὺς Εὐφίλητος. οἱ δ' αἰσθόμενοι δεινὰ 63
ἐποίουν, ὅτι εἰδείην μὲν τὸ πρᾶγμα, πεποιηκὼς δὲ οὐκ εἴην. προσελθόντες δέ μοι τῇ ὑστεραίᾳ Μέλητος καὶ Εὐφίλητος ἔλεγον ὅτι „γεγένηται ὦ Ἀνδοκίδη καὶ πέπρακται ἡμῖν ταῦτα. σὺ μέντοι εἰ

ἡμῶν codd. Valck. R.: ὑμῶν. — βουλὴν γενέσθαι Εὐφ. codd.; del. γεν. Bk. — τότε] τόπε pr. A. — πωλίον (mg. Ald.) cum R. Bk.: πωλεῖον. — ὅ μοι ἦν A Bk. (ci. R.): ὅμον ἦν BLMZ, ὃ μονὴν v. (ὠμὸν Emp.)

62. ἔχοιμι AB Bk. (ci. R.): οἴχοιμι LZ, ἥκοιμι v. — αὐτῷ] αὐτῶν p. A. — τὸ Φορβαντεῖον cum Vales. et R. Bk. (coll. Harp. s. v.): τὸν (sed τὸ A) Φορβάντιον. — τὴν post παρὰ add. A Bk. (ci. R.). — cf. Harp. s. v. Ἀνδοκίδου Ἑρμῆς: καὶ αὐτὸς Ἀ. ἐν τῷ π. τ. μυστ. ὅτι τῆς Αἰγῆδος εἴη τὸ ἀνάθημα εἴρηκεν. — ποιήσοντος ci. R. Valck.: ποιήσαντος.

63. Valckenaerium δεινὰ ἐποιοῦντο rescribentem refellunt Dobr. Förtsch. (comm. crit. de locis nonnullis Lys. et Dem. p. 23 sq.) — συμπεποιηκὼς W. —

μὲν ἀξιοῖς ἡσυχίαν ἔχειν καὶ σιωπᾶν, ἕξεις ἡμᾶς ἐπιτηδείους ὥσπερ καὶ πρότερον· εἰ δὲ μή, χαλεπώτεροί σοι ἡμεῖς ἐχθροὶ ἐσόμεθα ἢ ἄλλοι τινὲς
64 δι' ἡμᾶς φίλοι." εἶπον αὐτοῖς ὅτι νομίζοιμι μὲν διὰ τὸ πρᾶγμα Εὐφίλητον πονηρὸν εἶναι, ἐκείνοις δὲ οὐκ ἐμὲ δεινὸν εἶναι, ὅτι οἶδα, ἀλλὰ μᾶλλον αὐτὸ τὸ ἔργον πολλῷ, ὅτι πεποίηται. ὡς οὖν ἦν ταῦτ' ἀληθῆ, τόν τε παῖδα τὸν ἐμὸν παρέδωκα βασανίσαι, ὅτι ἔκαμνον καὶ οὐδ' ἀνιστάμην ἐκ τῆς κλίνης, καὶ τὰς θεραπαίνας ἔλαβον οἱ πρυτάνεις,
65 ὅθεν ὁρμώμενοι ταῦτ' ἐποίουν ἐκεῖνοι. ἐξελέγχοντες δὲ τὸ πρᾶγμα ἥ τε βουλὴ καὶ οἱ ζητηταί, ἐπειδὴ ἦν ἣ ἐγὼ ἔλεγον καὶ ὡμολογεῖτο πανταχόθεν, τότε δὴ καλοῦσι τὸν Διοκλείδην· καὶ οὐ πολλῶν λόγων ἐδέησεν, ἀλλ' εὐθὺς ὡμολόγει ψεύδεσθαι, καὶ ἐδεῖτο σῴζεσθαι φράσας τοὺς πείσαντας αὐτὸν λέγειν ταῦτα· εἶναι δὲ Ἀλκιβιάδην τὸν Φηγούσιον καὶ Ἀμίαντον
66 τὸν ἐξ Αἰγίνης. καὶ οὗτοι μὲν δείσαντες ᾤχοντο φεύγοντες· ὑμεῖς δὲ ἀκούσαντες ταῦτα Διοκλείδην μὲν τῷ δικαστηρίῳ παραδόντες ἀπεκτείνατε, τοὺς δὲ δεδεμένους καὶ μέλλοντας ἀπολεῖσθαι ἐλύσατε, τοὺς ἐμοὺς συγγενεῖς, δι' ἐμέ, καὶ τοὺς φεύγοντας κατεδέξασθε, αὐτοὶ δὲ λαβόντες τὰ ὅπλα ἀπῆτε,

ἡμεῖς ἐχθροὶ AB Bk.: ἐχθροὶ ἡμεῖς.
64. δὲ . . . οὐκ ἐμὲ A[d]. — ὡς.ἦν ut videtur pr. A (h. e. ὡς δ' ἦν). — ὅθεν ὁρμ. κτέ.] «illius domus ex qua profecti facinus patraverant,» cf. Dobr. Delet haec v. (ὅθεν . . ἐκεῖνοι) Li.
65. δὲ . . . Ἀλκιβιάδην A pr. — Ἀμίαντον τὸν AB Bk. (ci. Valck. R.): Ἀμίαν τοῦτον. — verba ἐξ Αἰγίνης (quae tum Atheniensium erat) sollicitarunt immerito Naber et Kö. (τὸν Αἰγιλιᾶ, τὸν ἐξ Αἰγιλίας).
66. ἀπῆτε W.: ἀπίητε ABLZ; ἀπῄειτε v.

πολλῶν κακῶν καὶ κινδύνων ἀπαλλαγέντες. ἐν οἷς 67
ἐγώ, ὦ ἄνδρες, τῆς μὲν τύχης ᾗ ἐχρησάμην δικαίως ἂν ὑπὸ πάντων ἐλεηθείην, τῶν δὲ (δι' ἐμὲ) γενομένων ἕνεκα εἰκότως (ἂν) ἀνὴρ ἄριστος δοκοίην εἶναι, ὅστις εἰσηγησαμένῳ μὲν Εὐφιλήτῳ πίστιν τῶν ἐν ἀνθρώποις ἀπιστοτάτην ἠναντιώθην καὶ ἀντεῖπον καὶ ἐλοιδόρησα [ἐκείνῳ] ὧν ἦν ἄξιος, ἁμαρτόντων δ' ἐκείνων τὴν ἁμαρτίαν αὐτοῖς συνέκρυψα, καὶ μηνύσαντος κατ' αὐτῶν Τεύκρου οἱ μὲν αὐτῶν ἀπέθανον οἱ δ' ἔφυγον, πρὶν ἡμᾶς ὑπὸ Διοκλείδου δεθῆναι καὶ μέλλειν ἀπολεῖσθαι. τότε δὲ ἀπέγραψα τέτταρας ἄνδρας, Παναίτιον Διάκριτον Λυσίστρατον Χαιρέδημον· οὗτοι μὲν ἔφυγον 68
δι' ἐμέ, ὁμολογῶ· ἐσώθη δέ γε ὁ πατήρ, ὁ κηδεστής, ἀνεψιοὶ τρεῖς, τῶν ἄλλων συγγενῶν ἑπτά, μέλλοντες ἀποθανεῖσθαι ἀδίκως· οἳ νῦν ὁρῶσι τοῦ ἡλίου τὸ φῶς δι' ἐμέ, καὶ αὐτοὶ ὁμολογοῦσιν· ὁ δὲ τὴν πόλιν ὅλην συνταράξας καὶ εἰς τοὺς ἐσχάτους κινδύνους καταστήσας ἐξηλέγχθη, ὑμεῖς δὲ ἀπηλλάγητε μεγάλων φόβων καὶ τῶν εἰς ἀλλήλους ὑποψιῶν. καὶ ταῦτ' εἰ ἀληθῆ λέγω, ὦ ἄνδρες, ανα- 69
μιμνήσκεσθε, καὶ οἱ εἰδότες διδάσκετε τοὺς ἄλλους. Σὺ δέ μοι αὐτοὺς κάλει τοὺς λυθέντας δι' ἐμέ· ἄριστα γὰρ ἂν εἰδότες τὰ γενόμενα λέγοιεν εἰς

67. vv. τῆς μὲν τύχης — ἐλεηθείην laudat Prisc. XVIII c. 25 (ubi est ὑφ' ὑμῶν ἐλ.). — δι' ἐμὲ addidi: an potius ἐπ' (ἐν) ἐμοὶ? τότε add. W. — γενομένων Bait. Turr.: γινομένων. — ἕνεκα scripsi: ἕνεκεν. — (ἂν) ἀνὴρ ci. R. — ἐκείνῳ del. W.; ἐκείνων pr. A. — vv. οἱ μὲν . . ἔφυγον del. Li.
68. ἑπτά] cf. quae adnotata sunt ad § 47. — ἐξηλέγχη AB.
69. οἱ εἰδότες cum R. Turr.: οἱ ἰδόντες (οἱ om. pr. A). — ἂν ἰδόντες pr. A. —

τούτους. Οὑτωσὶ δὲ ἔχει, ὦ ἄνδρες· μέχρι τούτου ἀναβήσονται καὶ λέξουσιν ὑμῖν, ἕως ἂν ἀκροᾶσθαι βούλησθε, ἔπειτα δ' ἐγὼ περὶ τῶν ἄλλων | ἀπολογήσομαι.

(ΜΑΡΤΥΡΕΣ.)

70 Περὶ μὲν οὖν τῶν τότε γενομένων ἀκηκόατε πάντα καὶ ἀπολελόγηταί μοι ἱκανῶς, ὥς γ' ἐμαυτὸν πείθω· εἰ δέ τίς τι ὑμῶν ποθεῖ ἢ νομίζει τι μὴ ἱκανῶς εἰρῆσθαι ἢ παραλέλοιπά τι, ἀναστὰς ὑπομνησάτω, καὶ ἀπολογήσομαι καὶ πρὸς τοῦτο· περὶ
71 δὲ τῶν νόμων ἤδη ὑμᾶς διδάξω. Κηφίσιος γὰρ οὑτοσὶ ἐνέδειξε μέν με κατὰ τὸν νόμον τὸν κείμενον, τὴν δὲ κατηγορίαν ποιεῖται κατὰ ψήφισμα πρότερον γενόμενον, ὃ εἶπεν Ἰσοτιμίδης, οὗ ἐμοὶ προσήκει οὐδέν. ὁ μὲν γὰρ εἶπεν εἴργεσθαι τῶν ἱερῶν τοὺς ἀσεβήσαντας καὶ ὁμολογήσαντας, ἐμοὶ δὲ τούτων οὐδέτερα πεποίηται· οὔτε ἠσέβηται οὔτε
72 ὡμολόγηται. ὡς δὲ καὶ τοῦτο τὸ ψήφισμα λέλυται καὶ ἄκυρόν ἐστιν, ἐγὼ ὑμᾶς διδάξω. καίτοιγε τοιαύτην ἀπολογίαν περὶ αὐτοῦ ποιήσομαι, ὅπου μὴ πείθων μὲν ὑμᾶς αὐτὸς ζημιώσομαι, πείσας δὲ ὑπὲρ τῶν ἐχθρῶν ἀπολελογημένος ἔσομαι. ἀλλὰ
73 γὰρ τἀληθῆ εἰρήσεται. ἐπεὶ γὰρ αἱ νῆες διεφθάρησαν καὶ ἡ πολιορκία ἐγένετο, ἐβουλεύσασθε περὶ ὁμονοίας, καὶ ἔδοξεν ὑμῖν τοὺς ἀτίμους ἐπιτίμους

ΜΑΡΤΥΡΕΣ add. Markl. ap. Dobs. R. Turr.
70. *εἰ δ' ἔτι τίς τι* mal. S. *τι* post *τίς* om. pr. A.
71. *Ἰσοτιμίδης οὗ* R. (similiter etiam Canter. et Valck.): *εἰς ὅτι μηδ' ἴσου* ABL, *εἰς ὅτι μηδ' ἴσον* v.
73. *ἐβουλεύσασθ* . . A pr. —

ποιῆσαι, καὶ εἶπε τὴν γνώμην Πατροκλείδης. οἱ
δὲ ἄτιμοι τίνες ἦσαν, καὶ τίνα τρόπον ἕκαστοι;
ἐγὼ ὑμᾶς διδάξω. οἱ μὲν ἀργύριον ὀφείλοντες τῷ
δημοσίῳ, ὁπόσοι εὐθύνας ὦφλον ἄρξαντες ἀρχάς,
ἢ ἐξούλας ἢ γραφὰς ἢ ἐπιβολὰς ὦφλον, ἢ ὠνὰς
πριάμενοι ἐκ τοῦ δημοσίου μὴ κατέβαλον τὰ χρή-
ματα, ἢ ἐγγύας ἠγγυήσαντο πρὸς τὸ δημόσιον·
τούτοις ἡ μὲν ἔκτεισις ἦν ἐπὶ τῆς ἐνάτης πρυτα-
νείας, εἰ δὲ μή, διπλάσιον ὀφείλειν καὶ τὰ κτήματα
αὐτῶν πεπρᾶσθαι. εἷς μὲν τρόπος οὗτος ἀτιμίας 74
ἦν, ἕτερος δὲ ὧν τὰ μὲν σώματα ἄτιμα ἦν, τὴν
δ' οὐσίαν εἶχον καὶ ἐκέκτηντο· οὗτοι δ' αὖ ἦσαν
ὁπόσοι κλοπῆς ἢ δώρων ὄφλοιεν· τούτους ἔδει καὶ
αὐτοὺς καὶ τοὺς ἐκ τούτων ἀτίμους εἶναι· καὶ ὁπό-
σοι λίποιεν τὴν τάξιν ἢ ἀστρατείας ἢ δειλίας ἢ
ἀναυμαχίου ὄφλοιεν ἢ τὴν ἀσπίδα ἀποβάλοιεν, ἢ
τρὶς ψευδομαρτυριῶν ἢ τρὶς ψευδοκλητείας ὄφλοιεν,
ἢ τοὺς γονέας κακῶς ποιοῖεν· οὗτοι πάντες ἄτιμοι
ἦσαν τὰ σώματα, τὰ δὲ χρήματα εἶχον. ἄλλοι αὖ 75
κατὰ προστάξεις, οἵτινες οὐ παντάπασιν ἄτιμοι ἦσαν,
ἀλλὰ μέρος τι αὐτῶν, οἷον οἱ στρατιῶται, οἷς, ὅτι

εὐθύνας ὦφλον cum R. Sl. Turr.: εὐθ. ὤφειλον. — ἄρξαντας ABLZ. — num ἐξούλης? — ἐπιβολὰς Steph.: ἐπιβουλὰς. — ἠγγυήσαντο St. Bk.: ἐγγυήσαντο. — ἔκτεισις scripsi: ἔκτισις. — ἐνάτης BLZ et corr. A (Bk.): ἐννάτης.

74. ὧν μὲν τὰ libri (Turr.). — εἶχον ci. Bk. (Turr.): ἔσχον. — αὖ AB Bk.: ἂν. — vv. τούτους ἔδει — εἶναι] affert Suid. s. v. ἀναυμαχίου, qui habet οὕτω δὲ δεῖ, unde τούτους δ' ἔδει Turr. — ἀναυμαχίου Suid. l. c. Petit. Küster. Taylor. (Bk.): ναυμαχίου A, ἀναυμαχίας mg. Ald., ναυμαχίας v. — ψευδοκλητείας S. Turr.: ψευδοκλητίας. „addere potuit ἢ τρὶς παρανόμων et forsan addidit.“ Dobr.

75. αὐτῶν Li.: αὐτῶν (delevi ed. 1). —

ἐπέμειναν ἐπὶ τῶν τυράννων ἐν τῇ πόλει, τὰ μὲν ἄλλα ἦν ἅπερ τοῖς ἄλλοις πολίταις, εἰπεῖν δ' ἐν τῷ δήμῳ οὐκ ἐξῆν αὐτοῖς οὐδὲ βουλεῦσαι. τούτων ἦσαν οὗτοι ἄτιμοι· αὕτη γὰρ ἦν τούτοις πρόσταξις.
76 *ἑτέροις οὐκ ἦν γράψασθαι, τοῖς δὲ ἐνδεῖξαι· τοῖς δὲ μὴ ἀναπλεῦσαι εἰς Ἑλλήσποντον, ἄλλοις δ' εἰς Ἰωνίαν, τοῖς δ' εἰς τὴν ἀγορὰν μὴ εἰσιέναι πρόσταξις ἦν. ταῦτ' οὖν ἐψηφίσασθε ἐξαλεῖψαι πάντα τὰ ψηφίσματα, καὶ αὐτὰ καὶ εἴ πού τι ἀντίγραφον ἦν, καὶ πίστιν ἀλλήλοις περὶ ὁμονοίας δοῦναι ἐν ἀκροπόλει. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα τὸ Πατροκλείδου, καθ' ὃ ταῦτα ἐγένετο.*

77 *ΨΗΦΙΣΜΑ. Πατροκλείδης εἶπεν, Ἐπειδὴ ἐψηφίσαντο Ἀθηναῖοι τὴν ἄδειαν περὶ τῶν ὀφειλόντων, ὥστε λέγειν ἐξεῖναι καὶ ἐπιψηφίζειν, ψηφίσασθαι τὸν δῆμον ταὐτὰ ἅπερ ὅτε ἦν τὰ Μηδικά, καὶ συνήνεγκεν Ἀθηναίοις ἐπὶ τὸ ἄμεινον. περὶ δὲ τῶν ἐπιγεγραμμένων εἰς τοὺς πράκτορας ἢ τοὺς ταμίας τῆς θεοῦ καὶ τῶν ἄλλων θεῶν ἢ τὸν βασιλέα, ἢ εἴ τις μὴ ἐξεγράφη, μέχρι τῆς ἐξελ-*
78 *θούσης βουλῆς ἐφ' ἧς Καλλίας ἦρχεν, ὅσοι ἄτιμοι ἦσαν ἢ ὀφείλοντες, καὶ ὅσων εὔθυναί τινές εἰσι κατεγνωσμέ-*

ὑπέμειναν L pr. — *τυράννων*] immo cum Dobr. *τετρακοσίων*, sicut est § 78 al. — *πολίταις*] supra *λι* aliquid erasum est in A. — *δ' ἐν*] *δὲ* ABLZ.

76. Colon post *ἐνδεῖξαι*, comma post *Ἰωνίαν* ponendum esse vidit Li. (inversa ratione ipse quoque interpunxeram ed. I).

77. *ΨΗΦΙΣΜΑ* in mg. add. A[d]. — (*τῶν ἀτίμων καὶ*) *τῶν ὀφειλόντων* S. coll. Dem. Timocr. 46. — *ταὐτὰ* Turr.: *ταῦτα*. — post *ἄμεινον* lacunam esse statuit Li. — *ἐγγεγραμμένων* Emp. — *καὶ τῶν*] *ἢ τοὺς τῶν* Droysen. — *ἢ* ante *εἴ τις* del. Emp.; contra *ἐπεγράφη* pro *ἐξεγράφη* ci. S. (*ἐνεγράφη* Droysen); *μὴ* (*ὀρθῶς*) *ἐξεγρ.* ed. I. — Comma post *ἐξεγρ.* ego addidi.

78. *ἢ ὀφείλοντες* (vel *ἢ* tantum cum R.) deleri iubet

ναι ἐν τοῖς λογιστηρίοις ὑπὸ τῶν εὐθύνων ἢ τῶν παρέδρων, ἢ μήπω εἰσηγμέναι εἰς τὸ δικαστήριον γραφαί τινές εἰσι περὶ τῶν εὐθυνῶν, ἢ προστάξεις ἢ ἐγγύαι τινές εἰσι κατεγνωσμέναι εἰς τὸν αὐτὸν τοῦτον χρόνον· καὶ ὅσα ὀνόματα τῶν τετρακοσίων τινὸς ἐγγέγραπται, ἢ ἄλλο τι περὶ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πραχθέντων ἐστί που γεγραμμένον· πλὴν ὁπόσα ἐν στήλαις γέγραπται τῶν μὴ ἐνθάδε μεινάντων, ἢ ἐξ Ἀρείου πάγου ἢ τῶν ἐφετῶν ἢ ἐκ πρυτανείου ἢ Δελφινίου ἐδικάσθη ἢ ὑπὸ
τῶν βασιλέων, ἢ ἐπὶ φόνῳ | τίς ἐστι φυγή, ἢ θάνατος 11
κατεγνώσθη, ἢ σφαγεῦσιν ἢ τυράννοις· τὰ δὲ ἄλλα 79
πάντα ἐξαλεῖψαι τοὺς πράκτορας καὶ τὴν βουλὴν κατὰ τὰ εἰρημένα πανταχόθεν, ὅπου τι ἔστιν ἐν τῷ δημοσίῳ, καὶ εἰ ἀντίγραφόν που ἔστι, παρέχειν τοὺς θεσμοθέτας καὶ τὰς ἄλλας ἀρχάς. ποιεῖν δὲ ταῦτα τριῶν ἡμερῶν, ἐπειδὰν δόξῃ τῷ δήμῳ. ἃ δ' εἴρηται ἐξαλεῖψαι, μὴ κεκτῆσθαι ἰδίᾳ μηδενὶ ἐξεῖναι μηδὲ μνησικακῆσαι μη-

Droysen. — ὅσον AB. — λογιστηρίοις] cf. Harp.: λογ. δ' ἐστὶ τὰ τῶν λογιστῶν ἀρχεῖα, ὡς Δείναρχος — — καὶ Ἀνδ. ἐν τῷ π. τ. μυστ. δηλοῦσιν. — καὶ τῶν παρέδρων Boeckh. (προέδρων pr. A). — εὐθυνῶν AL Bk.: εὐθύνων. — προστάξεις sanum non puto: de publicanis sermo fuerit deque eorum προσκαταβλήμασι (cf. § 73). — τινὸς del. Dr. (c. R.); idem post μεινάντων lacunam esse statuit. — vv. ἢ ἐξ Ἀρείου πάγου — τυράννοις e Solonis lege (ἄξων ιγ΄, νόμος ή, v. Plut. Sol. XIX) sumpsit Patroclides. — ἢ ἐκ πρυτανείου ἢ Δελφινίου (Delph. om. Plut.) del. Platner, def. Scheibe (ἢ — ἢ entweder — oder). ἢ ante ἐκ del. S., ἢ Δελφ. del. Dr. — καταδικασθεῖσιν ὑ. τ. β. ἐπὶ φόνῳ Dr. ἢ ante ὑπὸ τῶν β. del. etiam Luz. Sl. Boeckh. Schi. (mal. Turr. quoque); def. Bgk. ep. ad Schi. p. 125 et alia ratione Scheibe. S. nunc: ἢ ὑπὸ τ. βασιλέων ἐπὶ φ. τίς ἐστι φυγή, ἢ θάνατος κατεγν. ἢ σφαγεῦσιν ἢ τυράννοις. — ἢ θάν. κατ. del. Scheibe Dr. — ἢ σφαγαῖσιν ἢ τυραννίδι Dr. (ἢ σφαγαῖσιν ἢ ἐπὶ τυραννίδι Plut.).

79. τὰ δὲ ABZ Bk. (ci. R.): τά τε. — κατὰ τὰ εἰρ. Sl. Bk.: καὶ τὰ εἰρ. v. (Turr.); βουλήν, καὶ τὰ εὑρημένα Scheibe. — ζητήσαντας post πανταχ. et αὐτὰ post δημοσίῳ addit Dr. — malim εἴ (τι) ἀντίγρ. — post ἐξεῖναι lac. esse statuit Dr., in hunc fere modum explendam: (τοὺς δὲ Ἀθηναίους

δέποτε· εἰ δὲ μή, ἔνοχον εἶναι τὸν παραβαίνοντα ταῦτα ἐν τοῖς αὐτοῖς ἐν οἷσπερ οἱ ἐξ Ἀρείου πάγου φεύγοντες, ὅπως ἂν ὡς πιστότατα ἔχῃ Ἀθηναίοις καὶ νῦν καὶ εἰς τὸν λοιπὸν χρόνον.

80 Κατὰ μὲν τὸ ψήφισμα τουτὶ τοὺς ἀτίμους ἐπι-
τίμους ἐποιήσατε· τοὺς δὲ φεύγοντας οὔτε Πατρο-
κλείδης εἶπε κατιέναι οὔθ' ὑμεῖς ἐψηφίσασθε. ἐπεὶ
δὲ σπονδαὶ πρὸς Λακεδαιμονίους ἐγένοντο, καὶ τὰ
τείχη καθείλετε, καὶ τοὺς φεύγοντας κατεδέξασθε,
καὶ κατέστησαν οἱ τριάκοντα, καὶ μετὰ ταῦτα Φυλή
τε κατελήφθη Μουνιχίαν τε κατέλαβον, ἐγένετο
(θ') ὑμῖν ὧν ἐγὼ οὐδὲν δέομαι μεμνῆσθαι οὐδ' ανα-
81 μιμνήσκειν ὑμᾶς τῶν γεγενημένων κακῶν — ἐπειδὴ
δ' ἐπανήλθετε ἐκ Πειραιέως, γενόμενον ἐφ' ὑμῖν
τιμωρεῖσθαι ἔγνωτε ἐᾶν τὰ γεγενημένα, καὶ περὶ
πλείονος ἐποιήσασθε σῴζειν τὴν πόλιν ἢ τὰς ἰδίας
τιμωρίας, καὶ ἔδοξε μὴ μνησικακεῖν ἀλλήλοις τῶν
γεγενημένων. δόξαντα δὲ ὑμῖν ταῦτα εἵλεσθε ἄν-
δρας εἴκοσι· τούτους δὲ ἐπιμελεῖσθαι τῆς πόλεως,
ἕως αὖ οἱ νόμοι τεθεῖεν· τέως δὲ χρῆσθαι τοῖς Σό-
82 λωνος νόμοις καὶ τοῖς Δράκοντος θεσμοῖς. ἐπειδὴ
δὲ βουλήν τε ἀπεκληρώσατε νομοθέτας τε εἵλεσθε,
εὕρισκον τῶν νόμων τῶν τε Σόλωνος καὶ τῶν

ὀμόσαι καθ' ἱερῶν τελείων ἐν πόλει ἦ μὴν ὁμονοήσειν) μηδὲ μνησικακήσειν μηδέποτε. — *ἔχῃ* scr.: *ἔχει* A, *ἔχοι* v.

80. *ἐπειδ.* A pr., *ἐπεὶ δ' αἱ* A corr. Bk. Malim *ἐπειδὴ δὲ*, cf. 81; 85. — *καὶ μετὰ ταῦτα . . κατέλαβον* del. Li. — *Μουνιχίαν* L: *Μουνυχίαν.* — *θ'* addi mal. R.

81. *δ'* (*δὲ*) post *ἐπειδὴ* add. ABL mg. Ald. Sl. Bk. (*ἐπεὶ δὲ* R.). — *Πειραιῶς* Sl. — *τιμωρεῖσθε* pr. A. — *ἕως αὖ* W.: *ἕως ἂν* (*ἂν* del. Dobr.).

82. *εὑρίσκοντες* ci. R. Bait. (Turr.); *εὕρισκον γὰρ* Bgk.; *εὕρισκόν τε* Luz. Sl. —

Δράκοντος πολλοὺς ὄντας οἷς πολλοὶ τῶν πολιτῶν ἔνοχοι ἦσαν τῶν πρότερον ἕνεκα γενομένων. ἐκκλησίαν ποιήσαντες ἐβουλεύσασθε περὶ αὐτῶν, καὶ ἐψηφίσασθε, δοκιμάσαντας πάντας τοὺς νόμους, εἶτ' ἀναγράψαι ἐν τῇ στοᾷ τούτους τῶν νόμων οἳ ἂν δοκιμασθῶσι. Καί μοι ἀνάγνωθι τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ. Ἔδοξε τῷ δήμῳ, Τεισαμενὸς εἶπε, πολιτεύεσθαι Ἀθηναίους κατὰ τὰ πάτρια, νόμοις δὲ χρῆσθαι τοῖς Σόλωνος, καὶ μέτροις καὶ σταθμοῖς, χρῆσθαι δὲ καὶ τοῖς Δράκοντος θεσμοῖς, οἷσπερ ἐχρώμεθα ἐν τῷ πρόσθεν χρόνῳ. ὁπόσων δ' ἂν προσδέῃ, οἵδε ᾑρημένοι νομοθέται ὑπὸ τῆς βουλῆς ἀναγράφοντες ἐν σανίσιν ἐκτιθέντων πρὸς τοὺς ἐπωνύμους σκοπεῖν τῷ βουλομένῳ, καὶ παραδιδόντων ταῖς ἀρχαῖς ἐν τῷδε τῷ μηνί. 83 *τοὺς δὲ παραδιδομένους νόμους δοκιμασάτω πρότερον ἡ βουλὴ καὶ οἱ νομοθέται οἱ πεντακόσιοι, οὓς οἱ δημόται εἵλοντο, ἐπειδὴ ὀμωμόκασιν. ἐξεῖναι δὲ καὶ ἰδιώτῃ τῷ βουλομένῳ, εἰσιόντι εἰς τὴν βουλὴν συμβουλεύειν ὅ τι ἂν ἀγαθὸν ἔχῃ περὶ τῶν νόμων. ἐπειδὰν δὲ τεθῶσιν οἱ νόμοι, ἐπιμελείσθω ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τῶν* 84

γενομένων auct. R. Turr.: *γινομένων* (*γεγενημένων* Bake). — *δοκιμάσαντας* Dobr. Turr. coll. § 89: *δοκιμάσαντες*. — *τοὺς ἀνόμους* AB (num fuit *τοὺς ἀρχαίους νόμους*?)

83. *ΨΗΦΙΣΜΑ* om. ALZ. — *τῇ βουλῇ καὶ* post *ἔδοξεν* addit Droysen. — *Τεισαμενὸς* scripsi: *Τισαμενὸς* (*Τισάμενος* ABLZ). — post *χρόνῳ* lac. esse statuit Li. — *προσδέῃ* Bk.: *προσδέοι*. — *οἵδε*] *οἱ Ν* (*πεντήκοντα*) vel *οἱ δέκα* Sl., *οἱ* vel *οἱ ΔΕ* (*δεκάκις πέντε*) R. Vel *οἱ δὲ* scribendum et lacunam ante hoc voc. esse statuendum est. — *ἀναγράφοντες* Bk.: *ἀναγράφοντας* AB; *ἀναγράφονται* LZ; *ἀναγραφέντας* Naber. *καὶ* ante *ἐκτ.* add. BLZ Ald., in qua *ἀναγραφόντων* est. — „aut *πρὸ τῶν ἐπωνύμων* aut *πρὸς τοῖς ἐπωνύμοις*" R. Ap. Dem. 20, 94; 24, 18. 23 est *πρόσθε τῶν ἐπωνύμων*.

84. *οἱ πεντακ. καὶ οἱ νομ.* Petitus R. Bakius. Sed cf. C. I. A. I, 266: [*ἡ*]*βουλὴ καὶ οἱ πεντακόσιο*[*ι* . . . .; U. Köhler Urk. u. Unters. p. 63 sqq. — *δημῶται* A. — *ἐπειδὰν ὀμωμόκωσιν* Dobr. — *συμβουλεύειν* AB Bk.: *βουλεύειν* —

νόμων, ὅπως ἂν αἱ ἀρχαὶ τοῖς κειμένοις νόμοις χρῶνται. τοὺς δὲ κυρουμένους τῶν νόμων ἀναγράφειν εἰς τὸν τοῖχον, ἵνα περ πρότερον ἀνεγράφησαν, σκοπεῖν τῷ βουλομένῳ.

85 Ἐδοκιμάσθησαν μὲν οὖν οἱ νόμοι, ὦ ἄνδρες, κατὰ τὸ ψήφισμα τουτί, τοὺς δὲ κυρωθέντας ἀνέγραψαν εἰς τὴν στοάν. ἐπειδὴ δ' ἀνεγράφησαν, ἐθέμεθα νόμον, ᾧ πάντες χρῆσθε. Καί μοι ἀνάγνωθι τὸν νόμον.

ΝΟΜΟΣ. Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός.

86 Ἆρά γε ἔστιν ἐνταυθοῖ ὅ τι περιελείπετο περὶ ὅτου οἷόν τε ἢ ἀρχὴν εἰσάγειν ἢ ὑμῶν πρᾶξαί τινι, ἀλλ' ἢ κατὰ τοὺς ἀναγεγραμμένους νόμους; ὅπου οὖν ἀγράφῳ νόμῳ οὐκ ἔξεστι χρήσασθαι, ἦ που ἀγράφῳ γε ψηφίσματι παντάπασιν οὐ δεῖ [γε] χρήσασθαι. ἐπειδὴ τοίνυν ἑωρῶμεν ὅτι πολλοῖς τῶν πολιτῶν εἶεν συμφοραί, τοῖς μὲν κατὰ νόμους, τοῖς δὲ κατὰ ψηφίσματα τὰ πρότερον γενόμενα, τουτουσὶ τοὺς νόμους ἐθέμεθα, αὐτῶν εἵνεκα τῶν νυνὶ ποιουμένων, ἵνα τούτων μηδὲν γίγνηται μηδὲ ἐξῇ

ἵνα περ (οἱ ἀρχαῖοι νόμοι) Dr.
85. ἐπειδὴ δ' S. Turr.: ἐπειδὴ codd.; ἐπεὶ δὲ v. — πάντ.ς pr A (πάντως ci. Sl.). — καί μοι . . χρῆσθαι om. Ald.
86. ἔστιν ἐνταυθοῖ ὅ τι scripsi cum Dobr. (qui ἐνταυθὶ) coll. § 89: ἔστι τοῦτο ὅτι. — περιελείπετο cum R. Bk.: περιελείπτο M, περιέλειπτο v., περιελέλειπτο Sl. — τινι] τινα Sl. Li. — ἀναγεγραμμένους AB m. Ald. Bk. (ci. R.): ἄνω γεγραμμένους. — ἀγράφῳ νόμῳ] ἂν ἀγρ. v. ABL, ἀναγράφῳ v. Z. — ἦπου Bk.: ἤπου ἂν. — δεῖ γε χρήσασθαι del. Hi. (παντ. οὐκ ἔστι χρ. ci. Linder.) — εἵνεκα AB Bk.: ἕνεκα. — γίγνηται ABLZ Bk.: γένηται.

συκοφαντεῖν μηδενί. Καί μοι ἀνάγνωθι τοὺς νόμους.

ΝΟΜΟΙ. Ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ 87
περὶ ἑνός. ψήφισμα δὲ μηδὲν (μήτε) βουλῆς | μήτε 12
δήμου νόμου κυριώτερον εἶναι. μηδὲ ἐπ' ἀνδρὶ νόμον ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις, ἐὰν μὴ ἑξακισχιλίοις δόξῃ κρύβδην ψηφιζομένοις.

Τί οὖν ἦν ἐπίλοιπον; οὑτοσὶ ὁ νόμος. Καί μοι ἀνάγνωθι τοῦτον.

ΝΟΜΟΣ. Τὰς δὲ δίκας καὶ τὰς διαίτας κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο. τοῖς δὲ νόμοις χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος.

Τὰς μὲν δίκας ὦ ἄνδρες καὶ τὰς διαίτας ἐποιή- 88
σατε κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο, ὅπως μήτε χρεῶν ἀποκοπαὶ εἶεν μήτε δίκαι ἀνάδικοι γίγνοιντο, ἀλλὰ τῶν ἰδίων συμβολαίων αἱ πράξεις εἶεν· τῶν δὲ δημοσίων (ἐφ') ὁπόσοις ἢ γραφαί εἰσιν ἢ φάσεις ἢ ἐνδείξεις ἢ ἀπαγωγαί, τούτων ἕνεκα τοῖς νόμοις ἐψηφίσασθε

87. *ΝΟΜΟΙ* ZM Turr. (ci. R.): *ΝΟΜΟΣ*, quod in mg. add. A[d]. — *μήτε* add. Turr. coll. § 89 et Dem. Arist. § 87. — *μηδὲ νόμον ἐπ' ἀνδρὶ* Dem. Arist. 86; c. Steph. β 12; *μηδὲ ν. ἐξ. ἐπ' ἀνδρὶ θεῖναι* c. Tim. 59. — *Ἀθηναίοις τιθῇ, ἐὰν μὴ ψηφισαμένων μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ κρ. ψηφ.* Dem. Tim. l. c. — *τί νῦν ἡμῖν ἔτι λοιπόν* ci. R. — *ΝΟΜΟΣ* om. ABLZ. — *τὰς μὲν δίκας* fort. legendum esse dicit S.; cf. § 88. — hanc legem paullo aliter exhibet Dem. Tim. 56.

88. *τὰς μὲν* AB Bk.: *τὰς δέ*. — *τῇ* ante *πόλει* om. A[d]. — (*βέβαιαι*) *αἱ πράξεις* W., *αἱ πρ.* (*κύριαι*) ed. I. — *δὲ* ante *δημοσ.* add. codd. Bk. (ci. R.). — *ἢ γραφαί* A Bk. (ci. R.): *αἱ γραφαί*.

89 χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. ὁπότ' οὖν ἔδοξεν ὑμῖν δοκιμάσαι μὲν τοὺς νόμους, δοκιμάσαντας δὲ ἀναγράψαι, ἀγράφῳ δὲ νόμῳ τὰς ἀρχὰς μὴ χρῆσθαι μηδὲ περὶ ἑνός, ψήφισμα δὲ (μηδὲν) μήτε βουλῆς μήτε δήμου (νόμου) κυριώτερον εἶναι, μηδ' ἐπ' ἀνδρὶ νόμον (ἐξεῖναι) τιθέναι ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις, τοῖς δὲ νόμοις τοῖς κειμένοις χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος, ἐνταυθοῖ ἔστιν ὅ τι ὑπολείπεται ἢ μεῖζον ἢ ἔλαττον τῶν γενομένων πρότερον ψηφισμάτων, πρὶν Εὐκλείδην ἄρξαι, ὅπως κύριον ἔσται; οὐκ οἶμαι ἔγωγε, ἄνδρες. σκοπεῖτε δὲ καὶ αὐτοί.

90 Φέρε δὴ τοίνυν, οἱ ὅρκοι ὑμῖν πῶς ἔχουσιν; ὁ μὲν κοινὸς τῇ πόλει ἁπάσῃ, ὃν ὀμωμόκατε πάντες μετὰ τὰς διαλλαγάς, „καὶ οὐ μνησικακήσω τῶν πολιτῶν οὐδενὶ πλὴν τῶν τριάκοντα καὶ τῶν ἕνδεκα· οὐδὲ τούτων ὃς ἂν ἐθέλῃ εὐθύνας διδόναι τῆς ἀρχῆς ἧς ἦρξεν.“ ὅπου τοίνυν αὐτοῖς τοῖς τριάκοντα ὤμνυτε μὴ μνησικακήσειν, τοῖς μεγίστων κακῶν αἰτίοις, εἰ διδοῖεν εὐθύνας, ἦ που σχολῇ τῶν γε ἄλλων πολιτῶν τινι ἠξιοῦτε μνησικακεῖν.

89. ὅπου Li. coll. § 58. 86. 90. 2, 1. 27. 3, 2. sed cf. 1, 7. — δοκιμάσαντας A St. Kl. Turr.: δοκιμάσαντες. — μηδὲν addidi e § 87. — νόμου cum R. add. Bk. e § 87. — ἐξεῖναι suadente S. (qui etiam θεῖναι mavult) addidi e § 87. — γενομένων Turr.: γινομένων A^d M, γιγνομένων v. — nonne ὦ ἄνδρες?

90. πλὴν] π.ὴν A pr. — καὶ τῶν δέκα post ἕνδεκα cum Vales. et Schneider. add. Turr. — ἐθέλῃ A Bk.: ἐθέλει Z, ἐθέλοι v. — ὅποι AB. — τοῖς ante τριάκοντα add. AB Bk. (ci. R.). — ὤμνυται A^d M. — μεγίστων R. Bk.: μεγίστοις. — τῶν γε Bk. cum ABLZ Ald.: γε τῶν Steph.

ἡ δὲ βουλὴ αὖ ἡ ἀεὶ βουλεύουσα τί ὄμνυσι; „καὶ 91
οὐ δέξομαι ἔνδειξιν οὐδὲ ἀπαγωγὴν ἕνεκα τῶν πρότερον γεγενημένων, πλὴν τῶν φυγόντων.“ ὑμεῖς δ' αὖ, ὦ Ἀθηναῖοι, τί ὀμόσαντες δικάζετε; „καὶ οὐ μνησικακήσω, οὐδὲ ἄλλῳ πείσομαι, ψηφιοῦμαι δὲ κατὰ τοὺς κειμένους νόμους.“ ἃ χρὴ σκοπεῖν, εἰ δοκῶ ὀρθῶς ὑμῖν λέγειν ὡς ὑπὲρ ὑμῶν λέγω καὶ τῶν νόμων.

Σκέψασθε τοίνυν ὦ ἄνδρες καὶ τοὺς νόμους 92
καὶ τοὺς κατηγόρους, τί αὐτοῖς ὑπάρχον ἑτέρων κατηγοροῦσι. Κηφίσιος μὲν οὑτοσὶ πριάμενος ὠνὴν ἐκ τοῦ δημοσίου, τὰς ἐκ ταύτης ἐπικαρπίας τῶν ἐν τῇ γῇ γεωργούντων ἐνενήκοντα μνᾶς ἐκλέξας, οὐ κατέβαλε τῇ πόλει καὶ ἔφυγεν· εἰ γὰρ ἦλθεν, ἐδέδετ' ἂν ἐν τῷ ξύλῳ. ὁ γὰρ νόμος οὕτως εἶχε, κυρίαν 93
εἶναι τὴν βουλήν, ὃς ἂν πριάμενος τέλος μὴ καταβάλῃ, δεῖν εἰς τὸ ξύλον. οὗτος τοίνυν, ὅτι τοῖς νόμοις ἐψηφίσασθε ἀπ' Εὐκλείδου ἄρχοντος χρῆσθαι, ἀξιοῖ ἃ ἔχει ὑμῶν ἐκλέξας μὴ ἀποδοῦναι, καὶ νῦν γεγένηται ἀντὶ μὲν φυγάδος πολίτης, ἀντὶ δὲ ἀτίμου

91. αὖ ἡ cum R. et Boeckh. Bk.: αὕτη. — πρότερον Steph.: προτέρων. — φυγόντων S. Turr.: φευγόντων. — τί] ὅτι ABLZ. — ἄλλῳ codd. Bk. (ci. Petitus): ἄλλο. cf. Dem. Tim. § 149, C. I. A. I, 27ª, v. 24. — ἡμῶν Ald.

92. καὶ τοὺς νόμους del. R. W.; κατὰ τ. ν. Luzac., quod post ὑπάρχον transponit Li. — ὑπαρχόντων v. ante Bk., qui ὑπάρχον τῶν; om. τῶν Emp. Turr. τίνων . . ὑπαρχόντων ci. R. Cb. — ἑτέρ.ν A. pr. — ἐν τῇ γῇ del. esse ci. R., τὴν γῆν ci. Dobr. — ἐνενήκοντα LZ Bk.: ἐννενήκοντα.

93. τὴν βουλήν c. Steph. Bk.: τήν τε βουλήν codd., τήν τε β. (καὶ . . . . .) Ros. cf. autem Dem. Tim. § 144. — καταλάβῃ pr. A. — ἐν τῷ ξύλῳ mal. Ros. — ἐψηφίσασθε ἀπ' c. R. Bk.: ἀπεψηφ. ἀπ'. — χρῆσθαι pr. A.

συκοφάντης, ὅτι τοῖς νόμοις τοῖς νῦν κειμένοις
94 χρῆσθε. Μέλητος δ' αὖ οὑτοσὶ ἀπήγαγεν ἐπὶ τῶν
τριάκοντα Λέοντα, ὡς ὑμεῖς ἅπαντες ἴστε, καὶ
ἀπέθανεν ἐκεῖνος ἄκριτος· καίτοι οὗτος ὁ νόμος
καὶ πρότερον ἦν (καὶ) ὡς καλῶς ἔχων καὶ νῦν ἔστι,
καὶ χρῆσθε αὐτῷ, τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ
ἐνέχεσθαι καὶ τὸν τῇ χειρὶ ἐργασάμενον. Μέλητον
τοίνυν τοῖς παισὶ τοῖς τοῦ Λέοντος οὐκ ἔστι φόνου
διώκειν, ὅτι τοῖς νόμοις δεῖ χρῆσθαι ἀπ' Εὐκλείδου
ἄρχοντος, ἐπεὶ ὥς γε οὐκ ἀπήγαγεν, οὐδ' αὐτὸς
95 ἀντιλέγει. Ἐπιχάρης δ' οὗτος, ὁ πάντων πονηρότα-
τος καὶ βουλόμενος εἶναι τοιοῦτος, ὁ μνησικακῶν
αὐτὸς αὑτῷ, — οὗτος γὰρ ἐβούλευεν ἐπὶ τῶν τριά-
κοντα· ὁ δὲ νόμος τί κελεύει, ὃς ἐν τῇ στήλῃ ἔμ-
προσθέν ἐστι τοῦ βουλευτηρίου; „ὃς ἂν ἄρξῃ ἐν
τῇ πόλει τῆς δημοκρατίας καταλυθείσης, νηποινεὶ
τεθνάναι, καὶ τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ τὰ
χρήματα ἔχειν τοῦ ἀποθανόντος.“ ἄλλο τι οὖν, ὦ
Ἐπίχαρες, ἢ νῦν ὁ ἀποκτείνας σε καθαρὸς τὰς
96 χεῖρας ἔσται, κατά | γε τὸν Σόλωνος νόμον; Καί
13 μοι ἀνάγνωθι τὸν νόμον τὸν ἐκ τῆς στήλης.

ΝΟΜΟΣ. Ἔδοξε τῇ βουλῇ καὶ τῷ δήμῳ. *Αἰαντὶς* ἐπρυ-

94. *καίτοι* Sl.: *καὶ*. — (*καὶ*)*ὡς* Bait. Turr.

95. malim Ἐ. *δ' οὑτοσί*. — *ὁ δὲ νόμος*] plebiscitum hoc adhibetur etiam a Lycurgo § 126 (*ἡ ἐν τῷ βουλευτηρίῳ στήλη* et § 127 *τὸ ψήφ. τὸ Δημοφάντου*); commemorat Demosthenes quoque (Lept. 159, *ἡ Δημοφάντου στήλη*). — *νηποινεὶ* restitui coll. Dem. Arist. 60 et tit. Amphipol. saec. IV (C. I. Gr. II 2008): *νηποινὶ*. — *ἄλλο τι* cum Cant. et R. Bk.: *ἀλλ' ὅτι*. — *Ἐπίχαρες* Valck. Sl.: *Ἐπιχάρης*. — *ἢ νῦν*] *εἰ νῦν* ABLZ.

96. *Αἰαντὶς* AB Bk. (ci. Steph. et Scal.): *ἐάν τις*. —

τάνευε, Κλεογένης ἐγραμμάτευε, Βοηθὸς ἐπεστάτει. τάδε Δημόφαντος συνέγραψεν. ἄρχει χρόνος τοῦδε τοῦ ψηφίσματος ἡ βουλὴ οἱ πεντακόσιοι (οἱ) λαχόντες τῷ κυάμῳ, ὅτε Κλεογένης πρῶτος ἐγραμμάτευεν. Ἐάν τις δημοκρατίαν καταλύῃ τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα ἄρχῃ καταλελυμένης τῆς δημοκρατίας, πολέμιος ἔστω Ἀθηναίων καὶ νηποινεὶ τεθνάτω, καὶ τὰ χρήματα αὐτοῦ δημόσια ἔστω, καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον· ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα καὶ ὁ συμβουλεύσας ὅσιος ἔστω καὶ εὐαγής. ὀμόσαι δ' Ἀθηναίους ἅπαντας καθ' ἱερῶν 97
τελείων, κατὰ φυλὰς καὶ κατὰ δήμους, ἀποκτείνειν τὸν ταῦτα ποιήσαντα. ὁ δὲ ὅρκος ἔστω ὅδε· „κτενῶ καὶ λόγῳ καὶ ἔργῳ καὶ ψήφῳ καὶ τῇ ἐμαυτοῦ χειρί, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δημοκρατίαν τὴν Ἀθήνησι, καὶ ἐάν τις ἄρξῃ τινὰ ἀρχὴν καταλελυμένης τῆς δημοκρατίας τὸ λοιπόν, καὶ ἐάν τις τυραννεῖν ἐπαναστῇ ἢ τὸν τύραννον συγκαταστήσῃ. καὶ ἐάν τις ἄλλος ἀποκτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς πολέμιον κτείναντα τὸν Ἀθηναίων, καὶ τὰ κτήματα τοῦ ἀποθανόντος πάντα ἀποδόμενος ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτείναντι, καὶ οὐκ ἀποστερήσω οὐδέν. ἐάν δέ τις κτείνων τινὰ τούτων ἀποθάνῃ ἢ 98
ἐπιχειρῶν, εὖ ποιήσω αὐτόν τε καὶ τοὺς παῖδας τοὺς

τάδε del. Dr. — οἱ post πεντακόσιοι add. Bk. — ὅτε] οἷς Droysen. — καταλύει et ἄρχει ABLZ. — καταλελυ . . μένης A pr. — ἔστω cum Steph. Bk.: ἔσται. — νηποινεὶ scripsi: νηποινί. v. ad. § 95.

97. malim cum Dr. ἀποκτενεῖν, cf. 4, 3. — καὶ λόγῳ καὶ ἔργῳ καὶ ψήφῳ καὶ add. S. Turr. coll. Lyc. § 127, delentes eadem verba (praeter unum καὶ) post ἀποκτείναντι. Similiter iam Luzac. — τινὰ (τιν') ἀρχὴν cum R. Turr.: τὴν ἀρχήν. — (ἐπὶ τῷ) τυραννεῖν Dobr. — συγκαταστήσει A. — ἀποκτείνει pr. A. κτείνῃ Dr. post h. v. Rud. Schöll haec fere excidisse putat: (αἰσθανόμενος, ἢ συμβουλεύσῃ ἀποκτεῖναι,) ὅσιον κτέ. Dr. aliquid eiusmodi ante ἐὰν δέ τις (98) excidisse statuerat. — τὸν Ἀθ. scripsi cum Z: τῶν Ἀθ. — κτείναντι Dr.

98. ἀποθάνοι ABLZ. —

ἐκείνου καθάπερ Ἁρμόδιόν τε καὶ Ἀριστογείτονα καὶ τοὺς ἀπογόνους αὐτῶν. ὁπόσοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν ἢ ἐν τῷ στρατοπέδῳ ἢ ἄλλοθί που ἐναντίοι τῷ δήμῳ τῷ Ἀθηναίων, λύω καὶ ἀφίημι.“ ταῦτα δὲ ὀμοσάντων Ἀθηναῖοι πάντες καθ' ἱερῶν τελείων, τὸν νόμιμον ὅρκον, πρὸ Διονυσίων· καὶ ἐπεύχεσθαι εὐορκοῦντι μὲν εἶναι πολλὰ καὶ ἀγαθά, ἐπιορκοῦντι δ' ἐξώλη αὐτὸν εἶναι καὶ γένος.

99 *Πότερον, ὦ συκοφάντα καὶ ἐπίτριπτον κίναδος,
κύριος ὁ νόμος ὅδ' ἐστὶν ἢ οὐ κύριος; διὰ τοῦτο
δ' οἶμαι γεγένηται ἄκυρος, ὅτι τοῖς νόμοις δεῖ
χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος. καὶ σὺ ζῇς καὶ
περιέρχῃ τὴν πόλιν ταύτην, οὐκ ἄξιος ὤν· ὃς ἐν
δημοκρατίᾳ μὲν συκοφαντῶν ἔζης, ἐν ὀλιγαρχίᾳ δέ,
ὡς μὴ ἀναγκασθείης τὰ χρήματα ἀποδοῦναι ὅσα*
100 *συκοφαντῶν ἔλαβες, ἐδούλευες τοῖς τριάκοντα. εἶτα
σὺ περὶ ἑταιρείας ἐμοὶ μνείαν ποιῇ καὶ κακῶς τινας
λέγεις; ὃς ἑνὶ μὲν οὐχ ἡταίρησας — καλῶς γὰρ ἄν
σοι εἶχε —, πρςαττόμενος δ' οὐ πολὺ ἀργύριον τὸν
βουλόμενον ἀνθρώπων, ὡς οὗτοι ἴσασιν, ἐπὶ τοῖς
αἰσχίστοις ἔργοις ἔζης, καὶ ταῦτα οὕτω μοχθηρὸς
ὢν τὴν ἰδέαν. ἀλλ' ὅμως οὗτος ἑτέρων ἐτόλμα
κατηγορεῖν, ᾧ κατὰ τοὺς νόμους τοὺς ὑμετέρους*

τῷ Ἀθ. Osann Spengel Dr.: *τῶν Ἀθ.* — *πρὸ (τῶν) Διον.* Dr.

99. *ἐπίτριπτον κίναδος* est ap. Soph. Ai. 103. — *οὐ κύριος; (οὐ κύριος·)* ci. R. — *(κατὰ) τὴν π.* Frankius ad. Aesch. 3, 213.

100. *ἑταιρείας*] cf. Harp.: *ἰδίως ἐπὶ τῆς ἑταιρήσεως τοὔνομα τέταχεν Ἀνδ. ἐν τῇ περὶ τ. μυστ. ἀπολογίᾳ.* Immo ad hunc sensum Andoc. verbum detorquet, vulgari usu ab Epich. usurpatum. — *ἑτέρων* cum R. et Valck. Bk.: *ἑταιρῶν.* — *ὑμετέρους* A Turr. (coll. § 105): *ἡμετέρους.*

οὐδ' αὐτῷ ὑπὲρ αὑτοῦ ἔστιν ἀπολογεῖσθαι. ἀλλὰ 101
γὰρ ὦ ἄνδρες καθήμενος ἡνίκα μου κατηγόρει,
βλέπων εἰς αὐτὸν οὐδὲν ἄλλο ἢ ὑπὸ τῶν τριάκοντα
συνειλημμένος ἔδοξα κρίνεσθαι. εἰ γὰρ τότε ἠγωνι-
ζόμην, τίς ἄν μου κατηγόρει; οὐχ οὗτος ὑπῆρχεν,
εἰ μὴ ἐδίδουν ἀργύριον; καὶ γὰρ νῦν. ἀνέκρινε
δ' ἄν με τίς ἄλλος ἢ Χαρικλῆς, ἐρωτῶν, Εἰπέ μοι,
ὦ Ἀνδοκίδη, ἦλθες εἰς Δεκέλειαν, καὶ ἐπετείχισας
τῇ πατρίδι τῇ σεαυτοῦ; Οὐκ ἔγωγε. Τί δέ; ἔτεμες
τὴν χώραν, καὶ ἐλῄσω ἢ κατὰ γῆν ἢ κατὰ θάλατταν
τοὺς πολίτας τοὺς σεαυτοῦ; Οὐ δῆτα. Οὐδ' ἐναυ-
μάχησας ἐναντία τῇ πόλει, οὐδὲ συγκατέσκαψας
τὰ τείχη, οὐδὲ συγκατέλυσας τὸν δῆμον, οὐδὲ βίᾳ
κατῆλθες εἰς τὴν πόλιν; Οὐδὲ τούτων πεποίηκα
οὐδέν. Δοκεῖς οὖν χαιρήσειν καὶ οὐκ ἀποθανεῖσθαι,
ὥς ἕτεροι πολλοί; Ἆρ' (ἂν) οἴεσθε ὦ ἄνδρες ἄλλων 102
τινῶν τυχεῖν με δι' ὑμᾶς, εἰ ἐλήφθην ὑπ' αὐτῶν;
οὐκ οὖν δεινόν, εἰ ὑπὸ μέν τούτων διὰ τοῦτ' ἂν
ἀπωλόμην, ὅτι εἰς τὴν πόλιν οὐδὲν ἥμαρτον, ὥσπερ
καὶ ἑτέρους ἀπέκτειναν, ἐν ὑμῖν δὲ κρινόμενος, οὓς
οὐδὲν κακὸν πεποίηκα, οὐ σωθήσομαι; πάντως δή-
που· ἢ σχολῇ γέ τις ἄλλος ἀνθρώπων. Ἀλλὰ γὰρ 103
ὦ ἄνδρες τὴν μὲν ἔνδειξιν ἐποιήσαντό | μου κατὰ 14

101. ὑπὸ ABLM mg. Ald. Bk. (ci. Valck. Sl.): ἀπὸ. — ἐπετείχισας cum Steph. Bk.: ἐπετείχισες. — τοὺς ἑαυτοῦ AB Kl. Turr. coll. § 114. — οὐδὲ τούτων m. Ald. Ros.: οὐδὲν τούτων. — interpungebatur πεποίηκα. Οὐδέν; — καὶ οὐκ Dobr.: ἢ οὐκ.

102. ἆρ' (ἂν) cum Dobr. Turr. — με cum A add. Bk. — δι' ὑμᾶς R. Turr.: δι' ἡμᾶς. — ὑμῖν] ἡμῖν A^{d}. — οἷς οὐδὲν κακὸν πεπ. Emp. h. e. „ideo quod“, coll. Lys. 12, 40 (ubi tamen istud οἷς in ὅτι mutatum a Tayl. Turr.).

νόμον κείμενον, τὴν δὲ κατηγορίαν κατὰ τὸ ψήφισμα τὸ πρότερον γεγενημένον περὶ ἑτέρων. εἰ οὖν ἐμοῦ καταψηφιεῖσθε, ὁρᾶτε μὴ οὐκ ἐμοὶ μάλιστα τῶν πολιτῶν προσήκει λόγον δοῦναι τῶν γεγενημένων, ἀλλὰ πολλοῖς ἑτέροις μᾶλλον, τοῦτο μὲν οἷς ὑμεῖς ἐναντία μαχεσάμενοι διηλλάγητε καὶ ὅρκους ὠμόσατε, τοῦτο δὲ οὓς φεύγοντας κατηγάγετε, τοῦτο δὲ οὓς ἀτίμους ὄντας ἐπιτίμους ἐποιήσατε· ὧν εἵνεκα καὶ στήλας ἀνείλετε καὶ νόμους ἀκύρους ἐποιήσατε καὶ ψηφίσματα ἐξηλείψατε· οἳ νυνὶ μένουσιν
104 ἐν τῇ πόλει πιστεύοντες ὑμῖν, ὦ ἄνδρες. εἰ οὖν γνώσονται ὑμᾶς ἀποδεχομένους τὰς κατηγορίας τῶν πρότερον γεγενημένων, τίνα αὐτοὺς οἴεσθε γνώμην ἕξειν περὶ σφῶν αὐτῶν; ἢ τίνα αὑτῶν ἐθελήσειν εἰς ἀγῶνας καθίστασθαι ἕνεκα τῶν πρότερον γεγενημένων; φανήσονται γὰρ πολλοὶ μὲν ἐχθροὶ πολλοὶ δὲ συκοφάνται, οἳ καταστήσουσιν αὐτῶν ἕκαστον εἰς ἀγῶνα. ἥκουσι δὲ νυνὶ ἀκροασόμενοι ἀμ-
105 φότεροι, οὐ τὴν αὐτὴν γνώμην ἔχοντες ἀλλήλοις, ἀλλ' οἱ μὲν εἰσόμενοι εἰ χρὴ πιστεύειν τοῖς νόμοις τοῖς κειμένοις καὶ τοῖς ὅρκοις οὓς ὠμόσατε ἀλλήλοις, οἱ δὲ ἀποπειρώμενοι τῆς ὑμετέρας γνώμης,

103. τὸ πρότερον codd. Bk.: καὶ πρότερον. — προσήκῃ Steph. — μαχεσαμένοις ci. R. — ἀτίμως AB. — εἵνεκα ABk: ἕνεκα. — καὶ ψηφίσματα pr. A Bk. (τὰ supra lin. add. pr. A[d]): καὶ τὰ ψηφ.

104. προτέρων γεγενημένων utrobique ABLZ. — vv. ἢ τίνα — γεγενημένων del. Emp. Sed hoc dicit orator: nolent iudicium subire, potius urbem relinquent (105).

105. ἀκροασάμενοι Z et pr. A. — οἰσόμενοι BZ et pr. L. — εἰ χρὴ AZ mg. Ald. St. Bk.: ἢ χρὴ BL, εἰ ἢ χρὴ v. — ὁμόσατε A[d]. —

εἰ αὐτοῖς ἐξέσται ἀδεῶς συκοφαντεῖν καὶ γράφεσθαι, τοὺς δὲ ἐνδεικνύναι, τοὺς δὲ ἀπάγειν. οὕτως οὖν ἔχει, ὦ ἄνδρες· ὁ μὲν ἀγὼν ἐν τῷ σώματι τῷ ἐμῷ καθέστηκεν, ἡ δὲ ψῆφος ἡ ὑμετέρα δημοσίᾳ κρινεῖ, πότερον χρὴ τοῖς νόμοις τοῖς ὑμετέροις πιστεύειν, ἢ τοὺς συκοφάντας παρασκευάζεσθαι, ἢ φεύγειν αὐτοὺς ἐκ τῆς πόλεως καὶ ἀπιέναι ὡς τάχιστα.

Ἵνα δὲ εἰδῆτε, ὦ ἄνδρες, ὅτι τὰ πεποιημένα ὑμῖν 106
εἰς ὁμόνοιαν οὐ κακῶς ἔχει, ἀλλὰ τὰ προσήκοντα καὶ τὰ συμφέροντα ὑμῖν αὐτοῖς ἐποιήσατε, βραχέα βούλομαι καὶ περὶ τούτων εἰπεῖν. οἱ γὰρ πατέρες οἱ ὑμέτεροι γενομένων τῇ πόλει κακῶν μεγάλων, ὅτε οἱ τύραννοι μὲν εἶχον τὴν πόλιν, ὁ δὲ δῆμος ἔφευγε, νικήσαντες μαχόμενοι τοὺς τυράννους ἐπὶ Παλληνίῳ, στρατηγοῦντος Λεωγόρου τοῦ προπάππου τοῦ ἐμοῦ καὶ Χαρίου οὗ ἐκεῖνος τὴν θυγατέρα εἶχεν, ἐξ ἧς ὁ ἡμέτερος ἦν πάππος, κατελθόντες εἰς τὴν πατρίδα τοὺς μὲν ἀπέκτειναν, τῶν δὲ φυγὴν κατέγνωσαν. ὕστερον δὲ ἡνίκα βασιλεὺς ἐπεστράτευσεν 107
ἐπὶ τὴν Ἑλλάδα, γνόντες τῶν συμφορῶν τῶν ἐπιουσῶν τὸ μέγεθος καὶ τὴν παρασκευὴν τὴν βασιλέως, ἔγνωσαν τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι καὶ κοινήν τήν τε σωτηρίαν καὶ τοὺς κινδύνους ποιήσασθαι. πράξαντες

αὐτοῖς AB Bk. (ci. R.): αὐτούς. — (τοὺς μὲν) γράφ. Steph. W. — ψῆφ . . . . κρίνει A pr. (puto omissum erat δημοσίᾳ). — κρινεῖ cum Steph. Turr.: κρίνει.

106. βραχεῖα A, βραχεία B. — ἔφευγε ci. S.: ἔφυγε; cf. 107. — Χαρίου] Καλλίου Sl. p. 5 (coll. Herod. 6, 121), quod prob. Emp. — τῶν δὲ] τοὺς δὲ L pr. et AB.

107. τὴν βασιλέως postulat Bk.: τοῦ βασ. cf. 3, 29. — φεύγοντας Turr.: φυγόντας. — πράξαντας A et pr. M. —

δὲ ταῦτα, καὶ δόντες ἀλλήλοις πίστεις καὶ ὅρκους μεγάλους, ἠξίουν σφᾶς αὐτοὺς προτάξαντες πρὸ τῶν Ἑλλήνων ἁπάντων ἀπαντῆσαι τοῖς βαρβάροις Μαραθῶνάδε, νομίσαντες τὴν σφετέραν αὐτῶν ἀρετὴν ἱκανὴν εἶναι τῷ πλήθει τῷ ἐκείνων ἀντιτάξασθαι· μαχεσάμενοί τε ἐνίκων, καὶ τήν τε Ἑλλάδα
108 ἠλευθέρωσαν καὶ τὴν πατρίδα ἔσωσαν. ἔργον δὲ τοιοῦτον ἐργασάμενοι, οὐκ ἠξίωσάν τινι τῶν πρότερον γενομένων μνησικακῆσαι. τοιγάρτοι διὰ ταῦτα, τὴν πόλιν ἀνάστατον παραλαβόντες ἱερά τε κατακεκαυμένα τείχη τε καὶ οἰκίας καταπεπτωκυίας, ἀφορμήν τε οὐδεμίαν ἔχοντες, διὰ τὸ ἀλλήλοις ὁμονοεῖν τὴν ἀρχὴν τῶν Ἑλλήνων κατειργάσαντο καὶ τὴν
109 πόλιν ὑμῖν τοιαύτην καὶ τοσαύτην παρέδοσαν. ὑμεῖς οὖν καὶ αὐτοὶ ὕστερον, κακῶν οὐκ ἐλαττόνων ἢ ἐκείνοις γεγενημένων, ἀγαθοὶ ἐξ ἀγαθῶν ὄντες ἀπέδοτε τὴν ὑπάρχουσαν ἀρετήν· ἠξιώσατε γὰρ τούς τε φεύγοντας καταδέξασθαι καὶ τοὺς ἀτίμους ἐπιτίμους ποιῆσαι. τί οὖν ὑμῖν ὑπόλοιπόν ἐστι τῆς ἐκείνων ἀρετῆς; μὴ μνησικακῆσαι, εἰδότας ὦ ἄνδρες ὅτι ἡ πόλις ἐκ πολὺ ἐλάττονος ἀφορμῆς ἐν τῷ ἔμπροσθεν χρόνῳ μεγάλη καὶ εὐδαίμων ἐγένετο· ἃ νῦν αὐτῇ ὑπάρχει, εἰ ἐθέλοιμεν οἱ πολῖται σωφρονεῖν τε καὶ ὁμονοεῖν ἀλλήλοις.

διδόντες ABL. — προτάξαντες B et corr. A. (Bk., et ci. Sl.): προστάξαντες LZ et pr. A, προτάξαντας Ald. — νομίσαντες τὴν σφετέραν κτέ.] cf. Thuc. 3, 56.

108. διὰ ταῦτα] μετὰ ταῦτα Bakius.

109. οὐκ post κακῶν om. pr. A. — ἐπίλοιπον Dobr. coll. § 87; sed cf. 3, 24; 1, 52. — ἃ νῦν] ἣ νῦν S. Emp. Malim autem ἃ (καὶ) νῦν.

Κατηγόρησαν | *δέ μου καὶ περὶ τῆς ἱκετηρίας,* 110
ὡς καταθείην ἐγὼ ἐν τῷ Ἐλευσινίῳ, νόμος δ' εἴη
πάτριος, ὃς ἂν θῇ ἱκετηρίαν μυστηρίοις, τεθνάναι.
καὶ οὕτως εἰσὶ τολμηροί, ὥσθ' ἃ αὐτοὶ κατεσκεύα-
σαν, οὐκ ἀρκεῖ αὐτοῖς ὅτι οὐ κατέσχον ἃ ἐπεβού-
λευσαν, ἀλλὰ καὶ κατηγορίαν ἐμοῦ ποιοῦνται ὡς
ἀδικοῦντος. ἐπειδὴ γὰρ ἤλθομεν Ἐλευσινόθεν καὶ 111
ἡ ἔνδειξις ἐγεγένητο, προσῄει ὁ βασιλεὺς περὶ τῶν
γεγενημένων Ἐλευσῖνι κατὰ τὴν τελετήν, ὥσπερ
ἔθος ἐστίν, οἱ δὲ πρυτάνεις προσάξειν ἔφασαν αὐ-
τὸν πρὸς τὴν βουλήν, ἐπαγγεῖλαί τ' ἐκέλευον ἐμοί
τε καὶ Κηφισίῳ παρεῖναι εἰς τὸ Ἐλευσίνιον· ἡ γὰρ
βουλὴ ἐκεῖ καθεδεῖσθαι ἔμελλε κατὰ τὸν Σόλωνος
νόμον, ὃς κελεύει τῇ ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν
ποιεῖν ἐν τῷ Ἐλευσινίῳ. καὶ παρῆμεν κατὰ τὰ 112
προειρημένα. καὶ ἡ βουλὴ ἐπειδὴ ἦν πλήρης, ἀνα-
στὰς Καλλίας ὁ Ἱππονίκου τὴν σκευὴν ἔχων λέγει
ὅτι ἱκετηρία κεῖται ἐπὶ τοῦ βωμοῦ, καὶ ἔδειξεν
αὐτοῖς. κᾆθ' ὁ κῆρυξ ἐκήρυττε τίς τὴν ἱκετηρίαν
καταθείη, καὶ οὐδεὶς ὑπήκουεν. ἡμεῖς δὲ παρέστα-
μεν, καὶ οὗτος ἡμᾶς ἑώρα. ἐπειδὴ δὲ οὐδεὶς ὑπή-
κουεν καὶ ᾤχετο εἰσιὼν (ὁ) *ἐπεξελθὼν Εὐκλῆς*

110. *δ' εἴη* Bk. Dobr.: *δὲ ἦν.*

111. *Ἐλευσῖνι* AB Bk.: *ἐν Ἐλευσῖνι.* — *τελευτην* BLZ. — *τοῖς πρυτάνεσιν* ante *οἱ δὲ πρυτ.* add. Kö. — *προσάξειν* Steph. AB: *προστάξειν* LZ Ald. — *ἐπαγγεῖλαι* Bk.: *ἀπαγγεῖλαι.* — *Κηφησίῳ* A[d].

112. *προηρημένα* AB. — *κᾆθ'* (ita Bk.: *καθὰ* codd.; *κᾆθα* Turr.) *ὁ κῆρυξ ἐκήρυττε* add. AB. — *παρέσταμεν* Bk.: *παρέστημεν* codd. (sed A[d] corr.), quod revocarunt Turr. — *καὶ* ante *ᾤχετο* om pr. A (ed. I). —

οὑτοσί — καί μοι κάλει αὐτόν. Πρῶτα μὲν οὖν ταῦτα εἰ ἀληθῆ λέγω, μαρτύρησον, Εὔκλεις.

ΜΑΡΤΥΡΙΑ.

113 *Ὡς μὲν ἀληθῆ λέγω, μεμαρτύρηται· πολὺ δέ*
μοι δοκεῖ τὸ ἐναντίον εἶναι ἢ οἱ κατήγοροι εἶπον.
ἔλεξαν γάρ, εἰ μέμνησθε, ὅτι αὐτώ με τὼ θεω
παραγάγοιεν ὥστε θεῖναι τὴν ἱκετηρίαν μὴ εἰδότα
τὸν νόμον, ἵνα δῶ δίκην. ἐγὼ δέ, ὦ ἄνδρες, εἰ
ὡς μάλιστα ἀληθῆ λέγουσιν οἱ κατήγοροι, ὑπ' αὐ-
114 *τοῖν με φημὶ τοῖν θεοῖν σεσῶσθαι. εἰ γὰρ ἔθηκα*
μὲν τὴν ἱκετηρίαν, ὑπήκουσα δὲ μή, ἄλλο τι ἢ
αὐτὸς μὲν αὑτὸν ἀπώλλυον τιθεὶς τὴν ἱκετηρίαν,
ἐσῳζόμην δὲ τῇ τύχῃ διὰ τὸ μὴ ὑπακοῦσαι, δῆλον
ὅτι διὰ τὼ θεώ; εἰ γὰρ ἐβουλέσθην με ἀπολλύναι
τὼ θεώ, ἐχρῆν δήπου καὶ μὴ θέντα με τὴν ἱκε-
τηρίαν ὁμολογῆσαι. ἀλλ' οὔτε ὑπήκουσα οὔτ' ἔθηκα.
115 *ἐπειδὴ δ' ἔλεγε τῇ βουλῇ Εὐκλῆς ὅτι οὐδεὶς ὑπα-*
κούοι, πάλιν ὁ Καλλίας στὰς ἔλεγεν ὅτι εἴη νόμος

Euclem ipsum *τὸν κήρυκα* esse statuit Kirchhoff. Herm. I, 15 sqq., inscriptionibus (maxime C. I. A II, 73) probans revera illo tempore Euclem quendam praeconis munere apud senatum populumque functum esse. Delet igitur interpunct. quae erat post *καὶ ᾤχετο εἰςιών*. Articulum ipse addidi. — *πρῶτον μὲν οὖν ταῦτα* est § 46; cf. 3, 10. — *ΜΑΡΤΥΡΙΑ* om. ABLZ.

113. *ἔλεγξαν* AB. — *με τὼ* ABLZ m. Ald. Bk. (ci. Valck. R.): *μὲν τώ*. — *παραγάγοιεν* Dobr. Turr.: *περιαγάγοιεν*. — *με* post *αὐτοῖν* dedi ex ci. R.: *μὲν*. V. supra.

114. *ἐβουλέσθην* Bk. et A[d] (qui vv. *εἰ γάρ-τὼ θεώ* in mg. add.): *ἐβουλίσθην* B, *ἐβουλήθην* LZ, *ἐβουληθήτην* v. — *ἀπολλύναι* A Bk.: *ἀπολεῖν καί*.

115. *ὑπακούοι* AB Bk.: *ὑπακούει*. — *στὰς*] *ἀναστὰς* mal. Bait. Hi. W. coll. § 112. —

πάτριος, εἴ τις ἱκετηρίαν θείη ἐν τῷ Ἐλευσινίῳ, ἄκριτον ἀποθανεῖν, καὶ ὁ πατήρ ποτ' αὐτοῦ Ἱππόνικος ἐξηγήσαιτο ταῦτα Ἀθηναίοις, ἀκούσειε δὲ ὅτι ἐγὼ θείην τὴν ἱκετηρίαν. ἐντεῦθεν ἀναπηδᾷ Κέφαλος οὑτοσὶ καὶ λέγει· „Ὦ Καλλία, πάντων ἀν- 116
θρώπων ἀνοσιώτατε, πρῶτον μὲν ἐξηγῇ Κηρύκων ὤν, οὐχ ὅσιον (ὄν) σοι ἐξηγεῖσθαι· ἔπειτα δὲ νόμον πάτριον λέγεις, ἡ δὲ στήλη παρ' ᾗ ἕστηκας χιλίας δραχμὰς κελεύει ὀφείλειν, ἐάν τις ἱκετηρίαν θῇ ἐν τῷ Ἐλευσινίῳ. ἔπειτα δὲ τίνος ἤκουσας ὅτι Ἀνδοκίδης θείη τὴν ἱκετηρίαν; κάλεσον αὐτὸν τῇ βουλῇ, ἵνα καὶ ἡμεῖς ἀκούσωμεν.“ ἐπειδὴ δὲ ἀνεγνώσθη ἡ στήλη κἀκεῖνος οὐκ εἶχεν εἰπεῖν ὅτου ἤκουσε, καταφανὴς ἦν τῇ βουλῇ αὐτὸς θεὶς τὴν ἱκετηρίαν.

Φέρε δὴ τοίνυν, ὦ ἄνδρες — τάχα γὰρ ἂν αὐτὸ 117
βούλοισθε πυθέσθαι —, ὁ δὲ Καλλίας τί βουλόμενος ἐτίθει τὴν ἱκετηρίαν; ἐγὼ δὲ ὑμῖν διηγήσομαι ὧν ὑπ' αὐτοῦ εἵνεκα ἐπεβουλεύθην. Ἐπίλυκος ἦν ὁ Τεισάνδρου θεῖός μοι, ἀδελφὸς τῆς μητρὸς τῆς ἐμῆς· ἀπέθανε δὲ ἐν Σικελίᾳ ἄπαις ἀρρένων παίδων, θυγατέρας δὲ δύο καταλιπών, αἳ ἐγίγνοντο εἴς τε ἐμὲ καὶ Λέαγρον. τὰ δὲ πράγματα τὰ οἴκοι 118

ἐξηγήσαιτο Dobr. Turr.: ἐξηγήσατο. — ἐντεῦθεν] ἐνταῦθ' postulat Bk.; def. vulg. Turr.

116. κηρύκων ὢν cum R. Turr.: κηρύκων ὤν; porro ὄν cum Frohb. addidi. — ἔπειτα δὲ νόμον AB Bk. (ci. Steph.): ἔπειτα δὴ νόμον. — Ἀνδοκίδης (ci. Steph.) codd. Bk.: Ἀνδοκίδας. — θεὶς (ci. R.) codd. Bk.: τιθείς. — in fine § excidisse καί μοι κάλει τούτων τοὺς μάρτυρας (vel simile quid). *ΜΑΡΤΥΡΕΣ* ci. Fuhr.

117. βούλοισθε Dobr. G. Hermann. Schi. Turr.: βούλεσθε. — ἐτίθει ABLZ Turr.: ἐτίθη. — Τεισάνδρου scripsi: Τισάνδρου.

πονήρως εἶχε· τὴν μὲν γὰρ φανερὰν οὐσίαν οὐδὲ δυοῖν ταλάντοιν κατέλιπε, τὰ δὲ ὀφειλόμενα πλέον ἦν ἢ πέντε τάλαντα. ὅμως δ' ἐγὼ καλέσας Λέαγρον ἐναντίον τῶν φίλων ἔλεγον ὅτι ταῦτ' εἴη ἀνδρῶν ἀγαθῶν, ἐν τοῖς τοιούτοις δεικνύναι τὰς οἰκειό-
119 *τητας ἀλλήλοις. „ἡμᾶς γὰρ οὐ δίκαιόν ἐστιν οὔτε χρήματα ἕτερα οὔτ' εὐτυχίαν ἀνδρὸς ἑλέσθαι, ὥστε καταφρονῆσαι τῶν Ἐπιλύκου θυγατέρων. καὶ γὰρ εἰ ἔζη Ἐπίλυκος ἢ τεθνεὼς πολλὰ κατέλιπε χρήματα, ἠξιοῦμεν ἂν γένει ὄντες ἐγγυτάτω ἔχειν τὰς παῖδας. τοιγάρτοι ἐκεῖνα μὲν δι' Ἐπίλυκον ἂν ἦν ἢ διὰ τὰ*
16 *χρήματα· νῦν δὲ διὰ τὴν ἡμετέραν ἀρετὴν | τάδε ἔσται. τῆς μὲν οὖν σὺ ἐπιδικάζου, τῆς δὲ ἐγώ.“*
120 *ὡμολόγησέ μοι, ὦ ἄνδρες. ἐπεδικασάμεθα ἄμφω κατὰ τὴν πρὸς ἡμᾶς ὁμολογίαν. καὶ ἧς μὲν ἐγὼ ἐπεδικασάμην, ἡ παῖς τύχῃ χρησαμένῃ καμοῦσα ἀπέθανεν· ἡ δ' ἑτέρα ἔστιν ἔτι. ταύτην Καλλίας ἔπειθε Λέαγρον, χρήματα ὑπισχνούμενος, ἐὰν αὐτὸν λαβεῖν· αἰσθόμενος δ' ἐγὼ εὐθὺς ἔθηκα παράστασιν, καὶ ἔλαχον προτέρῳ μὲν Λεάγρῳ, ὅτι „εἰ μὲν σὺ βούλει ἐπιδικάζεσθαι, ἔχε τύχῃ ἀγαθῇ, εἰ δὲ μή,*
121 *ἐγὼ ἐπιδικάσομαι.“ γνοὺς ταῦτα Καλλίας λαγχάνει τῷ υἱεῖ τῷ ἑαυτοῦ τῆς ἐπικλήρου, τῇ δεκάτῃ ἱσταμένου, ἵνα μὴ ἐπιδικάσωμαι ἐγώ. ταῖς δ' εἰκάσι, μυστηρίοις τούτοις, δοὺς Κηφισίῳ χιλίας δραχμὰς ἐνδείκνυσί με καὶ εἰς τὸν ἀγῶνα τοῦτον καθίστησιν. ἐπειδὴ δ' ἑώρα με ὑπομένοντα, τίθησι τὴν ἱκετη-*

119. *ἠξιοῦμεν* A corr., BLZ, Bk. (ci. R.): *ἀξιοῦμεν*.
120. *ταύτην* A Steph.: *ταύτῃ* BLZ. *ταύτῃ* Ald.

ρίαν, ὡς ἐμὲ μὲν ἀποκτενῶν ἄκριτον ἢ ἐξελῶν, αὐτὸς δὲ πείσας Λέαγρον χρήμασι συνοικήσων τῇ
Ἐπιλύκου θυγατρί. ἐπειδὴ δ' οὐδ' ὣς ἄνευ ἀγῶ- 122
νος ἑώρα ἐσόμενα τὰ πράγματα, τότε δὴ προσιὼν Λυσίστρατον, Ἡγήμονα, Ἐπιχάρη, ὁρῶν φίλους ὄντας ἐμοὶ καὶ χρωμένους, εἰς τοῦτο βδελυρίας ἦλθε καὶ παρανομίας, ὥστ' ἔλεγε πρὸς τούτους ὡς εἰ ἔτι καὶ νῦν βουλοίμην ἀποστῆναι τῆς Ἐπιλύκου θυγατρός, ἕτοιμος εἴη παύσασθαί με κακῶς ποιῶν, ἀπαλλάξαι δὲ Κηφίσιον, δίκην δ' ἐν τοῖς φίλοις
δοῦναί μοι τῶν πεποιημένων. εἶπον αὐτῷ καὶ 123
κατηγορεῖν καὶ παρασκευάζειν ἄλλους· εἰ δ' ἐγὼ αὐτὸν ἀποφεύξομαι καὶ γνώσονται Ἀθηναῖοι περὶ ἐμοῦ τὰ δίκαια, ἐγὼ αὐτὸν οἴομαι περὶ τοῦ σώματος τοῦ ἑαυτοῦ ἐν τῷ μέρει κινδυνεύσειν. ἅπερ αὐτὸν οὐ ψεύσομαι, ἐὰν ὑμῖν ὦ ἄνδρες δοκῇ. Ὡς δ' ἀληθῆ λέγω, κάλει μοι τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

Ἀλλὰ γὰρ τὸν υἱὸν αὐτοῦ τοῦτον, ᾧ λαχεῖν 124
ἠξίωσε τῆς Ἐπιλύκου θυγατρός, σκέψασθε πῶς

121. ἐξελῶν cum Valck. Bk.: ἐξελὼν. — πείσας cum Scal. Valck. R. Bk. Bait. (πείσων — καὶ συνοικ. praef. S.): πείσων.

122. οὐδ' ὣς Bk.: οὕτως (οὐδ' οὕτως ci. R.). — ἄνευ ἀγῶνος ἑώρα AB Bk.: ἑώρα ἄνευ ἀγῶνος. — Ἡγήμονα cum Valck. Turr.: Ἡγεμόνα. — Ἐπιχάρη Schi. (ci. R.): Ἐπιχάρην Valck. Bk. cum A; ἐπεχάρην B (et fort. A[d]), ἐπεχάρη v. — καὶ ante χρωμένους om. Ald. (φίλους ὄντας delebat Coraes). — μοι om. A pr., μου habet Ald.

123. ἀποφεύξομαι cum Valck. et R. Bk.: ἀποφεύξαιμι ABLZ, ἀποφέγξαιμι m. Ald. ἀποφθέγξομαι vulg. — καὶ ante ἐγὼ αὐτὸν add. Ald.

124. ᾧ AL Bk.: ὃν.

γέγονεν, καὶ πῶς ἐποιήσατ' αὐτόν· ταῦτα γὰρ καὶ
ἄξιον ἀκοῦσαι, ὦ ἄνδρες. γαμεῖ μὲν Ἰσχομάχου
θυγατέρα· ταύτῃ δὲ συνοικήσας οὐδ' ἐνιαυτὸν τὴν
μητέρα αὐτῆς ἔλαβε, καὶ συνῴκει ὁ πάντων σχε-
τλιώτατος ἀνθρώπων τῇ μητρὶ καὶ τῇ θυγατρί,
ἱερεὺς ὢν τῆς μητρὸς καὶ τῆς θυγατρός, καὶ εἶχεν
125 ἐν τῇ οἰκίᾳ ἀμφοτέρας. καὶ οὗτος μὲν οὐκ ᾐσχύνθη
οὐδ' ἔδεισε τὼ θεώ· ἡ δὲ τοῦ Ἰσχομάχου θυγάτηρ
τεθνάναι νομίσασα λυσιτελεῖν ἢ ζῆν ὁρῶσα τὰ γιγνό-
μενα, ἀπαγχομένη μεταξὺ κατεκωλύθη, καὶ ἐπειδὴ
ἀνεβίω, ἀποδρᾶσα ἐκ τῆς οἰκίας ᾤχετο, καὶ ἐξήλασεν
ἡ μήτηρ τὴν θυγατέρα. ταύτης δ' αὖ διαπεπλησμέ-
νος ἐξέβαλε καὶ ταύτην. ἡ δ' ἔφη κυεῖν ἐξ αὐτοῦ·
καὶ ἐπειδὴ ἔτεκεν υἱόν, ἔξαρνος ἦν μὴ εἶναι ἐξ
126 αὐτοῦ τὸ παιδίον. λαβόντες δὲ οἱ προσήκοντες τῇ
γυναικὶ τὸ παιδίον ἧκον ἐπὶ τὸν βωμὸν Ἀπατου-
ρίοις, ἔχοντες ἱερεῖον, καὶ ἐκέλευον κατάρξασθαι
τὸν Καλλίαν. ὁ δ' ἠρώτα τίνος εἴη τὸ παιδίον·
ἔλεγον „Καλλίου τοῦ Ἱππονίκου.“ „ἐγώ εἰμι οὗτος.“
„καὶ ἔστι γε σὸν τὸ παιδίον.“ λαβόμενος τοῦ βω-
μοῦ ὤμοσεν ἦ μὴν μὴ εἶναί (οἱ) υἱὸν ἄλλον μηδὲ
γενέσθαι πώποτε, εἰ μὴ Ἱππόνικον ἐκ τῆς Γλαυ-
κωνος θυγατρός· ἢ ἐξώλη εἶναι καὶ αὐτὸν καὶ τὴν
127 οἰκίαν, ὥσπερ ἔσται. μετὰ ταῦτα τοίνυν, ὦ ἄνδρες,
ὑστέρῳ πάλιν χρόνῳ τῆς γραὸς τολμηροτάτης γυ-

125. τοῦ ante Ἰσχ. add. AB Bk. — κατεκωλύθη cum Sl. scripsi: κατεκλίθη (κατελήφθη Dobr.; κατελύθη Bait. Turr.). — ἀποδρᾶσα Bk.: ἀποδράσασα. — κυεῖν cum Kl. Turr.: κύειν. — μὴ codd. m. Ald. Bk. (ci. Valck. R.): μὲν.

126. ἱερεῖον] εῖο a corr. habet A. — οἱ post εἶναι cum R. add. Bk. (habet etiam mg. Ald.).

ναικὸς ἀνηράσθη, καὶ κομίζεται αὐτὴν εἰς τὴν οἰκίαν, καὶ τὸν παῖδα ἤδη μέγαν ὄντα εἰσάγει εἰς Κήρυκας, φάσκων εἶναι υἱὸν αὐτοῦ. ἀντεῖπε μὲν Καλλίδης μὴ εἰσδέξασθαι, ἐψηφίσαντο δὲ οἱ Κήρυκες κατὰ τὸν νόμον ὅς ἐστιν αὐτοῖς, τὸν πατέρα ὀμόσαντα εἰσάγειν ἦ μὴν υἱὸν ὄντα ἑαυτοῦ εἰσάγειν. λαβόμενος τοῦ βωμοῦ ὤμοσεν ἦ μὴν τὸν παῖδα ἑαυτοῦ εἶναι γνήσιον, ἐκ Χρυσιάδος γεγονότα· ὃν ἀπώμοσε. Καί μοι τούτων ἁπάντων τοὺς μάρτυρας κάλει.

ΜΑΡΤΥΡΕΣ.

Φέρε δὴ τοίνυν, ὦ ἄνδρες, σκεψώμεθα εἰ πώ- 128
ποτε ἐν τοῖς Ἕλλησι πρᾶγμα τοιοῦτον ἐγένετο, ὅπου
γυναῖκά τις γήμας ἐπέγημε τῇ θυγατρὶ τὴν μητέρα
καὶ ἐξήλασεν ἡ μήτηρ τὴν θυγατέρα· ταύτῃ δὲ συν-
οικῶν βούλεται τὴν Ἐπιλύκου | θυγατέρα λαβεῖν, 17
ἵν' ἐξελάσῃ τὴν τήθην ἡ θυγατριδῆ. ἀλλὰ γὰρ τῷ
παιδὶ αὐτοῦ τί χρὴ τοὔνομα θέσθαι; οἶμαι γὰρ 129
ἔγωγε οὐδένα οὕτως ἀγαθὸν εἶναι λογίζεσθαι, ὅστις ἐξευρήσει τοὔνομα αὐτοῦ. τριῶν γὰρ οὐσῶν γυναικῶν αἷς συνῳκηκὼς ἔσται ὁ πατὴρ αὐτοῦ, τῆς μὲν υἱός ἐστιν, ὥς φησι, τῆς δὲ ἀδελφός, τῆς δὲ θεῖος.

127. *υἱὸν αὐτοῦ* Bait. Turr.: *υἱὸν αὐτοῦ.* — *μὲν* post *ἀντεῖπε* om. pr. A. — *Καλλιάδης* ci. Valck. et R. — *ὅς ἐστιν αὐτοῖς* Bk.: *ὅ ἐστιν αὐτός* ABLZ; *ὅς ἐστιν αὐτὸν* v. — *ὄντα* A Bk.: *οὕτως* (*ὄντως* Scal.). — *ἑαυτοῦ . . ἄγειν* A pr. — *βωμοῦ*] *βωμ* a corr. habet A. — *χρυσιάδης* ALZ, *Χρυσίδος* ci. R. — *ΜΑΡΤΥΡΕΣ* om. ABLZ.

128. *εἰ πώποτε* A Bk.: *εἰπόποτε* B, *εἴ ποτε* v. — vv. *καὶ ἐξήλασε* — *θυγ.* in mg. add. A. — *παιδὶ* Dobr. (coll. 126 sq.): *παιδίῳ.*

129. *οὗτος* om. pr. A.

τίς ἂν εἴη οὗτος; Οἰδίπους, ἢ Αἴγισθος; ἢ τί χρὴ αὐτὸν ὀνομάσαι;

130 *Ἀλλὰ γάρ, ὦ ἄνδρες, βραχύ τι ὑμᾶς ἀναμνῆσαι περὶ Καλλίου βούλομαι. εἰ γὰρ μέμνησθε, ὅτε ἡ πόλις ἦρχε τῶν Ἑλλήνων καὶ εὐδαιμόνει μάλιστα, Ἱππόνικος δὲ ἦν πλουσιώτατος τῶν Ἑλλήνων, τότε μέντοι πάντες ἴστε ὅτι παρὰ τοῖς παιδαρίοις τοῖς μικροτάτοις καὶ τοῖς γυναίοις κληδὼν ἐν ἁπάσῃ τῇ πόλει κατεῖχεν, ὅτι Ἱππόνικος ἐν τῇ οἰκίᾳ ἀλιτήριον τρέφει, ὃς αὐτοῦ τὴν τράπεζαν ἀνατρέπει. μέμνησθε*
131 *ταῦτα, ὦ ἄνδρες. πῶς οὖν ἡ φήμη ἡ τότε οὖσα δοκεῖ ὑμῖν ἀποβῆναι; οἰόμενος γὰρ Ἱππόνικος υἱὸν τρέφειν ἀλιτήριον αὑτῷ ἔτρεφεν, ὃς ἀνατέτροφεν ἐκείνου τὸν πλοῦτον, τὴν σωφροσύνην, τὸν ἄλλον βίον ἅπαντα. οὕτως οὖν χρὴ περὶ τούτου γιγνώσκειν, ὡς ὄντος Ἱππονίκου ἀλιτηρίου.*

132 *Ἀλλὰ γάρ, ὦ ἄνδρες, διὰ τί ποτε τοῖς ἐμοὶ νυνὶ ἐπιτιθεμένοις μετὰ Καλλίου καὶ συμπαρασκευάσασι τὸν ἀγῶνα καὶ χρήματα εἰσενεγκοῦσιν ἐπ' ἐμοὶ τρία μὲν ἔτη ἐπιδημῶν καὶ ἥκων ἐκ Κύπρου οὐκ ἀσεβεῖν ἐδόκουν αὐτοῖς, μυῶν μὲν Ἀ . . . Δελφόν, ἔτι δὲ ἄλλους ξένους ἐμαυτοῦ, καὶ εἰσιὼν εἰς τὸ Ἐλευσίνιον καὶ θύων, ὥσπερ ἐμαυτὸν ἄξιον νομίζω εἶναι· ἀλλὰ τοὐναντίον ληττουργεῖν οὗτοι προὐβάλλοντο, πρῶτον μὲν γυμνασίαρχον Ἡφαιστείοις, ἔπειτα ἀρχιθεωρὸν*

130. *εὖ γὰρ μέμνησθε* Cob. — *ἁπάσῃ*] *πάσῃ* Z, *ἅπασι* AL. — *κατεῖχεν* scripsi: *κατέσχεν*. — *ἀλειτήριον* verum puto. sic etiam § 131.

131. *υἱὸν τρέφειν* AB Bk.: *υἱὸν αὑτῷ τρέφειν*.

132. *Ἀ . . . Δελφόν* Bk.: *ἀδελφόν* (* *τὸν Δ.* Sl., * *τὸν ἐκ Δελφῶν* Luz.) — *ληττουργεῖν* scripsi: *λειτουργεῖν*. — *Ἡφαιστίοις*

εἰς Ἰσθμὸν καὶ Ὀλυμπίαζε, εἶτα δὲ ταμίαν ἐν πόλει τῶν ἱερῶν χρημάτων· νῦν δὲ ἀσεβῶ καὶ ἀδικῶ εἰσιὼν εἰς τὰ ἱερά; ἐγὼ ὑμῖν ἐρῶ διότι οὗτοι ταῦτα νῦν 133
γιγνώσκουσιν. Ἀγύρριος γὰρ οὑτοσί, ὁ καλὸς κἀγαθός, ἀρχώνης ἐγένετο τῆς πεντηκοστῆς τρίτον ἔτος, καὶ ἐπρίατο τριάκοντα ταλάντων, μετέσχον δ' αὐτῷ οὗτοι πάντες οἱ παρασυλλεγέντες ὑπὸ τὴν λεύκην, οὓς ὑμεῖς ἴστε οἷοί εἰσιν· οἳ διὰ τοῦτο ἔμοιγε δοκοῦσι συλλεγῆναι ἐκεῖσε, ἵν' αὐτοῖς ἀμφότερα ᾖ, καὶ μὴ ὑπερβάλλωσι λαβεῖν ἀργύριον καὶ ὀλίγου πραθείσης μετασχεῖν. κερδάναντες δὲ τρία τάλαντα, 134
γνόντες τὸ πρᾶγμα οἷον εἴη, ὡς πολλοῦ ἄξιον, συνέστησαν πάντες, καὶ μεταδόντες τοῖς ἄλλοις ἐωνοῦντο πάλιν τριάκοντα ταλάντων. ἐπεὶ δ' οὐκ ἀντωνεῖτο οὐδείς, παρελθὼν ἐγὼ εἰς τὴν βουλὴν ὑπερέβαλλον, ἕως ἐπριάμην ἓξ καὶ τριάκοντα ταλάντων. ἀπελάσας δὲ τούτους καὶ καταστήσας ὑμῖν ἐγγυητὰς ἐξέλεξα τὰ χρήματα καὶ κατέβαλον τῇ πόλει καὶ αὐτὸς οὐκ

ABLZ (Turr.). — ἀρχιθεωρὸν ABLZ Bk.: ἀρχιθέωρον. — εἶτ. δὲ A pr.

133. Ἀγύρριος Bk. (ci. R.): α.γύρριος A; ἀγύριος B, ἀργύριος v. — ἀρχώνης cum Valck. et R. Bk.: ἄρχων εἷς. — αὐτῷ cum R. Bk.: αὐτοὶ. — λεύκην οὓς cum Valck. R. mg. Ald. Bk.: λεύκην τὸ πόσους. — ὑπερβάλλωσι ABL Ald. Turr.: ὑπερβάλωσι PZ, ὑπερβάλλουσι Steph. Bk. — ὀλίγου ABLZ Bk. (ci. R.): ὀλίγον. — π.ραθείσης A.

134. τρία] δύο Ald.; ἓξ ci. R. (ΠΙ ἕξ, ΙΙΙ τρεῖς). — γνόντες AB Bk. (ci. Valck.): γνῶναι. — τοῖς ἄλλοις] ἀλλήλοις Bakius. an πάλιν pro πάντες scribendum est? — vv. δ' οὐκ ἀντωνεῖτο . . ὑπερέβαλον (ita codd. omnes) a corr. habet A; idem ἕως vocabuli primam litteram scripsit. Totidem fere litt. a pr. m. fuerant. — δὲ τούτους codd. m. Ald. Bk. (ci. R.): καὶ τούτους. —

ἐζημιώθην, ἀλλὰ καὶ βραχέα ἀπεκερδαίνομεν οἱ
μετασχόντες· τούτους δ' ἐποίησα τῶν ὑμετέρων μὴ
135 διανείμασθαι ἓξ τάλαντα ἀργυρίου. ἃ οὗτοι γνόντες
ἔδοσαν σφίσιν αὐτοῖς λόγον, ὅτι „ἄνθρωπος οὑτοσὶ
οὔτε αὐτὸς λήψεται τῶν κοινῶν χρημάτων οὔθ' ἡμᾶς
ἐάσει, φυλάξει δὲ καὶ ἐμποδὼν ἔσται διανείμασθαι
τὰ κοινά· πρὸς δὲ τούτοις, ὃν ἂν ἡμῶν ἀδικοῦντα
λάβῃ, εἰσάξει εἰς τὸ πλῆθος τὸ Ἀθηναίων καὶ
ἀπολεῖ. δεῖ οὖν τοῦτον ἐκποδὼν ἡμῖν εἶναι καὶ
136 δικαίως καὶ ἀδίκως.“ ταῦτα μὲν οὖν, ὦ ἄνδρες
δικασταί, τούτοις ποιητέα ἦν, ὑμῖν δέ γε (τὸ) ἐναν-
τίον τούτων· ὡς γὰρ πλείστους εἶναι ὑμῖν ἤθελον
ἂν τοιούσδε οἷόσπερ ἐγώ, τούτους δὲ μάλιστα (μὲν)
ἀπολωλέναι, εἰ δὲ μή, εἶναι τοὺς μὴ ἐπιτρέψοντας
αὐτοῖς, οἷς καὶ προσήκει ἀνδράσιν εἶναι καὶ ἀγαθοῖς
καὶ δικαίοις περὶ τὸ πλῆθος τὸ ὑμέτερον, καὶ βου-
λόμενοι δυνήσονται εὖ ποιεῖν ὑμᾶς. ἐγὼ οὖν ὑμῖν
ὑπισχνοῦμαι ἢ παύσειν τούτους ταῦτα ποιοῦντας
καὶ βελτίους παρέξειν, ἢ εἰς ὑμᾶς εἰσαγαγὼν κολά-
σειν τοὺς ἀδικοῦντας αὐτῶν.
137 Κατηγόρησαν δέ μου καὶ περὶ τῶν ναυκληριῶν
18 καὶ περὶ τῆς ἐμπορίας, ὡς | ἄρα οἱ θεοὶ διὰ τοῦτό
με ἐκ τῶν κινδύνων σώσαιεν, ἵνα ἐλθὼν δεῦρο, ὡς

ἀλλὰ βραχεῖα A pr. — ἀπεκερδάναμεν?
135. ἅνθρωπος scripsi: ἄνθρωπος. — καὶ ante ἐμποδών fort. om. pr. A. — τὸ Ἀθ. Fuhr.: τῶν Ἀθ. (quae del. Usener). — ἡμῖν Bk. (ci. R.): ὑμῖν.
136. γε τὸ ἐναντίον Valck. Sl. (τὸ ἐναντίον Bk.): γε ἐναντίον (γε ἐναντία PZ). — ὡς γὰρ scripsi: τοὺς γάρ. — ὑμῖν cum R. Turr.: ἡμῖν. — τοιο . . . . δε A pr. — μὲν post μάλιστα auct. R. add. Bk.
137. κατηγόρησαν δέ κτέ.] cf. [Lys.] 5, 19. —

ἔοικεν, ὑπὸ Κηφισίου ἀπολοίμην. ἐγὼ δὲ ὦ Ἀθηναῖοι οὐκ ἀξιῶ τοὺς θεοὺς τοιαύτην γνώμην ἔχειν, ὥστ' εἰ ἐνόμιζον ὑπ' ἐμοῦ ἀδικεῖσθαι, λαμβάνοντάς με ἐν τοῖς μεγίστοις κινδύνοις μὴ τιμωρεῖσθαι· τίς γὰρ κίνδυνος μείζων ἀνθρώποις ἢ χειμῶνος ὥρᾳ πλεῖν τὴν θάλατταν; ἐν οἷς ἔχοντες μὲν τὸ σῶμα τοὐμόν, κρατοῦντες δὲ τοῦ βίου καὶ τῆς οὐσίας τῆς ἐμῆς, εἶτα ἔσῳζον; οὐκ ἐξῆν αὐτοῖς ποιῆ- 138
σαι μηδὲ ταφῆς τὸ σῶμα ἀξιωθῆναι; ἔτι δὲ πολέμου γενομένου καὶ τριήρων ἀεὶ κατὰ θάλατταν οὐσῶν καὶ λῃστῶν, ὑφ' ὧν πολλοὶ ληφθέντες, ἀπολέσαντες τὰ ὄντα, δουλεύοντες τὸν βίον διετέλεσαν, οὔσης δὲ χώρας βαρβάρου, εἰς ἣν πολλοὶ ἤδη ἐκπεσόντες αἰκίαις ταῖς μεγίσταις περιέπεσον καὶ τὰ σφέτερα αὐτῶν σώματα αἰκισθέντες ἀπέθανον, — εἶτα οἱ μὲν θεοὶ ἐκ τοσούτων κινδύνων ἔσῳ- 139
ζόν με, σφῶν δὲ αὐτῶν προὐστήσαντο τιμωρὸν γενέσθαι Κηφίσιον τὸν πονηρότατον Ἀθηναίων, ὧν οὗτός φησι πολίτης εἶναι οὐκ ὤν, ᾧ οὐδ' ὑμῶν τῶν καθημένων οὐδεὶς ἂν ἐπιτρέψειεν οὐδὲν τῶν ἰδίων, εἰδὼς τοῦτον οἷός ἐστιν; ἐγὼ μὲν οὖν, ὦ ἄνδρες, ἡγοῦμαι χρῆναι νομίζειν τοὺς τοιούτους κινδύνους ἀνθρωπίνους, τοὺς δὲ κατὰ θάλατταν θείους. εἴπερ οὖν δεῖ τὰ τῶν θεῶν ὑπονοεῖν, πάνυ

λαμβάνοντας μὲν W. — ὥρᾳ Bk.: ὥρα AB; ὥραν v.
138. οὐκ ἐξῆν] οὐ πεξὴν ALZ, unde οὕπερ ἐξῆν Dobr., οὕπερ ἦν Turr. (ὅτ' ἐξῆν mg. Ald. Ros.). — ἀτυχίαις ταῖς μεγίσταις Sl., συμφοραῖς τ. μ. Dobr., κακοῖς τοῖς μεγίστοις ed. I. — αἰκισθέντες cum Steph. Bk. (A[d]): αἰκισθέντα v.
139. ἐκ τοσούτων Bk. cum ABLZ: ἐκ τῶν τοσούτων. — πάνυ ci. R.: πολὺ (πολὺ μᾶλλον ci. id.). —

ἂν αὐτοὺς οἶμαι ἐγὼ ὀργίζεσθαι καὶ ἀγανακτεῖν, εἰ τοὺς ὑφ' ἑαυτῶν σῳζομένους ὑπ' ἀνθρώπων ἀπολλυμένους ὁρῷεν.

140 Καὶ μὲν δὴ καὶ τάδε ὑμῖν ἄξιον ὦ ἄνδρες ἐνθυμηθῆναι, ὅτι νυνὶ πᾶσι τοῖς Ἕλλησιν ἄνδρες ἄριστοι καὶ εὐβουλότατοι δοκεῖτε γεγενῆσθαι οὐκ ἐπὶ τιμωρίαν τραπόμενοι τῶν γεγενημένων, ἀλλ' ἐπὶ σωτηρίαν τῆς πόλεως καὶ ὁμόνοιαν τῶν πολιτῶν. συμφοραὶ μὲν γὰρ ἤδη καὶ ἄλλοις πολλοῖς ἐγένοντο οὐκ ἐλάττους ἢ καὶ ἡμῖν· τὸ δὲ τὰς γενομένας διαφορὰς πρὸς ἀλλήλους θέσθαι καλῶς, τοῦτ' εἰκότως ἤδη δοκεῖ ἀνδρῶν ἀγαθῶν καὶ σωφρόνων ἔργον εἶναι. ἐπειδὴ τοίνυν παρὰ πάντων ὁμολογουμένως ταῦθ' ὑμῖν ὑπάρχει, καὶ εἴ τις φίλος ὢν τυγχάνει καὶ εἴ τις ἐχθρός, μὴ μεταγνῶτε, μηδὲ βούλεσθε τὴν πόλιν ἀποστερῆσαι ταύτης τῆς δόξης, μηδὲ αὐτοὶ δοκεῖν τύχῃ ταῦτα μᾶλλον ἢ γνώμῃ ψηφίσασθαι.

141 Δέομαι οὖν ἁπάντων (ὑμῶν) περὶ ἐμοῦ τὴν αὐτὴν γνώμην ἔχειν, ἥνπερ καὶ περὶ τῶν ἐμῶν προγόνων, ἵνα κἀμοὶ ἐγγένηται ἐκείνους μιμήσασθαι, ἀναμνησθέντας αὐτῶν ὅτι ὅμοιοι τοῖς πλείστων καὶ μεγίστων ἀγαθῶν αἰτίοις τῇ πόλει γεγένηνται, πολλῶν ἕνεκα σφᾶς αὐτοὺς παρέχοντες τοιούτους, μάλιστα δὲ τῆς εἰς ὑμᾶς εὐνοίας. (εἶτα)

ἀνθρώπων Hertl.: ἄλλων.
140. ταῦθ'] τά θ' ABLZ. — βούλεσθε cum R. Bk.: βουλεύεσθε.
141. post ἁπάντων addidi ὑμῶν cum R. — ἀναμνησθέντας ABLZ Bk. (ci. Steph.): ἀναμνησθέντες. — ἕνεκα scripsi: ἕνεκεν. — τῆς εἰς ὑμᾶς] τῆς εἰς ὑ et ᾶ a corr. habet A

*καὶ ὅπως, εἴ ποτέ τις αὐτοῖς ἢ τῶν ἐξ ἐκείνων τινὶ
κίνδυνος γένοιτο ἢ συμφορά, σῴζοιντο συγγνώμης
παρ' ὑμῶν τυγχάνοντες. εἰκότως δ' ἂν αὐτῶν με-* 142
*μνῆσθε· καὶ γὰρ τῇ πόλει ἁπάσῃ αἱ τῶν ὑμετέρων
προγόνων ἀρεταὶ πλείστου ἄξιαι ἐγένοντο. ἐπειδὴ
γὰρ ὦ ἄνδρες αἱ νῆες διεφθάρησαν, πολλῶν βου-
λομένων τὴν πόλιν ἀνηκέστοις συμφοραῖς περιβα-
λεῖν, Λακεδαιμόνιοι ἔγνωσαν ὅμως τότε ἐχθροὶ
ὄντες σῴζειν τὴν πόλιν διὰ τὰς ἐκείνων τῶν ἀν-
δρῶν ἀρετάς, οἳ ὑπῆρξαν τῆς ἐλευθερίας ἁπάσῃ
τῇ Ἑλλάδι. ἐπειδὴ τοίνυν καὶ ἡ πόλις ἐσώθη δη-* 143
*μοσίᾳ διὰ τὰς τῶν προγόνων τῶν ὑμετέρων ἀρε-
τάς, ἀξιῶ κἀμοὶ διὰ τὰς τῶν προγόνων τῶν ἐμῶν
ἀρετὰς σωτηρίαν γενέσθαι. καὶ γὰρ αὐτῶν τῶν
ἔργων, δι' ἅπερ ἡ πόλις ἐσώθη, οὐκ ἐλάχιστον
μέρος οἱ ἐμοὶ πρόγονοι συνεβάλοντο· ὧν ἕνεκα
καὶ ἐμοὶ δίκαιον ὑμᾶς μεταδοῦναι τῆς σωτηρίας,
ἧσπερ καὶ αὐτοὶ παρὰ τῶν Ἑλλήνων ἐτύχετε.*

Σκέψασθε τοίνυν καὶ τάδε, ἄν με σώσητε, οἷον 144
*ἕξετε πολίτην· ὃς πρῶτον μὲν ἐκ πολλοῦ πλούτου,
ὅσον ὑμεῖς ἴστε, οὐ δι' ἐμαυτὸν ἀλλὰ διὰ τὰς τῆς
πόλεως συμφορὰς εἰς πενίαν πολλὴν καὶ ἀπορίαν
κατέστην, ἔπειτα δὲ καινὸν βίον εἰργασάμην ἐκ τοῦ*

(*ἧς* super *τ* additum est). — (*εἶτα*) *καὶ* scripsi: ante *καὶ* lacunam IV litt. capacem habet A[d]. — *γένοιτο* Dobr.: *γένηται* (*γενήσεται* Madvig).

142. *μεμνῆσθε* Bk. Dobr.: *μεμνῆσθαι* ABLZ; *μεμνῆσθε* v. ante Bk. — *ὑμετέρων* ci. R.: *ἡμετέρων*. it. § 143. — *βουλ. τὴν πόλιν*] *βουλομένων τῇ πόλει* pr. A. — *ὑπῆρξαν αἴτιοι* Z.

143. *ὑμετέρων* ci. R.: *ἡμετέρων*. — *κἀμοὶ*] *καί μοι* ABLZ.

144. *μὲν* post *πρῶτον* om. pr. A. — *καινὸν* Emp. (s.

δικαίου, τῇ γνώμῃ καὶ ταῖν χεροῖν ταῖν ἐμαυτοῦ·
ἔτι δὲ εἰδότα μὲν οἷόν ἐστι πόλεως τοιαύτης πολί-
την εἶναι, εἰδότα δὲ οἷόν ἐστι ξένον εἶναι καὶ μέ-
145 τοικον ἐν τῇ τῶν πλησίον, | ἐπιστάμενον δὲ οἷον
19 τὸ σωφρονεῖν καὶ ὀρθῶς βουλεύεσθαι, ἐπιστάμενον
δ' οἷον τὸ ἁμαρτόντα πρᾶξαι κακῶς, πολλοῖς συγγε-
νόμενος καὶ πλείστων πειραθείς, ἀφ' ὧν ἐμοὶ ξενίαι
καὶ φιλότητες πρὸς πολλοὺς καὶ βασιλέας καὶ πόλεις
καὶ ἄλλους ἰδίᾳ ξένους γεγένηνται, ὧν ἐμὲ σώσαν-
τες μεθέξετε, καὶ ἔσται ὑμῖν χρῆσθαι τούτοις, ὅπου
146 ἂν ἐν καιρῷ τι ὑμῖν γίγνηται. Ἔχει δὲ καὶ ὑμῖν
ὦ ἄνδρες οὕτως· ἐάν με νυνὶ διαφθείρητε, οὐκ
ἔστιν ὑμῖν ἔτι λοιπὸς τοῦ γένους τοῦ ἡμετέρου
οὐδείς, ἀλλ' οἴχεται πᾶν πρόρριζον. καίτοι οὐκ
ὄνειδος ὑμῖν ἐστιν ἡ Ἀνδοκίδου καὶ Λεωγόρου
οἰκία οὖσα, ἀλλὰ πολὺ μᾶλλον τότ' ἦν ὄνειδος, ὅτ'
ἐμοῦ φεύγοντος Κλεοφῶν αὐτὴν ὁ λυροποιὸς ᾤκει.
οὐ γάρ ἔστιν ὅστις πώποτε ὑμῶν παριὼν τὴν οἰκίαν
τὴν ἡμετέραν ἀνεμνήσθη ἢ ἰδίᾳ τι ἢ δημοσίᾳ κακὸν
147 παθὼν ὑπ' ἐκείνων, οἳ πλείστας μὲν στρατηγήσαν-
τες στρατηγίας πολλὰ τρόπαια τῶν πολεμίων καὶ
κατὰ γῆν καὶ κατὰ θάλατταν ὑμῖν ἀπέδειξαν, πλεί-
στας δὲ ἄλλας ἀρχὰς ἄρξαντες καὶ χρήματα διαχει-

πάλιν): καὶ ABL v., καὶ τὸν Z. — ἔτι δὲ AB Bk. (ci. R.): ἔτι.

145. συγγενόμενος AB Bk.: συγγενόμενον (unde πειραθέντα ci. Steph.). — γεγένηται Bk. (codd.?), quod def. Turr. — ἔσται ci. Steph.: ἔστιν. — γίνηται AB Bk.: γένηται (τι (del. Cb.).

146. ὑμετέρου pr. A. — οἴχεται πᾶν πρόρριζον] cf. Soph. El. 755. — ὄνειδος ἡμῖν A[d]. — ἦν ὄνειδος ABLZ Bk. (ci. R.): αὖ ὄνειδος. — οἰκί . . . . μετέραν A pr.

ρίσαντες τὰ ὑμέτερα οὐδένα πώποτε ὦφλον, οὐδ' ἡμάρτηται οὐδὲν οὔτε ἡμῖν εἰς ὑμᾶς οὔτε ὑμῖν εἰς ἡμᾶς, οἰκία δὲ πασῶν ἀρχαιοτάτη καὶ κοινοτάτη ἀεὶ τῷ δεομένῳ. οὐδ' ἔστιν ὅπου ἐκείνων τις τῶν ἀνδρῶν καταστὰς εἰς ἀγῶνα ἀπήτησεν ὑμᾶς χάριν
τούτων τῶν ἔργων. μὴ τοίνυν, εἰ αὐτοὶ τεθνᾶσι, 148
καὶ περὶ τῶν πεπραγμένων αὐτοῖς ἐπιλάθησθε, ἀλλ' ἀναμνησθέντες τῶν ἔργων νομίσατε τὰ σώματα αὐτῶν ὁρᾶν αἰτουμένων ἐμὲ παρ' ὑμῶν σῶσαι. τίνα γὰρ καὶ ἀναβιβάσομαι δεησόμενον ὑπὲρ ἐμαυτοῦ; τὸν πατέρα; ἀλλὰ τέθνηκεν. ἀλλὰ τοὺς ἀδελφούς; ἀλλ' οὐκ εἰσίν. ἀλλὰ τοὺς παῖδας; ἀλλ'
οὔπω γεγένηνται. ὑμεῖς τοίνυν καὶ ἀντὶ πατρὸς 149
ἐμοὶ καὶ ἀντὶ ἀδελφῶν καὶ ἀντὶ παίδων γένεσθε· εἰς ὑμᾶς καταφεύγω καὶ ἀντιβολῶ καὶ ἱκετεύω· ὑμεῖς με παρ' ὑμῶν αὐτῶν αἰτησάμενοι σώσατε, καὶ μὴ βούλεσθε Θετταλοὺς καὶ Ἀνδρίους πολίτας ποιεῖσθαι δι' ἀπορίαν ἀνδρῶν, τοὺς δὲ ὄντας πολίτας ὁμολογουμένως, οἷς προσήκει ἀνδράσιν ἀγαθοῖς εἶναι καὶ βουλόμενοι δυνήσονται, τούτους δὲ ἀπόλλυτε. μὴ δῆτα. ἔπειτα καὶ ταῦθ' ὑμῶν δέομαι, εὖ ποιῶν ὑμᾶς ὑφ' ὑμῶν τιμᾶσθαι. ὥστ' ἐμοὶ μὲν πειθόμενοι οὐκ ἀποστερεῖσθε εἴ τι ἐγὼ δυνήσομαι

147. *οὐδὲν ἂν πώποτε* libri (Schi.); del. *ἂν* Sl. Bk. — *ἥμαρτ . .* A pr. — *τῷ δεομένῳ* AB Bk.: *τῶν δεομένων*.

148. *περὶ* ante *πεπραγμ.* mal. abesse Turr. — *σῶσαι* del. Fuhr. coll. § 149. — praestat *ἀναβιβάσωμαι*. — *ἀναβιβάσομ . . . όμενον* A pr. — *ἀλλὰ* ante *τοὺς ἀδ.* add. AB Bk.

149. *ὑμῶν*] *ὑμῖν* AB. — *Θετταλοὺς* (*μὲν*) ci. Cb. — *ἀνδρείους* pr. A[d]. — *οἷς καὶ προσήκει* § 136. — *ἀπολλύναι* ci. R. Cb. — *ὥστ'*] *ὡς* Dobr. — *ἀποστερεῖσθαι* ABL.

ὑμᾶς εὖ ποιεῖν· ἐὰν δὲ τοῖς ἐχθροῖς τοῖς ἐμοῖς πεισθῆτε, οὐδ᾽ ἂν ὑστέρῳ χρόνῳ ὑμῖν μεταμελήσῃ,
150 οὐδὲν ἔτι πλέον ποιήσετε. μὴ τοίνυν μήθ᾽ ὑμᾶς αὐτοὺς τῶν ἀπ᾽ ἐμοῦ ἐλπίδων ἀποστερήσητε μήτ᾽ ἐμὲ τῶν εἰς ὑμᾶς. ἀξιῶ δ᾽ ἔγωγε τούτους οἵτινες ὑμῖν ἀρετῆς ἤδη τῆς μεγίστης εἰς τὸ πλῆθος τὸ ὑμέτερον ἔλεγχον ἔδοσαν, ἀναβάντας ἐνταυθοῖ συμβουλεύειν ὑμῖν ἃ γιγνώσκουσι περὶ ἐμοῦ. Δεῦρο Ἄνυτε, Κέφαλε, ἔτι δὲ καὶ οἱ φυλέται οἱ ᾑρημένοι μοι συνδικεῖν, Θράσυλλος καὶ οἱ ἄλλοι.

2.

ΠΕΡΙ ΤΗΣ ΕΑΥΤΟΥ ΚΑΘΟΔΟΥ.

1 Εἰ μέν, ὦ ἄνδρες, ἐν ἑτέρῳ τῳ πράγματι οἱ παριόντες μὴ τὴν αὐτὴν γνώμην ἔχοντες πάντες ἐφαίνοντο, οὐδὲν ἂν θαυμαστὸν ἐνόμιζον· ὅπου μέντοι δεῖ τὴν πόλιν ἐμέ τι ποιῆσαι ἀγαθόν, ἢ εἴ τις ἕτερος βούλοιτο ἐμοῦ κακίων, δεινότατον ἁπάντων χρημάτων ἡγοῦμαι, εἰ τῷ μὲν δοκεῖ ταῦτα τῷ δὲ μή, ἀλλὰ μὴ πᾶσιν ὁμοίως. εἴπερ γὰρ ἡ πόλις ἁπάντων τῶν πολιτευομένων κοινή ἐστι, καὶ τὰ
2 γιγνόμενα δήπου ἀγαθὰ τῇ πόλει κοινά ἐστι. τουτὶ τοίνυν τὸ μέγα καὶ δεινὸν πάρεστιν ὑμῖν ὁρᾶν τοὺς

150. ᾑρημένοι cum R. Bk.: εἰρημένοι.
Or. II. Π. Τ. ΕΑΥΤΟΥ ΚΑΘΟΔΟΥ] περὶ τῆς ἀδείας Harp. s. v. ὀρρωδεῖν.
1. π . . ῆσαι A. pr. — ἢ εἴ τις A Turr.: εἴ τις. — ἕτερος R. Dobr. Turr.: ἑτέρως. — κοινή del. Fuhr.
2. ὑμῖν AB Bk.: ἡμῖν. —

μὲν ἤδη πράττοντας, τοὺς δὲ τάχα μέλλοντας· καί μοι μέγιστον θαῦμα παρέστηκε, τί ποτε οὗτοι οἱ | 20
ἄνδρες δεινῶς οὕτως περικαίονται, εἴ τι ὑμᾶς χρὴ ἀγαθὸν ἐμοῦ ἐπαυρέσθαι. δεῖ γὰρ αὐτοὺς ἤτοι ἀμαθεστάτους εἶναι πάντων ἀνθρώπων, ἢ τῇ πόλει ταύτῃ δυσμενεστάτους. εἰ μέν γε νομίζουσι τῆς πόλεως εὖ πραττούσης καὶ τὰ ἴδια σφῶν αὐτῶν ἄμεινον ἂν φέρεσθαι, ἀμαθέστατοί εἰσι τὰ ἐναντία νῦν τῇ ἑαυτῶν ὠφελείᾳ σπεύδοντες· εἰ δὲ μὴ ταὐτὰ 3
ἡγοῦνται σφίσι τε αὐτοῖς συμφέρειν καὶ τῷ ὑμετέρῳ κοινῷ, δυσμενεῖς ἂν τῇ πόλει εἶεν· οἵτινες εἰσαγγείλαντός μου ἀπόρρητα εἰς τὴν βουλὴν περὶ τῶν πραγμάτων, ὧν ἀποτελεσθέντων οὐκ εἰσὶ τῇ πόλει ταύτῃ μείζονες ὠφέλειαι, καὶ τούτων ἀποδεικνύντος μου τοῖς βουλευταῖς σαφεῖς τε καὶ βεβαίους τὰς ἀποδείξεις, ἐκεῖ μὲν οὔτε τούτων τῶν ἀνδρῶν οἱ παραγενόμενοι ἐλέγχοντες οἷοί τ' ἦσαν ἀποδεῖξαι εἴ τι μὴ ὀρθῶς ἐλέγετο, οὔτ' ἄλλος οὐδείς, ἐνθάδε δὲ νῦν πειρῶνται διαβάλλειν. σημεῖον οὖν τοῦτο 4
ὅτι οὗτοι οὐκ ἀφ' αὑτῶν ταῦτα πράττουσιν — εὐθὺς γὰρ ἂν τότε ἠναντιοῦντο — ἀλλ' ἀπ' ἀνδρῶν ἑτέρων, οἷοί εἰσιν ἐν τῇ πόλει ταύτῃ, οὐδενὸς ἂν χρήματος δεξάμενοι ὑμᾶς τι ἀγαθὸν ἐξ ἐμοῦ πρᾶξαι. καὶ αὐτοὶ μὲν οὗτοι οἱ ἄνδρες οὐ τολμῶσι σφᾶς

παρέστηκε A sec. Bk., Bk. (ci. R.): *περέστηκε* A[d]; *περιέστηκε* cett. — *οὕτως* A[d] Turr.: *οὕτω*. — *περικναίονται* Emp.; *περικάονται* Schi. — *εἰ μὲν γὰρ* Valck.; cf. § 19. — malim *τὰ ἴδια* (*τὰ*) *σφῶν αὐτῶν* coll. 3, 36.

3. malim *περὶ πραγμάτων* (ita Dobr.) s. *περὶ τοιούτων πραγμάτων*. — *ἐλέγχοντες* Emp.: *ἐλέγξοντες* (*ἐλέγξαντες* cum Tayl. Turr.).

4. *οὖν* om. pr. A. —

αὐτοὺς εἰς τὸ μέσον καταστήσαντες διισχυρίζεσθαι περὶ τούτων, φοβούμενοι ἔλεγχον διδόναι εἴ τι εἰς ὑμᾶς τυγχάνουσι μὴ εὖ φρονοῦντες· ἑτέρους δὲ εἰσπέμπουσι, τοιούτους ἀνθρώπους οἷς εἰθισμένοις ἤδη ἀναισχυντεῖν οὐδὲν διαφέρει εἰπεῖν τε καὶ
5 ἀκοῦσαι τὰ μέγιστα τῶν κακῶν. τὸ δ' ἰσχυρὸν τοῦτο μόνον εὕροι τις ἂν αὐτῶν ἐν τοῖς λόγοις, τὰς ἐμὰς συμφορὰς ἐπὶ παντὶ ὀνειδίζειν, καὶ ταῦτα ἐν εἰδόσι δήπου κάλλιον ὑμῖν, ὥστε μηδὲν ἂν τούτων δικαίως τιμὴν αὐτοῖς τινα φέρειν. ἐμοὶ δέ, ὦ ἄνδρες, καὶ τῷ πρώτῳ τοῦτο εἰπόντι ὀρθῶς δοκεῖ εἰρῆσθαι, ὅτι πάντες ἄνθρωποι γίγνονται ἐπὶ τῷ εὖ καὶ κακῶς πράττειν, μεγάλη δὲ δήπου καὶ τὸ
6 ἐξαμαρτεῖν δυσπραξία ἐστί, καὶ εἰσὶν εὐτυχέστατοι μὲν οἱ ἐλάχιστα ἐξαμαρτάνοντες, σωφρονέστατοι δὲ οἳ ἂν τάχιστα μεταγιγνώσκωσι. καὶ ταῦτα οὐ διακέκριται τοῖς μὲν γίγνεσθαι τοῖς δὲ μή, ἀλλ' ἔστιν ἐν τῷ κοινῷ πᾶσιν ἀνθρώποις καὶ ἐξαμαρτεῖν τι καὶ κακῶς πρᾶξαι. ὧν ἕνεκα, ὦ Ἀθηναῖοι, εἰ ἀνθρωπίνως περὶ ἐμοῦ γιγνώσκοιτε, εἴητε ἂν ἄνδρες εὐγνωμονέστεροι. οὐ γὰρ φθόνου μᾶλλον ἢ οἴκτου
7 ἄξιά μοί ἐστι τὰ γεγενημένα· ὃς εἰς τοσοῦτον ἦλθον τῆς ἐμαυτοῦ δυσδαιμονίας, εἴτε χρὴ εἰπεῖν νεότητί

τυγχάνουσι cum AB add. Bk. — τῶν ante κακῶν om. pr. A.

5. (τὸ) τὰς mal. R. — ὑμῖν AB Bk. (ci. Valck. R.): ἡμῖν. — καὶ ante τῷ πρώτῳ del. Emp. — τοῦτο AB Bk. (ci. Valck. R.): τούτῳ. — ἐπὶ τῷ AB Bk. (ci. Steph.): ἐπὶ τὸ. — εὖ καὶ κακῶς πράττειν A Bk.: εὖ κακῶς πρ. B; εὖ πρ. κακοί v.

6. μεταγινώσκουσι ABZ. — καὶ ante κακῶς om. pr. A.

7. Fort. cum Frohb.: ἦλθον δυσδ. — — ἀνοίᾳ τῇ ἐμαυτοῦ. —

τε καὶ ἀνοίᾳ, εἴτε καὶ δυνάμει τῶν πεισάντων με ἐλθεῖν εἰς τοιαύτην συμφορὰν τῶν φρενῶν, ὥστ' ἀνάγκην μοι γενέσθαι δυοῖν κακοῖν τοῖν μεγίστοιν θάτερον ἑλέσθαι, ἢ μὴ βουληθέντι κατειπεῖν τοὺς ταῦτα ποιήσαντας οὐ περὶ ἐμοῦ μόνου ὀρρωδεῖν, εἴ τι ἔδει παθεῖν, ἀλλὰ καὶ τὸν πατέρα οὐδὲν ἀδικοῦντα σὺν ἐμαυτῷ ἀποκτεῖναι — ὅπερ ἀνάγκη παθεῖν ἦν αὐτῷ, εἰ ἐγὼ μὴ ἐβουλόμην ταῦτα ποιῆσαι —, ἢ κατειπόντι τὰ γεγενημένα αὐτὸν μὲν ἀφεθέντα μὴ τεθνάναι, τοῦ δὲ ἐμαυτοῦ πατρὸς μὴ φονέα γενέσθαι. τί δ' ἂν οὐ πρό γε τούτου τολμήσειεν ἄνθρωπος ποιῆσαι; ἐγὼ τοίνυν ἐκ τῶν 8
παρόντων εἱλόμην ταῦτα, ἃ ἐμοὶ μὲν λύπας ἐπὶ χρόνον πλεῖστον οἴσειν ἔμελλεν, ὑμῖν δὲ ταχίστην τοῦ παρόντος τότε κακοῦ μετάστασιν. ἀναμνήσθητε δὲ ἐν οἵῳ κινδύνῳ τε καὶ ἀμηχανίᾳ καθέστατε, καὶ ὅτι οὕτω σφόδρα σφᾶς αὐτοὺς ἐπεφόβησθε, ὥστ' οὐδ' εἰς τὴν ἀγορὰν ἔτι ἐξῄειτε, ἕκαστος ὑμῶν οἰόμενος συλληφθήσεσθαι. ταῦτα τοίνυν ὥστε μὲν γενέσθαι τοιαῦτα, πολλοστὸν δή τι ἐγὼ μέρος τῆς αἰτίας εὑρέθην ἔχων, ὥστε μέντοι παυθῆναι, ἐγὼ εἷς ὢν μόνος αἴτιος. καὶ ὅμως τό γε δυστυ- 9
χέστατος εἶναι ἀνθρώπων οὐδαμῇ ἐκφεύγω, ὅτε δὴ προαγομένης μὲν τῆς πόλεως ἐπὶ ταύτας τὰς συμ-

ἀνάγκην AB Bk. (ci. R.): ἀνάγκη. — βουληθέντα ABZ, quod def. Kl., sed cf. infra κατειπόντι. — μόνου AZ Bk.: μόνον. — ὀρρωδεῖν] cf. Harp. s. v.: ὀ. ἀντὶ τοῦ φοβεῖσθαι Ἀ. ἐν τῷ π. τ. ἀδείας. — αὐτὸν ABZ Bk. (ci. Valck. R.): αὐτὸ. — ἀφεθέντα A^d et cum R. Bk.: ἀφέντα.

8. ἐπεφόβησθε ABZ Bk. (ci. R.): ἐπεφόβησεν. — παυθῆναι (codd.) Bk. (ci. Valck. R.): πανθῆναι Ald., πᾶν ἰαθῆναι Steph.

φορὰς οὐδεὶς ἐμοῦ ἤρχετο γίγνεσθαι δυσδαιμονέστερος, μεθισταμένης δὲ πάλιν εἰς τὸ ἀσφαλὲς ἁπάντων ἐγὼ ἀθλιώτατος. ὄντων γὰρ κακῶν τοσούτων τῇ πόλει ἀδύνατον ἦν ταῦτα ἰαθῆναι ἄλλως
21 ἢ τῷ ἐμῷ αἰσχρῷ, | ὥστ' ἐν αὐτῷ ᾧ ἐγὼ κακῶς ἔπραττον, ἐν τούτῳ ὑμᾶς σῴζεσθαι. χάριν οὖν εἰκός με, οὐ μῖσος τῷ δυστυχήματι τούτῳ φέρεσθαι παρ' ὑμῶν.

10 Καίτοι ἐγὼ τότ' αὐτὸς γνοὺς τὰς ἐμαυτοῦ συμφοράς, ᾧ τινι κακῶν τε καὶ αἰσχρῶν οὐκ οἶδ' εἴ τι ἀπεγένετο, τὰ μὲν παρανοίᾳ τῇ ἐμαυτοῦ, τὰ δ' ἀνάγκῃ τῶν παρόντων πραγμάτων, ἔγνων ἥδιστον εἶναι πράττειν τε τοιαῦτα καὶ διαιτᾶσθαι ἐκεῖ, ὅπου ἥκιστα μέλλοιμι ὀφθήσεσθαι ὑφ' ὑμῶν. ἐπειδὴ δὲ χρόνῳ ὕστερον εἰσῆλθέ μοι, ὥσπερ εἰκός, ἐπιθυμία τῆς τε μεθ' ὑμῶν πολιτείας ἐκείνης καὶ διαίτης, ἐξ ἧς δευρὶ μετέστην, ἔγνων λυσιτελεῖν μοι ἢ τοῦ βίου ἀπηλλάχθαι, ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι τοσοῦτον ἐργάσασθαι, ὥστε ὑμῶν ἑκόντων εἶναί ποτέ μοι
11 πολιτεύσασθαι μεθ' ὑμῶν. ἐκ δὲ τούτου οὐ πώποτε οὔτε τοῦ σώματος οὔτε τῶν ὄντων ἐμοὶ ἐφεισάμην, ὅπου ἔδει παρακινδυνεύειν· ἀλλ' αὐτίκα μὲν τότε εἰσήγαγον εἰς στρατιὰν ὑμῶν οὖσαν ἐν Σάμῳ κωπέας, τῶν τετρακοσίων ἤδη τὰ πράγματα ἐνθάδε κατειληφότων, ὄντος μοι Ἀρχελάου ξένου πατρικοῦ καὶ διδόντος τέμνεσθαί τε καὶ ἐξάγεσθαι ὁπόσους

10. ὕστερον in mg. add. A, deleri malit Fuhr. — τῆς τότε μεθ' ci. R. — ἔγνω λυσιτ. ABZ. — πολιτεύσασθαι AB Bk.: πολιτεύεσθαι.

11. τέμνεσθαι cum Dobr. Turr.: γενέσθαι. — ὁπόσους AB Bk.: ὁπόσα. —

ἐβουλόμην. τούτους τε εἰσήγαγον τοὺς κωπέας, καὶ παρόν μοι πέντε δραχμῶν τὴν τιμὴν αὐτῶν δέξασθαι οὐκ ἠθέλησα πράξασθαι πλέον ἢ ὅσου ἐμοὶ κατέστησαν, εἰσήγαγον δὲ σῖτόν τε καὶ χαλκόν· καὶ οἱ 12
ἄνδρες ἐκεῖνοι ἐκ τούτων παρεσκευασμένοι ἐνίκησαν μετὰ ταῦτα Πελοποννησίους ναυμαχοῦντες, καὶ τὴν πόλιν ταύτην μόνοι ἀνθρώπων ἔσωσαν ἐν τῷ τότε χρόνῳ. εἰ τοίνυν μεγάλων ἀγαθῶν αἴτια ὑμᾶς εἰργάσαντο ἐκεῖνοι, μέρος ἐγὼ οὐκ ἂν ἐλάχιστον δικαίως ταύτης τῆς αἰτίας ἔχοιμι. εἰ γὰρ τοῖς ἀνδράσιν ἐκείνοις τότε τὰ ἐπιτήδεια μὴ εἰσήχθη, οὐ περὶ τοῦ σῶσαι τὰς Ἀθήνας ὁ κίνδυνος ἦν αὐτοῖς μᾶλλον ἢ περὶ τοῦ μηδὲ αὐτοὺς σωθῆναι. Τούτων 13
τοίνυν οὕτως ἐχόντων οὐκ ὀλίγῳ μοι παρὰ γνώμην εὑρέθη τὰ ἐνταῦθα πράγματα ἔχοντα. κατέπλευσα μὲν γὰρ ὡς ἐπαινεθησόμενος ὑπὸ τῶν ἐνθάδε προθυμίας τε εἵνεκα καὶ ἐπιμελείας τῶν ὑμετέρων πραγμάτων· πυθόμενοι δέ τινές με ἥκοντα τῶν τετρακοσίων ἐζήτουν τε παραχρῆμα, καὶ λαβόντες ἤγαγον εἰς τὴν βουλήν. εὐθὺς δὲ παραστάς μοι 14
Πείσανδρος „ἄνδρες" ἔφη „βουλευταί, ἐγὼ τὸν ἄνδρα τοῦτον ἐνδεικνύω ὑμῖν σῖτόν τε εἰς τοὺς πολεμίους εἰσαγαγόντα καὶ κωπέας." καὶ τὸ πρᾶγμα ἤδη πᾶν διηγεῖτο ὡς ἐπέπρακτο. ἐν δὲ τῷ τότε τὰ

τούτους] τούς BZ. τούτους τε(οὖν) ci. R. — ὅσου A Bk. (ci. R.): ὅσον.
12. αἴτια scripsi cum Li.: ἄξια. — τῆς αἰτίας ABZ Bk.: ἀξίας (τῆς ἀξ. R.). — ὁ κίνδυνος del. mal. S. — μηδ(ὲ) αὐτοὺς AB Bk. (ci. R.): μὴ δι' αὐτοὺς.
14. pro μοι pr. A aliud vocabulum totidem litterarum habuit. — (καὶ χαλκὸν) καὶ κωπέας coll. § 11 Meier. — τότε τὰ ABZ Bk. (ci. R.): τότε οἱ τὰ. —

ἐναντία φρονοῦντες δῆλοι ἦσαν ἤδη οἱ ἐπὶ στρα-
15 τιᾶς ὄντες τοῖς τετρακοσίοις. κἀγώ, θόρυβος γὰρ δὴ τοιοῦτος ἐγίγνετο τῶν βουλευτῶν, ἐπειδὴ ἐγιγνωσκον ἀπολούμενος, εὐθὺς προσπηδῶ πρὸς τὴν ἑστίαν καὶ λαμβάνομαι τῶν ἱερῶν. ὅπερ μοι καὶ πλείστου ἄξιον ἐγένετο ἐν τῷ τότε· εἰς γὰρ τοὺς θεοὺς ἔχοντα ὀνείδη οὗτοί με μᾶλλον τῶν ἀνθρώπων ἐοίκασι κατελεῆσαι, βουληθέντων τε αὐτῶν ἀποκτεῖναί με οὗτοι ἦσαν οἱ διασώσαντες. δεσμά τε ὕστερον καὶ κακὰ ὅσα τε καὶ οἷα τῷ σώματι ἠνε-
16 σχόμην, μακρὸν ἂν εἴη μοι λέγειν. οὗ δὴ καὶ μάλιστ' ἐμαυτὸν ἀπωλοφυράμην· ὅστις τοῦτο μὲν ἐν ᾧ ἐδόκει ὁ δῆμος κακοῦσθαι, ἐγὼ ἀντὶ τούτου κακὰ εἶχον, τοῦτο δὲ ἐπειδὴ ἐφαίνετο εὖ ὑπ' ἐμοῦ πεπονθώς, πάλιν αὖ καὶ διὰ τοῦτ' ἐγὼ ἀπολοίμην· ὥστε ὁδόν τε καὶ πόρον μηδαμῇ ἔτι εἶναί μοι εὐθαρσεῖν· ὅποι γὰρ τραποίμην, πάντοθεν κακόν τί μοι ἐφαίνετο ἑτοιμαζόμενον. ἀλλ' ὅμως καὶ ἐκ τούτων τοιούτων ὄντων ἀπαλλαγεὶς οὐκ ἔστιν ὅ τι ἕτερον ἔργον περὶ πλείονος ἐποιούμην ἢ τὴν πόλιν ταύτην ἀγαθόν τι ἐργάσασθαι.

ἤδη post ἦσαν om. pr. A. — ἐπὶ στρατιᾶς A[d] Turr.: ἐπὶ στρατείας.

15. ἐπειδὴ cum R. Turr.: καὶ ἐπειδή. — ἐγένετο Emp.: ἐγίνετο. — ἔχοντα ὀνείδη οὗτοί με S. Turr.: εἶχον τὰ ὀν. οὗτοι, οἵ με.

16. τοῦτο μὲν] τούτῳ μὲν AB. — εὖ om. ABZ. — ἀπολοίμην] ἀπωλλύμην mal. Bk. Dobr.; immo, si quid mutandum, εἰ ante πάλιν αὖ addendum est. — ὅποι cum R. Bk.: ὅπου. — οὐκ ἔστιν ὅ τι ἔργον A pr.; οὐκ ἔστιν ὅ τι ἕτερον ἔργον A corr., BZ, Bk.; οὐκέτι ἕτερον v.; ἕτερον ἔργον del. S.; ἔργον delevi ed. I.

Ὁρᾶν δὲ χρή, ὦ Ἀθηναῖοι, ὅσῳ τὰ τοιαῦτα τῶν 17
ὑπουργημάτων διαφέρει. τοῦτο μὲν γὰρ ὅσοι τῶν
πολιτῶν τὰ ὑμέτερα πράγματα διαχειρίζοντες ἀργύ-
ριον ὑμῖν ἐκπορίζουσιν, ἄλλο τι ἢ τὰ ὑμέτερα ὑμῖν
διδόασι; τοῦτο δὲ ὅσοι στρατηγοὶ γενόμενοι καλόν
τι τὴν πόλιν κατεργάζονται, τί ἄλλο ἢ μετὰ τῆς τῶν
| ὑμετέρων σωμάτων ταλαιπωρίας τε καὶ κινδύνων, 22
καὶ ἔτι τῶν κοινῶν χρημάτων δαπάνης, ποιοῦσιν
ὑμᾶς εἴ τι τυγχάνουσιν ἀγαθόν; ἐν ᾧ καὶ ἄν τι
ἐξαμάρτωσιν, οὐκ αὐτοὶ τῆς σφετέρας αὐτῶν ἁμαρ-
τίας δίκην διδόασιν, ἀλλ' ὑμεῖς ὑπὲρ τῶν ἐκείνοις
ἡμαρτημένων. ἀλλ' ὅμως οὗτοι στεφανοῦνταί γε 18
ὑφ' ὑμῶν καὶ ἀνακηρύττονται ὡς ὄντες ἄνδρες
ἀγαθοί. καὶ οὐκ ἐρῶ ὡς οὐ δικαίως· μεγάλη γάρ
ἐστιν ἀρετή, ὅστις τὴν ἑαυτοῦ πόλιν ὁτῳοῦν δύνα-
ται τρόπῳ ἀγαθόν τι ἐργάζεσθαι. ἀλλ' οὖν γιγνώ-
σκειν γε χρὴ ὅτι ἐκεῖνος ἂν εἴη πολὺ πλείστου
ἄξιος ἀνήρ, ὅστις τοῖς ἑαυτοῦ παρακινδυνεύων χρή-
μασί τε καὶ σώματι τολμῴη ἀγαθόν τι ποιεῖν τοὺς
ἑαυτοῦ πολίτας.

Ἐμοὶ τοίνυν τὰ μὲν ἤδη εἰς ὑμᾶς πεπραγμένα 19
σχεδόν τι ἅπαντες ἂν εἰδείητε, τὰ δὲ μέλλοντά τε
καὶ ἤδη πραττόμενα ἄνδρες ὑμῶν πεντακόσιοι ἐν

17. χρὴ add. A[d] BZ Bk. — γὰρ post τοῦτο μὲν add. AB Bk. — τῆς ante τῶν ὑμετ. σωμ. add. AB Bk. — δαπάνης A Bk. (ci. Sl.): δαπαν B; δαπανᾶν (οἷς) v.

18. στεφανοῦνταί τε Sl. (cf. § 20). — γινώσκειν cum R. Bk.: libri τι γινώσκειν. — πολὺ πλείστου B et corr. A: πολλοῦ πλείστου Z et pr. A; πλείστου v. (Bk.), πολλῷ πλείο-νος ci. Ros. — τοῖς ἑαυτοῦ πολίταις pr. A.

ἀπορρήτῳ ἴσασιν, ἡ βουλή· οὓς πολλῷ δήπου εἰκὸς
ἧττον ἄν τι ἐξαμαρτεῖν, ἢ εἰ ὑμᾶς δέοι ἀκούσαντάς
τι ἐν τῷ παραχρῆμα νῦν διαβουλεύσασθαι. οἵ μέν
γε σχολῇ περὶ τῶν εἰσαγγελλομένων σκοποῦνται,
ὑπάρχει τε αὐτοῖς, ἐάν τι ἐξαμαρτάνωσιν, αἰτίαν
ἔχειν καὶ λόγον αἰσχρὸν ἐκ τῶν ἄλλων πολιτῶν·
ὑμῖν δὲ οὐκ εἰσὶν ἕτεροι ὑφ᾽ ὧν αἰτίαν (ἂν) ἔχοιτε·
τὰ γὰρ ὑμέτερα αὐτῶν ἐφ᾽ ὑμῖν δικαίως ἐστὶ καὶ
20 εὖ καὶ κακῶς, ἐὰν βούλησθε, διαθέσθαι. ἅ γε μέντοι
ἔξω τῶν ἀπορρήτων οἷόν τέ μοί ἐστιν εἰπεῖν εἰς
ὑμᾶς ἤδη πεπραγμένα, ἀκούσεσθε. ἐπίστασθε γάρ
που ὡς ἠγγέλθη ὑμῖν ὅτι οὐ μέλλει ἐκ Κύπρου
σῖτος ἥξειν ἐνταῦθα· ἐγὼ τοίνυν τοιοῦτός τε καὶ
τοσοῦτος ἐγενόμην, ὥστε τοὺς ἄνδρας τοὺς ταῦτα
βουλεύσαντας ἐφ᾽ ὑμῖν καὶ πράξαντας ψευσθῆναι
21 τῆς αὑτῶν γνώμης. καὶ ὡς μὲν ταῦτα διεπράχθη,
οὐδὲν προὔργου ἀκοῦσαι ὑμῖν· τὰ δὲ νυνὶ βούλο-
μαι ὑμᾶς εἰδέναι, ὅτι αἵ (μὲν) μέλλουσαι νῆες ἤδη
σιταγωγοὶ καταπλεῖν εἰς τὸν Πειραιᾶ εἰσιν ὑμῖν
τέτταρες καὶ δέκα, αἵ δὲ λοιπαὶ τῶν ἐκ Κύπρου
ἀναχθεισῶν ἥξουσιν ἀθρόαι οὐ πολὺ ὕστερον. ἐδεξά-
μην δ᾽ (ἂν) ἀντὶ πάντων χρημάτων εἶναι ἐν ἀσφα-
λεῖ φράσαι πρὸς ὑμᾶς ἃ καὶ τῇ βουλῇ ἐν ἀπορρήτῳ
22 εἰσήγγειλα, ὅπως αὐτόθεν προῄδειτε. νῦν δὲ ἐκεῖνα

19. ἡ βουλὴ del. Valck.; def. Scheibe. — εἰκὸς] εἰς ABZ. — τι post ἀκούσαντας del. mal. R. — ἂν post αἰτίαν cum Dobr. add. Turr.

20. οἷόν τε cum Steph. Bk.: οἷόν γε. — ἠγγέλθη ὑμῖν cum Valck. Turr.: ἠγγ. ἡμῖν. — αὑτῶν Turr.: αὐτῶν.

21. τάδε δὲ νυνὶ mal. Gebauer (coll. 1, 9). — (ἂν) ἀντὶ cum Dobr. Turr.: ἀντὶ v. Schi.; ἂν cum R. Bk. — προῄδειτε Bk.: προειδῆτε.

μὲν τότε ὅταν ἀποτελεσθῇ γνώσεσθε ἅμα καὶ ὠφεληθήσεσθε· νῦν δέ, ὦ Ἀθηναῖοι, εἴ μοι βουληθείητε δοῦναι χάριν μικράν τε καὶ ἄπονον ὑμῖν καὶ ἅμα δικαίαν, πάνυ ἄν μοι τοῦτο ἐν μεγάλῃ ἡδονῇ γένοιτο. ὡς δὲ καὶ δικαία ἐστίν, εἴσεσθε. ἃ γάρ μοι αὐτοὶ γνόντες τε καὶ ὑποσχόμενοι ἔδοτε, ὕστερον δὲ ἑτέροις πειθόμενοι ἀφείλεσθε, ταῦθ' ὑμᾶς, εἰ μὲν βούλεσθε, αἰτῶ, εἰ δὲ [μὴ] βούλεσθε,
ἀπαιτῶ. ὁρῶ δὲ ὑμᾶς πολλάκις καὶ δούλοις ἀνθρώ- 23
ποις καὶ ξένοις παντοδαποῖς πολιτείαν διδόντας τε καὶ εἰς χρήματα μεγάλας δωρεάς, οἳ ἂν ὑμᾶς φαίνωνται ποιοῦντές τι ἀγαθόν. καὶ ταῦτα μέντοι ὀρθῶς ὑμεῖς φρονοῦντες δίδοτε· οὕτω γὰρ ἂν ὑπὸ πλείστων ἀνθρώπων εὖ πάσχοιτε. ἐγὼ τοίνυν τοσοῦτον ὑμῶν μόνον δέομαι· τὸ ψήφισμα ὃ Μενίππου εἰπόντος ἐψηφίσασθε, εἶναί μοι ἄδειαν, πάλιν ἀπόδοτε. ἀναγνώσεται δὲ ὑμῖν αὐτό· ἔτι γὰρ καὶ νῦν ἐγγέγραπται ἐν τῷ βουλευτηρίῳ.

ΨΗΦΙΣΜΑ.

Τουτὶ τὸ ψήφισμα ὃ ἠκούσατε ψηφισάμενοί μοι, 24
ὦ Ἀθηναῖοι, ὕστερον ἀφείλεσθε χάριν ἑτέρῳ φέροντες. πείθεσθε οὖν μοι, καὶ ἤδη παύσασθε εἴ τῳ ὑμῶν διάβολόν τι ἐν τῇ γνώμῃ περὶ ἐμοῦ παρέστηκεν. εἰ γὰρ ὅσα οἱ ἄνθρωποι (τῇ) γνώμῃ ἁμαρ-

22. μὴ ante βούλεσθε cum R. delendum videtur. εἰ μ. β. ἀπαιτῶ, εἰ δὲ μὴ β. αἰτῶ Dobr.

23. παντοδαπῆς v., em. cum. Steph. R. — πολιτείαν cum R. (qui etiam πολ. τε διδ. καὶ ci.) Turr.: πολιτείας. — ἀναγέγραπται Sl.

24. τῇ γνώμῃ scripsi: . . γνώμῃ A (. . . . . μη A pr.?), γνώμῃ v. —

τάνουσι, τὸ σῶμα αὐτῶν μὴ αἴτιόν ἐστιν, ἐμοῦ τὸ
μὲν σῶμα τυγχάνει ταὐτὸν ἔτι ὄν, ὅπερ τῆς αἰτίας
ἀπήλλακται, ἡ δὲ γνώμη ἀντὶ τῆς προτέρας ἑτέρα
νυνὶ παρέστηκεν. οὐδὲν οὖν ἔτι ὑπολείπεται ὅτῳ
25 ἄν μοι δικαίως διαβεβλῆσθε. ὥσπερ δὲ τῆς τότε
ἁμαρτίας τὰ ἀπὸ τῶν ἔργων σημεῖα ἔφατε χρῆναι
πιστότατα ποιούμενοι κακόν με ἄνδρα ἡγεῖσθαι,
οὕτω καὶ ἐπὶ τῇ νῦν εὐνοίᾳ μὴ ζητεῖτε ἑτέραν
βάσανον ἢ τὰ ἀπὸ τῶν νυνὶ ἔργων σημεῖα ὑμῖν
26 γιγνόμενα. πολὺ δέ μοι προσήκει ταῦτα μᾶλλον |
23 ἐκείνων καὶ τῷ γένει συνηθέστερά ἐστι. τάδε γὰρ
οὐ ψευσαμένῳ μοι λαθεῖν οἷόντ' ἐστι τούς γε πρεσβυτέρους ὑμῶν, ὅτι ὁ τοῦ ἐμοῦ πατρὸς πάππος
Λεωγόρας στασιάσας πρὸς τοὺς τυράννους ὑπὲρ τοῦ
δήμου, ἐξὸν αὐτῷ διαλλαχθέντι τῆς ἔχθρας καὶ
γενομένῳ κηδεστῇ ἄρξαι μετ' ἐκείνων τῶν ἀνδρῶν
τῆς πόλεως, εἵλετο μᾶλλον ἐκπεσεῖν μετὰ τοῦ δήμου καὶ φεύγων κακοπαθεῖν μᾶλλον ἢ προδότης
αὐτῶν καταστῆναι. ὥστ' ἔμοιγε καὶ διὰ τὰ τῶν
προγόνων ἔργα εἰκότως ὑπάρχει δημοτικῷ εἶναι,
εἴπερ τι ἀλλὰ νῦν γε φρονῶν τυγχάνω. ὧν καὶ
ἕνεκα εἰκὸς ὑμᾶς, ἐὰν χρηστὸς ὢν ἀνὴρ εἰς ὑμᾶς
φαίνωμαι, προθυμότερόν μου ἀποδέχεσθαι τὰ πραττόμενα.
27 τὸ δὲ δόντας ἐμοὶ τὴν ἄδειαν ἀφελέσθαι

ἐμοῦ τὸ μὲν cum R. Bk.: ὁμοῦ τὸ μὲν. — ταὐτὸν ἔτι ὄν Bk. (ταὐτὸν ὄν ci. R.): τοῦτ' ἀναίτιον. — διαβεβλῆσθε Bk.: διαβεβλῆσθε v., διαβεβλῆσθαι ABZ.

25. ζητῆτε A.

26. πατρὸς πάππος cum Valck. Turr.: πατρὸς πρόπαππος. cf. 1, 106. — αὐτῶν] αὐτοῦ Ros. — ἀλλὰ νῦν γε Bk.: ἄλλο νῦν γε.

ὑμᾶς, εὖ ἴστε ὅτι οὐδεπώποτε ἠγανάκτησα· ὅπου γὰρ ὑπὸ τῶν ἀνδρῶν τούτων αὐτοὶ εἰς ὑμᾶς αὐτοὺς ἐπείσθητε τὰ μέγιστα ἐξαμαρτεῖν, ὥστε ἀντὶ τῆς ἀρχῆς δουλείαν ἀλλάξασθαι, ἐκ δημοκρατίας δυναστείαν καταστήσαντες, τί ἄν τις ὑμῶν θαυμάζοι καὶ εἰς ἐμὲ εἴ τι ἐπείσθητε ἐξαμαρτεῖν; βου- 28
λοίμην μέντ' ἄν, ὥσπερ ἐν τοῖς ὑμετέροις αὐτῶν πράγμασιν, ἐπειδὴ ἐξουσίαν ἐλάβετε, τὰς τῶν ἐξαπατησάντων ὑμᾶς ἀκύρους ἔθετε βουλάς, οὕτω καὶ ἐν ᾧ περὶ ἐμοῦ ἐπείσθητε γνῶναί τι ἀνεπιτήδειον, ἀτελῆ τὴν γνώμην αὐτῶν ποιῆσαι, καὶ μήτε ἐν τούτῳ μήτε ἐν ἑτέρῳ τῳ τοῖς ὑμῶν αὐτῶν ἐχθίστοις ὁμόψηφοί ποτε γένησθε.

3.

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΛΑΚΕΔΑΙΜΟΝΙΟΥΣ ΕΙΡΗΝΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Τοῦ Ἑλληνικοῦ μηκυνομένου πολέμου, καὶ πολλὰ μὲν Ἀθηναίων κακὰ πολλὰ δὲ Λακεδαιμονίων ὑπομεινάντων καὶ τῶν ἑκατέρων συμμάχων, Ἀθηναῖοι πρέσβεις ἀπέστειλαν πρὸς Λακεδαιμονίους αὐτοκράτορας· ὧν ἐστι καὶ Ἀνδοκίδης. τινῶν δὲ προταθέντων παρὰ Λακεδαιμονίων, καὶ ἀποστειλάντων κἀκείνων ἰδίους πρέσβεις, ἔδοξεν ὥστε εἴσω τεσσαράκοντα ἡμερῶν ἐπιβουλεύσασθαι τὸν δῆμον περὶ τῆς εἰρήνης. καὶ ἐπὶ τούτοις Ἀνδοκί-

27. θαυμάζει ABZ.
Or. III. *Π. Τ. ΠΡΟΣ ΛΑΚ. ΕΙΡΗΝΗΣ*] tit. om. A. περὶ τῆς εἰρήνης Harp. et vit. § 13. — *ΥΠΟΘ.*] ἐπιβουλεύσασθαι] βουλεύσασθαι S. —

δης συμβουλεύει τοῖς Ἀθηναίοις καταδέξασθαι τὴν εἰρήνην. Ἔστι μὲν οὖν συμβουλῆς τὸ εἶδος· κεφάλαιον τὸ συμφέρον. Φιλόχορος μὲν οὖν λέγει καὶ ἐλθεῖν τοὺς πρέσβεις ἐκ Λακεδαιμονίας, καὶ ἀπράκτους ἀνελθεῖν μὴ πείσαντος τοῦ Ἀνδοκίδου· ὁ δὲ Διονύσιος νόθον εἶναι λέγει τὸν λόγον.

1 Ὅτι μὲν εἰρήνην ποιεῖσθαι δικαίαν ἄμεινόν ἐστιν ἢ πολεμεῖν, δοκεῖτέ μοι ὦ Ἀθηναῖοι πάντες γιγνώσκειν· ὅτι δὲ οἱ ῥήτορες τῷ μὲν ὀνόματι τῆς εἰρήνης συγχωροῦσι, τοῖς δ' ἔργοις ἀφ' ὧν ἡ εἰρήνη γένοιτο (ἂν) ἐναντιοῦνται, τοῦτο δὲ οὐ πάντες αἰσθάνεσθε. λέγουσι γὰρ ὡς ἔστι δεινότατον τῷ δήμῳ, γενομένης εἰρήνης, ἡ νῦν οὖσα πολιτεία μὴ
2 καταλυθῇ. εἰ μὲν οὖν μηδεπώποτε πρότερον ὁ δῆμος ὁ [τῶν] Ἀθηναίων εἰρήνην ἐποιήσατο πρὸς Λακεδαιμονίους, εἰκότως ἂν ἐφοβούμεθα αὐτὸ διά τε τὴν ἀπειρίαν τοῦ ἔργου διά τε τὴν ἐκείνων ἀπιστίαν· ὅπου δὲ πολλάκις ἤδη πρότερον εἰρήνην ἐποιήσασθε δημοκρατούμενοι, πῶς οὐκ εἰκὸς ὑμᾶς πρῶτον ἐκεῖνα σκέψασθαι τὰ τότε γενόμενα; χρὴ γὰρ ὦ Ἀθηναῖοι τεκμηρίοις χρῆσθαι τοῖς πρότερον
3 γενομένοις περὶ τῶν μελλόντων ἔσεσθαι. Ἡνίκα

δὲ post *κεφάλαιον* add. v. ante Bk. (Dobr.). — *ἐπανελθεῖν* Reiskiana. — *διόνυσος* AB.

1. *πάντες* et *δὲ* post *τοῦτο* add. AB Bk. — *ἂν* add. Dobr.

2. *πρότερον* add. AB Bk. — *τῶν* ante *Ἀθ.* del. Spengel W., item 4. 10. — *ἔργου διά τε* AB Bk.: *ἔ. καὶ διὰ.* — *ἐποιήσασθε* cum R. Turr.: *ἐποιήσατε.* — vv. *χρὴ γὰρ* — *ἔσεσθαι* affert Clem. Alex. Str. VI p. 747 (om. *ὦ Ἀθ.*), et inde Theodoret. Serm. VI p. 581 A. — *γεγενημένοις* Fuhr. (*τοῖς προγεγενημ.* Theodor.).

3. Hunc totum locum (§§ 3—9) omissis quibusdam vel mutatis in suum usum convertit Aeschin. 2 § 172—176. —

τοίνυν ἦν μὲν ὁ πόλεμος ἡμῖν ἐν Εὐβοίᾳ, Μέγαρα
δὲ εἴχομεν καὶ Πηγὰς καὶ Τροιζῆνα, εἰρήνης ἐπεθυ-
μήσαμεν, καὶ Μιλτιάδην τὸν Κίμωνος ὠστρακισμέ-
νον καὶ ὄντα ἐν Χερρονήσῳ κατεδεξάμεθα δι' αὐτὸ
τοῦτο, πρόξενον ὄντα Λακεδαιμονίων, ὅπως πέμψαι-
μεν ἐς Λακεδαίμονα προκηρυκευσόμενον περὶ σπον-
δῶν. καὶ τότε ἡμῖν εἰρήνη ἐγένετο πρὸς | Λακεδαι- 4
μονίους ἔτη πεντήκοντα, καὶ ἐνεμείναμεν ἀμφότε- 24
ροι ταύταις ταῖς σπονδαῖς ἔτη τριακαίδεκα. ἐν δὴ
τοῦτο, ὦ Ἀθηναῖοι, πρῶτον σκεψώμεθα. ἐν ταύτῃ
τῇ εἰρήνῃ ὁ δῆμος ὁ [τῶν] Ἀθηναίων ἔσθ' ὅπου
κατελύθη; οὐδεὶς ἀποδείξει. ἀγαθὰ δὲ ὅσα ἐγένετο
διὰ ταύτην τὴν εἰρήνην, ἐγὼ ὑμῖν φράσω. πρῶτον 5
μὲν τὸν Πειραιᾶ τότε ἐτειχίσαμεν ἐν τούτῳ τῷ
χρόνῳ, εἶτα τὸ μακρὸν τεῖχος τὸ βόρειον· ἀντὶ δὲ
τῶν τριήρων αἳ τότε ἡμῖν ἦσαν παλαιαὶ καὶ ἄπλοι,
αἷς βασιλέα καὶ βαρβάρους καταναυμαχήσαντες
ἠλευθερώσαμεν τοὺς Ἕλληνας, ἀντὶ τούτων τῶν
νεῶν ἑκατὸν τριήρεις ἐναυπηγησάμεθα, καὶ πρῶτον
τότε τριακοσίους ἱππεῖς κατεστησάμεθα καὶ τοξότας
τριακοσίους Σκύθας ἐπριάμεθα. [καὶ] ταῦτα ἐκ
τῆς εἰρήνης τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ

nonne *ὁ ἐν Εὐβοίᾳ*? — *Πηγὰς*] cf. Harp.: *Πηγαί· Ἀ. ἐν τῷ περὶ εἰρήνης, εἰ γνήσιος.* — *Κίμωνα τὸν Μιλτιάδου* et ap. Andoc. et ap. Aesch. restitui vol. Mitford. (ap. Dobr.) et Kirchner. — *πέμψαιεν* AB. — *ἐς* AB Bk.: *εἰς*.

4. *ὑμῖν* A[d]. — *πεντήκοντα* cum Aesch. Tayl. (Turr.): *πέντε*, quod tuetur Dobr. — *ἡμῖν* A[d].

5. *τότε* post *Πειρ.* add. AB Bk. — *ἐλευθερώσαμεν* A[d] et pr. M. — *κατεστήσαμεν* Fuhr. coll. § 7. Aesch. 2, 174. — *τοξότας* (quod om. Aesch.) mal. abesse S. — *καὶ* ante *ταῦτα* delevi coll. § 7. — *τότε* post *ταῦτα* add. W. —

πόλει καὶ δύναμις τῷ δήμῳ τῷ Ἀθηναίων ἐγένετο.
6 Μετὰ δὲ ταῦτα δι' Αἰγινήτας εἰς πόλεμον κατέστημεν, καὶ πολλὰ κακὰ παθόντες πολλὰ δὲ ποιήσαντες ἐπεθυμήσαμεν πάλιν τῆς εἰρήνης, καὶ ᾑρέθησαν δέκα ἄνδρες ἐξ Ἀθηναίων ἁπάντων πρέσβεις εἰς Λακεδαίμονα περὶ εἰρήνης αὐτοκράτορες, ὧν ἦν καὶ Ἀνδοκίδης ὁ πάππος ὁ ἡμέτερος. οὗτοι ἡμῖν εἰρήνην ἐποίησαν πρὸς Λακεδαιμονίους ἔτη τριάκοντα. καὶ ἐν τοσούτῳ χρόνῳ ἔστιν ὅπου, ὦ Ἀθηναῖοι, ὁ δῆμος κατελύθη; τί δέ; πράττοντές τινες δήμου κατάλυσιν ἐλήφθησαν; οὐκ ἔστιν ὅστις ἀποδείξει.
7 ἀλλ' αὐτὸ τὸ ἐναντιώτατον· αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τὸν Ἀθηναίων ὑψηλὸν ἦρε καὶ κατέστησεν ἰσχυρὸν οὕτως, ὥστε πρῶτον μὲν ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες ἀνηνέγκαμεν χίλια τάλαντα εἰς τὴν ἀκρόπολιν, καὶ νόμῳ κατεκλῄσαμεν ἐξαίρετα εἶναι τῷ δήμῳ, τοῦτο δὲ τριήρεις ἄλλας ἑκατὸν ἐναυπηγησάμεθα, καὶ ταύτας ἐξαιρέτους ἐψηφισάμεθα εἶναι, νεωσοίκους τε ᾠκοδομησάμεθα, χιλίους τε καὶ διακοσίους ἱππέας καὶ τοξότας τοσούτους ἑτέρους κατεστήσαμεν, καὶ τὸ τεῖχος τὸ μακρὸν τὸ νότιον ἐτειχίσθη. ταῦτα ἐκ τῆς εἰρήνης

τῷ δήμῳ om. pr. A. — τῷ Ἀθην. Spengel, W.: τῶν Ἀθ. item § 7.

6. αἰγινίτας s. αἰγηνίτας ABMZ. — κατεστήσαμεν pr. A. — μὲν post πολλὰ addi malit R. — ᾑρέθησαν cum Steph. R.: εὑρέθησαν. — καὶ ante Ἀνδ. add. AB Bk. — ὑμῖν AB Turr. (cf. § 4). — ἐποίησαν auct. Bk. Turr.: ἐποιήσαντο. — τί δέ ABZ Bk. (ci. R.): τί δαί.

7. τὸν Ἀθηναίων Bk. W.: τὸν Ἀθηναῖον MZ, τῶν Ἀθηναίων v. Turr. — εἰρήνην ἄγοντες ci. R. — κατεκλῄσαμεν scripsi: κατεκλείσαμεν. — νεωσοίκους] cf. Harp. s. v. νεώρια (Ἀνδ. ἐν τῷ π. τ. εἰρ., εἰ γνήσιος ὁ λόγος). — post ἐτειχίσθη

τῆς πρὸς Λακεδαιμονίους ἀγαθὰ τῇ πόλει καὶ δύναμις τῷ δήμῳ τῷ Ἀθηναίων ἐγένετο. Πάλιν δὲ 8
διὰ Μεγαρέας πολεμήσαντες καὶ τὴν χώραν τμηθῆναι προέμενοι, πολλῶν ἀγαθῶν στερηθέντες αὖθις τὴν εἰρήνην ἐποιησάμεθα, ἣν ἡμῖν Νικίας ὁ Νικηράτου κατειργάσατο. οἶμαι δ' ὑμᾶς ἅπαντας εἰδέναι τοῦτο, ὅτι διὰ ταύτην τὴν εἰρήνην ἑπτακισχίλια μὲν τάλαντα νομίσματος εἰς τὴν ἀκρόπολιν ἀνηνέγκαμεν, ναῦς δὲ πλείους ἢ τριακοσίας ἐκτη- 9
σάμεθα, καὶ φόρος προσῄει κατ' ἐνιαυτὸν πλέον ἢ διακόσια καὶ χίλια τάλαντα, καὶ Χερρόνησόν τε εἴχομεν καὶ Νάξον καὶ Εὐβοίας πλέον ἢ τὰ δύο μέρη· τάς τε ἄλλας ἀποικίας καθ' ἕκαστον διηγεῖσθαι μακρὸς ἂν εἴη λόγος. ταῦτα δ' ἔχοντες τὰ ἀγαθὰ πάλιν κατέστημεν εἰς πόλεμον πρὸς Λακεδαιμονίους, πεισθέντες καὶ τότε ὑπ' Ἀργείων.

Πρῶτον μὲν οὖν ὦ Ἀθηναῖοι τούτου ἀναμνή- 10
σθητε, τί ὑμῖν ἐξ ἀρχῆς ὑπεθέμην τῷ λόγῳ. ἄλλο τι ἢ τοῦτο, ὅτι διὰ τὴν εἰρήνην οὐδεπώποτε ὁ δῆμος ὁ [τῶν] Ἀθηναίων κατελύθη; οὐκοῦν ἀποδέδεικται. καὶ οὐδεὶς ἐξελέγξει με ὡς οὐκ ἔστι ταῦτα ἀληθῆ. ἤδη δέ τινων ἤκουσα λεγόντων ὡς ἐκ τῆς τελευταίας εἰρήνης τῆς πρὸς Λακεδαιμονίους οἵ τε τριάκοντα κατέστησαν πολλοί τε Ἀθηναίων κώνειον

add. Aesch.: *καὶ τὸν δῆμον οὐδεὶς ἐνεχείρησε καταλῦσαι.* — *τῷ Ἀθ.*] v. ad. § 5.

8. vel *αὖθις* vel *τὴν* del. Ydén.

9. *τριακοσίας* cum Markl. ex Aesch. Turr.: *τετρακοσίας.* cf. Thuc. 2, 13.

10. *ἄλλο τι* ABZ Sl. Bk.: *ἄλλο ὅ τι.* — *ἐξελέγξει* cum Tayl. Sl. Turr.: *ἐξελέγχει.* — *κώνιον* BZM.

11 πιόντες ἀπέθανον, οἱ δὲ φεύγοντες ᾤχοντο. ὁπόσοι
οὖν ταῦτα λέγουσιν, οὐκ ὀρθῶς γιγνώσκουσιν· εἰρήνη
γὰρ καὶ σπονδαὶ πολὺ διαφέρουσι σφῶν αὐτῶν.
εἰρήνην μὲν γὰρ ἐξ ἴσου ποιοῦνται πρὸς ἀλλήλους
ὁμολογήσαντες περὶ ὧν ἂν διαφέρωνται· σπονδὰς
δέ, ὅταν κρατήσωσι κατὰ τὸν πόλεμον, οἱ κρείττους
τοῖς ἥττοσιν ἐξ ἐπιταγμάτων ποιοῦνται, ὥσπερ ἡμῶν
κρατήσαντες Λακεδαιμόνιοι τῷ πολέμῳ ἐπέταξαν
ἡμῖν καὶ (τὰ) τείχη καθαιρεῖν καὶ τὰς ναῦς παρα-
12 διδόναι καὶ τοὺς φεύγοντας καταδέχεσθαι. τότε
μὲν οὖν σπονδαὶ κατ' ἀνάγκην ἐξ ἐπιταγμάτων
ἐγένοντο, νῦν δὲ | περὶ εἰρήνης βουλεύεσθε. σκέ-
ψασθε δὲ ἐξ αὐτῶν τῶν γραμμάτων, ἅ τε ἡμῖν ἐν
τῇ στήλῃ γέγραπται, ἐφ' οἷς τε νῦν ἔξεστι τὴν
εἰρήνην ποιεῖσθαι. ἐκεῖ μὲν γέγραπται τὰ τείχη
καθαιρεῖν, ἐν δὲ τοῖσδε ἔξεστιν οἰκοδομεῖν· ναῦς
ἐκεῖ μὲν δώδεκα κεκτῆσθαι, νῦν δ' ὁπόσας ἂν βου-
λώμεθα· Λῆμνον δὲ καὶ Ἴμβρον καὶ Σκῦρον τότε
μὲν ἔχειν τοὺς (ἐξ ἀρχῆς) ἔχοντας, νῦν δὲ ἡμετέρας
εἶναι· καὶ φεύγοντας νῦν μὲν οὐκ ἐπάναγκες οὐδένα
καταδέχεσθαι, τότε δ' ἐπάναγκες, ἐξ ὧν ὁ δῆμος
κατελύθη. τί ταῦτα ἐκείνοις ὁμολογεῖ; τοσοῦτον
οὖν ἔγωγε ὦ Ἀθηναῖοι διορίζομαι περὶ τούτων,
τὴν μὲν εἰρήνην σωτηρίαν εἶναι τῷ δήμῳ καὶ δύ-

11. εἰρήνην μὲν γὰρ κτέ.] cf. Aesch. § 176, Isocr. 4, 176; 6, 51. — τα τείχη cum R. Bk.: τείχη. cf. 12. 31.

12. vv. ἐφ' οἷς — γέγραπται in mg. add. A. — τὰ τείχη ABZ Bk. (ci. R): τείχη. — σκίρρον ut videtur pr. A[d]; σκίρον A[d] M. cf. § 14. — ἐκεῖνος A[d] BZM. — δήμον cum Canter. Schi. Turr.: δήπου.

ναμιν, τὸν δὲ πόλεμον δήμου κατάλυσιν γίγνεσθαι. περὶ μὲν οὖν τούτων ταῦτα λέγω.

Φασὶ δέ τινες ἀναγκαίως νῦν ἡμῖν ἔχειν πολε- 13
μεῖν· σκεψώμεθα οὖν πρῶτον, ἄνδρες Ἀθηναῖοι, διὰ τί καὶ πολεμήσωμεν. οἶμαι γὰρ ἂν πάντας ἀνθρώπους ὁμολογῆσαι διὰ τάδε δεῖν πολεμεῖν, ἢ ἀδικουμένους ἢ βοηθοῦντας ἠδικημένοις. ἡμεῖς τοίνυν αὐτοί τε ἠδικούμεθα Βοιωτοῖς τε ἀδικουμένοις ἐβοηθοῦμεν. εἰ τοίνυν ἡμῖν τέ ἐστι τοῦτο παρὰ Λακεδαιμονίων, τὸ μηκέτι ἀδικεῖσθαι, Βοιωτοῖς τε δέδοκται ποιεῖσθαι τὴν εἰρήνην ἀφεῖσιν Ὀρχομενὸν
αὐτόνομον, τίνος ἕνεκα πολεμήσωμεν; ἵνα ἡ πόλις 14
ἡμῶν ἐλευθέρα ᾖ; ἀλλὰ τοῦτό γε αὐτῇ ὑπάρχει. ἀλλ' ὅπως ἡμῖν τείχη γένηται; ἔστι καὶ ταῦτα ἐκ τῆς εἰρήνης. ἀλλ' ἵνα τριήρεις ἐξῇ ναυπηγεῖσθαι καὶ τὰς οὔσας ἐπισκευάζειν καὶ κεκτῆσθαι; καὶ τοῦτο ὑπάρχει· τὰς γὰρ πόλεις αὐτονόμους αἱ συνθῆκαι ποιοῦσιν. ἀλλ' ὅπως τὰς νήσους κομισώμεθα, Λῆμνον καὶ Σκῦρον καὶ Ἴμβρον; οὐκοῦν διαρρήδην γέγρα-
πται ταύτας Ἀθηναίων εἶναι. φέρε, ἀλλὰ Χερρό- 15
νησον καὶ τὰς ἀποικίας καὶ τὰ ἐγκτήματα καὶ τὰ χρέα ἵνα ἀπολάβωμεν; ἀλλ' οὔτε βασιλεὺς οὔτε οἱ σύμμαχοι συγχωροῦσιν ἡμῖν, μεθ' ὧν αὐτὰ δεῖ πολεμοῦντας κτήσασθαι. ἀλλὰ νὴ Δία ἕως ἂν Λακε-

13. ὦ ἄνδρες ZM Bk. — γὰρ] . . A pr. — ἂν πάντας A Bk.: ἅπαντας. sed πάντας ἀνθρώπ in A a corr. scripta sunt; . . . . pr. — ἀδικουμένους] ἠδικημένους pr. A. ἀφεῖσιν R.: ἀφήσειν.

14. ἡμῶν A[d] B: ἡμῖν. — ναυπηγεῖσθαι ABZ Bk. (ci. R.): ναυπηγῆσαι. — σκίρον corr. A, pr. vel σκῦρον vel σκίρρον (hoc sec. Dobs.).

15. ἐγκτήματα Valck. R.: ἐγκλήματα. — ἀπολαύωμεν A. —

*δαιμονίους καταπολεμήσωμεν καὶ τοὺς συμμάχους
αὐτῶν, μέχρι τούτου δεῖ πολεμεῖν; ἀλλ' οὔ μοι
δοκεῖ οὕτω παρεσκευάσθαι. ἐὰν δὲ ἄρα κατεργασώ-
μεθα, τί ποτε αὐτοὶ πείσεσθαι δοκοῦμεν ὑπὸ τῶν*
16 *βαρβάρων, ὅταν ταῦτα πράξωμεν; εἰ τοίνυν περὶ
τούτου μὲν ἔδει πολεμεῖν, χρήματα δὲ ὑπῆρχεν ἡμῖν
ἱκανά, τοῖς δὲ σώμασιν ἦμεν δυνατοί, οὐδὲ οὕτως
ἔδει πολεμεῖν. εἰ δὲ μήτε δι' ὅ τι μήτε ὅτοισι μήτε
ἀφ' ὅτου πολεμήσωμεν ἔστι, πῶς οὐκ ἐκ παντὸς
τρόπου τὴν εἰρήνην ποιητέον ἡμῖν;*
17 *Σκέψασθε δὲ ὦ Ἀθηναῖοι καὶ τόδε, ὅτι νυνὶ
πᾶσι τοῖς Ἕλλησι κοινὴν εἰρήνην καὶ ἐλευθερίαν
πράττετε, καὶ μετέχειν ἅπασι πάντων ἐξουσίαν
ποιεῖτε. ἐνθυμήθητε οὖν τῶν πόλεων τὰς μεγίστας,
τίνι τρόπῳ τὸν πόλεμον καταλύονται. πρῶτον μὲν
Λακεδαιμονίους, οἵτινες ἀρχόμενοι μὲν ἡμῖν καὶ τοῖς
συμμάχοις πολεμεῖν ἦρχον καὶ κατὰ γῆν καὶ κατὰ
θάλατταν, νῦν δ' αὐτοῖς ἐκ τῆς εἰρήνης οὐδέτερον*
18 *τούτων ὑπάρχει. καὶ οὐχ ὑφ' ἡμῶν ἀναγκαζόμενοι
ταῦτ' ἀφιᾶσιν, ἀλλ' ἐπ' ἐλευθερίᾳ πάσης τῆς Ἑλλά-
δος. νενικήκασι γὰρ τρὶς ἤδη μαχόμενοι, τοτὲ μὲν
ἐν Κορίνθῳ πάντας πανδημεὶ τοὺς συμμάχους
παρόντας, οὐχ ὑπολιπόντες πρόφασιν οὐδεμίαν, ἀλλ'
ἐν τῷ κρατιστεύειν μόνοι πάντων, αὖθις δ' ἐν*

δοκεῖ (ἡ πόλις), vel *δοκεῖτε*, vel *δοκοῦμεν* ci. R. — *παρασκευάσθαι* BZ et pr. A.

17. *αὐτοῖς* AB Bk. (ci. R.): *αὔτως*.

18. *οὐχ* ante *ὑφ'* add. ABZ Bk. (ci. R.). — *ὑμῶν* AB. — *τοτὲ μὲν* S.: *τότε μὲν*. cf. Voemel. ad Dem. Phil. 3, 58. — *ἀλλ' ἢ τὸ κρ.* Luz., *ἀλλ' ἢ τῷ* Linder. — *δ' ἐν Βοιωτοῖς* S. Turr.: *δὲ βοιωτοῖς* ABMZ, *δὲ Βοιωτούς* v. —

*Βοιωτοῖς, ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο, τὸν αὐτὸν
τρόπον καὶ τότε τὴν νίκην ἐποιήσαντο, τρίτον δ'
ἡνίκα Λέχαιον ἔλαβον, Ἀργείους μὲν ἅπαντας καὶ
Κορινθίους, ἡμῶν δὲ καὶ Βοιωτῶν τοὺς παρόντας.
τοιαῦτα δ' ἔργα ἐπιδειξάμενοι τὴν εἰρήνην εἰσὶν* 19
*ἕτοιμοι ποιεῖσθαι τὴν ἑαυτῶν ἔχοντες, οἱ ἐνίκων
μαχόμενοι, καὶ τὰς πόλεις αὐτονόμους εἶναι καὶ
τὴν θάλατταν κοινὴν ἐῶντες τοῖς ἡττημένοις. καίτοι
ποίας τινὸς ἂν ἐκεῖνοι παρ' ἡμῶν εἰρήνης ἔτυχον,
εἰ μίαν μόνον μάχην ἡττήθησαν; Βοιωτοὶ δ' αὖ* 20
*πῶς τὴν εἰρήνην ποιοῦνται; οἵτινες τὸν μὲν πόλε-
μον ἐποιήσαντο ἕνεκα Ὀρχομενοῦ, ὡς οὐκ ἐπιτρέ-
ψοντες αὐτόνομον εἶναι, νῦν δὲ | τεθνεώτων μὲν* 26
*αὐτοῖς ἀνδρῶν τοσούτων τὸ πλῆθος, τῆς δὲ γῆς
ἐκ μέρους τινὸς τετμημένης, χρήματα δ' εἰσενηνο-
χότες πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ὧν στέρονται,
πολεμήσαντες δὲ ἔτη τέτταρα, ὅμως Ὀρχομενὸν
ἀφέντες αὐτόνομον τὴν εἰρήνην ποιοῦνται καὶ ταῦτα
μάτην πεπόνθασιν· ἐξῆν γὰρ αὐτοῖς καὶ τὴν ἀρχὴν
ἐῶσιν Ὀρχομενίους αὐτονόμους εἰρήνην ἄγειν. οὗτοι
δ' αὖ τούτῳ τῷ τρόπῳ τὸν πόλεμον καταλύονται.
ἡμῖν δὲ ὦ Ἀθηναῖοι πῶς ἔξεστι τὴν εἰρήνην ποιή-* 21
*σασθαι; ποίων τινῶν Λακεδαιμονίων τυγχάνοντας;
καὶ γὰρ εἴ τις ὑμῶν ἀχθεσθήσεται παραιτοῦμαι·
τὰ γὰρ ὄντα λέξω. πρῶτον μὲν γὰρ ἡνίκα ἀπω-
λέσαμεν τὰς ναῦς ἐν Ἑλλησπόντῳ καὶ τειχήρεις*

καὶ τότε Sl. Turr.: *καὶ ὅτε*.
19. *εἰ μὴ μ . . .* (om. *μόνον*?) A pr. *μόνον* AB Bk.: *μόνην*.
20. *τετμημέν.ς* A pr. — *τῷ* post *τούτῳ* om. AB.
21. *τὰ γὰρ*] *γὰρ* ABZM. — malim (*τὰς*) *ἐν Ἑλλ.* coll.

ἐγενόμεθα, τίνα γνώμην ἔθεντο περὶ ἡμῶν οἱ νῦν μὲν ἡμέτεροι τότε δὲ Λακεδαιμονίων ὄντες σύμμαχοι; οὐ τὴν πόλιν ἡμῶν ἀνδραποδίζεσθαι καὶ τὴν χώραν ἐρημοῦν; οἱ δὲ διακωλύσαντες ταῦτα μὴ γενέσθαι τίνες ἦσαν; οὐ Λακεδαιμόνιοι, τοὺς μὲν συμμάχους ἀποτρέψαντες τῆς γνώμης, αὐτοὶ δ' οὐδ' ἐπιχειρήσαντες διαβουλεύσασθαι περὶ τοιούτων ἔρ-
22 *γων; μετὰ δὲ τοῦτο ὅρκους ὀμόσαντες αὐτοῖς καὶ τὴν στήλην εὑρόμενοι παρ' αὐτῶν στῆσαι, κακὸν ἀγαπητὸν ἐν ἐκείνῳ τῷ χρόνῳ, σπονδὰς ἤγομεν ἐπὶ ῥητοῖς. εἶτα δὲ συμμαχίαν ποιησάμενοι, Βοιωτοὺς καὶ Κορινθίους ἀποστήσαντες αὐτῶν, Ἀργείους δὲ ἀγαγόντες εἰς τὴν ποτὲ φιλίαν, αἴτιοι τῆς ἐν Κορίνθῳ μάχης ἐγενόμεθα αὐτοῖς. τίνες δὲ βασιλέα πολέμιον αὐτοῖς ἐποίησαν, καὶ Κόνωνι τὴν ναυμαχίαν παρεσκεύασαν, δι' ἣν ἀπώλεσαν τὴν*
23 *ἀρχὴν τῆς θαλάττης; ὅμως τοίνυν ταῦτα πεπονθότες ὑφ' ἡμῶν συγχωροῦσι ταῦτα ἅπερ οἱ σύμμαχοι, καὶ διδόασιν ἡμῖν τὰ τείχη καὶ τὰς ναῦς καὶ τὰς νήσους ἡμῶν εἶναι. ποίαν τιν' οὖν χρὴ εἰρήνην πρεσβεύοντας ἥκειν; οὐ ταῦτα παρὰ τῶν πολεμίων εὑρομένους ἅπερ οἱ φίλοι διδόασι, καὶ δι' ἅπερ ἠρξάμεθα πολεμεῖν, ἵνα ἡμῶν γένηται τῇ πόλει, ταῦτα; οἱ μὲν τοίνυν ἄλλοι τὴν εἰρήνην*

Isocr. 7, 64. — *ἡμῶν* Bait.: *ὑμῶν*. — *ἀνδραποδίζεσθαι*] *καὶ δῃοῦν* add. ZM.

22. *δὲ* post *μετὰ* add. AB Bk. — *παρ' αὐτῶν*] *αὐτῶν* ABZM. — *ποτὲ*] *πρότερον* Osann (ed. I.). — *ναυαρχίαν* Emp., *ναυκρατίαν* Linder.

23. *ταὐτὰ ἅπερ* et *ταὐτὰ παρὰ* cum Osann. Bait. — *εὑρομένους* AB R. Bk.: *εὑρομένοις*. — *πόλει, ταῦτα* mal. S.: *πόλει ταῦτα*. —

ποιοῦνται τῶν ὑπαρχόντων ἀφιέντες, ἡμεῖς δὲ προςλαμβάνοντες αὐτὰ ὧν μάλιστα δεόμεθα.

Τί οὖν ἐστιν ὑπόλοιπον περὶ ὅτου δεῖ βουλεύε- 24
σθαι; ναί, περὶ ὧν αὖ ἡμᾶς Ἀργεῖοι προκαλοῦνται. πρῶτον μὲν περὶ Κορίνθου διδαξάτω μέ τις· Βοιωτῶν μὴ συμπολεμούντων, εἰρήνην δὲ ποιουμένων πρὸς Λακεδαιμονίους, τίνος ἐστὶν ἡμῖν ἀξία Κόρινθος; ἀναμνήσθητε γὰρ ὦ Ἀθηναῖοι τῆς ἡμέρας ἐκεί- 25
νης, ὅτε Βοιωτοῖς τὴν συμμαχίαν ἐποιούμεθα, τίνα γνώμην ἔχοντες ταῦτα ἐπράττομεν. οὐχ ὡς ἱκανὴν οὖσαν τὴν Βοιωτῶν δύναμιν μεθ' ἡμῶν γενομένην κοινῇ πάντας ἀνθρώπους ἀμύνασθαι; νῦν δὲ βουλευώμεθα, Βοιωτῶν εἰρήνην ποιουμένων πῶς δυνατοὶ Λακεδαιμονίοις πολεμεῖν ἐσμεν ἄνευ Βοιω-
τῶν. ναί, φασί τινες, ἂν Κόρινθόν τε φυλάττω- 26
μεν καὶ συμμάχους ἔχωμεν Ἀργείους. ἰόντων δὲ Λακεδαιμονίων εἰς Ἄργος πότερον βοηθήσομεν αὐτοῖς ἢ οὔ; πολλὴ γὰρ ἀνάγκη ὁπότερον τούτων ἑλέσθαι. μὴ βοηθούντων μὲν οὖν ἡμῶν οὐδὲ λόγος ὑπολείπεται μὴ οὐκ ἀδικεῖν καὶ ποιεῖν (ἂν) Ἀργείους ὁποῖον ἄν τι βούλωνται δικαίως· βοηθούντων δὲ ἡμῶν εἰς Ἄργος οὐχ ἕτοιμον μάχεσθαι Λακεδαιμονίοις; ἵνα ἡμῖν τί γένηται; ἵνα ἡττώμενοι

αὐτὰ] αὐτῶν dedisse videtur pr. A.

24. ναί, περὶ ὧν scripsi coll. § 26: καὶ περὶ ὧν. — αὖ cum G. Herm. Turr. Schi.: ἂν. — προκαλοῦνται ZM ci. R. Dobr.: προσκαλοῦνται.

25. βουλευώμεθα AB Turr.: βουλευόμεθα.

26. ναί AB Bk. (ci. R.): καί. — ἰόντων] ὄντων ABZM. — ἡμῶν Bait.: ὑμῶν. — καὶ ποιεῖν (ἂν) Ἀργ. scripsi (similiter iam Sl. Dobr. Bait.): Ἀργείους καὶ ποιεῖν (Ἀργ. om. Z). — Λακεδαιμονίοις AB Bk.: πρὸς Λακεδαιμονίους. —

μὲν καὶ τὴν οἰκείαν χώραν ἀπολέσωμεν πρὸς τῇ
Κορινθίων, νικήσαντες δὲ τὴν Κορινθίων Ἀργείων
27 *ποιήσωμεν. οὐχ ἕνεκα τούτων πολεμήσομεν; Σκεψώ-*
μεθα δὴ καὶ τοὺς Ἀργείων λόγους. κελεύουσι γὰρ
ἡμᾶς κοινῇ μετὰ σφῶν καὶ μετὰ Κορινθίων πολε-
μεῖν, αὐτοὶ δ' ἰδίᾳ εἰρήνην ποιησάμενοι τὴν χώραν
οὐ παρέχουσιν ἐμπολεμεῖν. καὶ μετὰ μὲν πάντων
τῶν συμμάχων τὴν εἰρήνην ποιουμένους οὐκ ἐῶσιν
ἡμᾶς οὐδὲν πιστεύειν Λακεδαιμονίοις· ἃ δὲ πρὸς
τούτους μόνους ἐκεῖνοι συνέθεντο, ταῦτ' οὐδεπώ-
ποτ' αὐτούς φασι παραβῆναι. πατρίαν δὲ εἰρήνην
ὀνομάζοντες ᾗ χρῶνται, τοῖς δὲ ἄλλοις Ἕλλησιν
27 *οὐκ ἐῶσι πατρίαν | γενέσθαι τὴν εἰρήνην· ἐκ γὰρ*
τοῦ πολέμου χρονισθέντος Κόρινθον ἑλεῖν προσ-
δοκῶσι, κρατήσαντες δὲ τούτων ὑφ' ὧν ἀεὶ κρα-
τοῦνται, καὶ τοὺς συννικῶντας ἐλπίζουσι παραστή-
σεσθαι.

28 *Τοιούτων δ' ἐλπίδων μετασχόντας ἡμᾶς δεῖ δυοῖν*
θάτερον ἑλέσθαι, ἢ πολεμεῖν μετὰ Ἀργείων Λακε-
δαιμονίοις, ἢ μετὰ Βοιωτῶν κοινῇ τὴν εἰρήνην
ποιεῖσθαι. ἐγὼ μὲν οὖν ἐκεῖνο δέδοικα μάλιστα, ὦ
Ἀθηναῖοι, τὸ εἰθισμένον κακόν, ὅτι τοὺς κρείττους
φίλους ἀφιέντες ἀεὶ τοὺς ἥττους αἱρούμεθα, καὶ
πόλεμον ποιούμεθα δι' ἑτέρους, ἐξὸν δι' ἡμᾶς
29 *αὐτοὺς εἰρήνην ἄγειν· οἵτινες πρῶτον μὲν βασιλεῖ*

ἀπολέσομεν et *ποιήσομεν* A. — *πολεμήσωμεν* ABZM.
27. *ἐμπολεμεῖν*] *ἐμ* a corr. habet A. — *ποιουμένους* R.: *ποιουμένοις* (Bk. Turr.). — *φησὶ* ABZM. — *δὲ* ante *ἄλλοις* del. R. Hi. — *συννικῶντας* ABZ Bk. (ci. R.): *συνοικοῦντας*. — *ἐλπίζουσι παραστήσεσθαι* cum R. Bk.: *ἐλπίζουσιν ἀποστήσεσθαι.*

τῷ μεγάλῳ — χρὴ γὰρ ἀναμνησθέντας τὰ γεγενημένα καλῶς βουλεύσασθαι — σπονδὰς ποιησάμενοι καὶ συνθέμενοι φιλίαν εἰς τὸν ἅπαντα χρόνον, ἃ ἡμῖν ἐπρέσβευσεν Ἐπίλυκος Τεισάνδρου, τῆς μητρὸς τῆς ἡμετέρας ἀδελφός, (μετὰ) ταῦτα Ἀμόργῃ πειθόμενοι τῷ δούλῳ τῷ βασιλέως καὶ φυγάδι τὴν μὲν βασιλέως δύναμιν ἀπεβαλόμεθα ὡς οὐδενὸς οὖσαν ἀξίαν, τὴν δὲ Ἀμόργου φιλίαν εἱλόμεθα, κρείττω νομίσαντες εἶναι· ἀνθ' ὧν βασιλεὺς ὀργισθεὶς ἡμῖν, σύμμαχος γενόμενος Λακεδαιμονίοις, παρέσχεν αὐτοῖς εἰς τὸν πόλεμον πεντακισχίλια τάλαντα, ἕως κατέλυσεν ἡμῶν τὴν δύναμιν. ἓν μὲν βούλευμα τοιοῦτον ἐβουλευσάμεθα· Συρακούσιοι δ' ὅτε ἦλθον ἡμῶν δεόμενοι, φιλότητα μὲν ἀντὶ διαφορᾶς ἐθέλοντες εἰρήνην δ' ἀντὶ πολέμου ποιεῖσθαι, τήν τε συμμαχίαν ἀποδεικνύντες ὅσῳ κρείττων ἡ σφετέρα εἴη τῆς Ἐγεσταίων καὶ Καταναίων, εἰ βουλοίμεθα πρὸς αὐτοὺς ποιεῖσθαι, ἡμεῖς τοίνυν εἱλόμεθα καὶ τότε πόλεμον μὲν ἀντὶ εἰρήνης, Ἐγεσταίους δὲ ἀντὶ Συρακουσίων, στρατεύεσθαι δ' εἰς Σικελίαν ἀντὶ τοῦ μένοντες οἴκοι συμμάχους ἔχειν Συρακουσίους· ἐξ ὧν πολλοὺς μὲν Ἀθηναίων ἀπολέσαντες ἀριστίνδην καὶ τῶν συμμάχων, πολλὰς

29. num (περὶ τῶν παρόντων) καλῶς βουλεύσασθαι? — Τεισάνδρου scripsi: Τισάνδρου (ὁ Τισάνδρου mal. Bait., sicut est 1, 117). — (μετὰ) ταῦτα ci. R., εἶτα Sl. — τῷ βασ. postul. Bk.: τοῦ βασ. cf. 1, 107. — οὐδενὸς cum R. Bk.: οὐδὲν. — οἷς κατέλυσαν Sl. (κατέλυσαν mal. etiam R.).

30. Συρρακ. ubique pr. A. — τῆς Ἐγ. καὶ Κ. Fuhr.: τῶν Ἐ. καὶ τῶν Κ. (τῆς τῶν mal. R.). — εἰ βουλοίμεθα Bk. cum R. (et ABZ teste Bk.): εἰ βουλόμεθα A[d] M; ἢν βουλώμ. v. — μένοντες scripsi cum Li.: μένοντας.

δὲ ναῦς καὶ χρήματα καὶ δύναμιν ἀποβαλόντες,
31 *αἰσχρῶς διεκομίσθησαν οἱ σωθέντες αὐτῶν. ὕστε-*
ρον δ' ὑπ' Ἀργείων ἐπείσθημεν, οἵπερ νῦν ἥκουσι
πείθοντες πολεμεῖν, πλεύσαντες ἐπὶ τὴν Λακωνικὴν
εἰρήνης ἡμῖν οὔσης πρὸς Λακεδαιμονίους ἐκτεῖναι
τὸν θυμόν, ἀρχὴν πολλῶν κακῶν· ἐξ οὗ πολεμή-
σαντες ἠναγκάσθημεν τὰ τείχη κατασκάπτειν καὶ
τὰς ναῦς παραδιδόναι καὶ τοὺς φεύγοντας κατα-
δέχεσθαι. ταῦτα δὲ πασχόντων ἡμῶν οἱ πείσαντες
ἡμᾶς πολεμεῖν Ἀργεῖοι τίνα ὠφέλειαν παρέσχον
ἡμῖν; τίνα δὲ κίνδυνον ὑπὲρ [τῶν] Ἀθηναίων
32 *ἐποιήσαντο; νῦν οὖν τοῦτο ὑπόλοιπόν ἐστιν ἡμῖν,*
πόλεμον μὲν ἑλέσθαι καὶ νῦν ἀντ' εἰρήνης, τὴν δὲ
συμμαχίαν Ἀργείων ἀντὶ τῆς Βοιωτῶν, Κορινθίων
δὲ τοὺς νῦν ἔχοντας τὴν πόλιν ἀντὶ Λακεδαιμο-
νίων. μὴ δῆτα, ὦ Ἀθηναῖοι, μηδεὶς ἡμᾶς ταῦτα
πείσῃ· τὰ γὰρ παραδείγματα τὰ γεγενημένα τῶν
ἁμαρτημάτων ἱκανὰ τοῖς σώφροσι τῶν ἀνθρώπων
ὥστε μηκέτι ἁμαρτάνειν.

33 *Εἰσὶ δέ τινες ὑμῶν οἳ τοσαύτην ὑπερβολὴν τῆς ἐπιθυμίας ἔχουσιν εἰρήνην ὡς τάχιστα γενέσθαι· φασὶ γὰρ καὶ τὰς τετταράκονθ' ἡμέρας ἐν αἷς ὑμῖν ἔξεστι βουλεύεσθαι περίεργον εἶναι, καὶ τοῦτο ἀδι-κεῖν ἡμᾶς· αὐτοκράτορας γὰρ πεμφθῆναι εἰς Λακε-*

31. *οἵπερ (καὶ) νῦν* Emp. — *ἐκτεῖναι*] *ἐκείνων κινεῖν* ci. R., *κινεῖν αὐτῶν* Sl., *ἐκκαλεῖν αὐτῶν* ed. I, *ἐκφῆναι* s. *ἐκθεῖναι* Emp. — *ἡμᾶς*] *ὑμᾶς* corr. A, om. pr. A, nescio an recte. — *τῶν* ante *Ἀθ.* del. Pertz. Fuhr.

32. num (*τὴν*) *Ἀργείων*? — *πείσει* A.

33. *τετταράκονθ'* scripsi: *τεσσαράκονθ'*. — *ὑμῖν* Bk. Dobr.: *ἡμῖν*. —

δαίμονα διὰ ταῦθ', ἵνα μὴ πάλιν ἐπαναφέρωμεν. τήν τε ἀσφάλειαν ἡμῶν τῆς ἐπαναφορᾶς δέος ὀνομάζουσι, λέγοντες ὡς οὐδεὶς πώποτε τὸν δῆμον τὸν Ἀθηναίων ἐκ τοῦ φανεροῦ πείσας ἔσωσεν, ἀλλὰ δεῖ λαθόντας ἢ ἐξαπατήσαντας αὐτὸν εὖ ποιῆσαι. τὸν λόγον οὖν τοῦτον οὐκ ἐπαινῶ. φημὶ γάρ, ὦ 34
Ἀθηναῖοι, πολέμου μὲν ὄντος ἄνδρα στρατηγὸν τῇ πόλει τε εὔνουν εἰδότα τε ὅ τι πράττοι, λανθάνοντα δεῖν τοὺς πολλοὺς τῶν ἀνθρώπων καὶ ἐξαπατῶντα ἄγειν ἐπὶ τοὺς κινδύνους, εἰρήνης δὲ πέρι πρεσβεύοντας κοινῆς τοῖς Ἕλλησιν, ἐφ' οἷς ὅρκοι τε ὀμοσθήσονται στῆλαί τε σταθήσονται γεγραμμέναι, ταῦτα δὲ οὔτε λαθεῖν οὔτε ἐξαπατῆσαι δεῖν, ἀλλὰ πολὺ μᾶλλον ἐπαινεῖν ἢ ψέγειν, εἰ πεμφθέντες αὐτοκράτορες ἔτι ἀπεδώκαμεν ὑμῖν | περὶ 28
αὐτῶν σκέψασθαι. βουλεύσασθαι μὲν οὖν ἀσφαλῶς χρὴ κατὰ δύναμιν, οἷς δ' ἂν ὀμόσωμεν καὶ συνθώμεθα, τούτοις ἐμμένειν. οὐ γὰρ μόνον, ὦ Ἀθη- 35
ναῖοι, πρὸς γράμματα τὰ γεγραμμένα δεῖ βλέποντας πρεσβεύειν ἡμᾶς, ἀλλὰ καὶ πρὸς τοὺς τρόπους τοὺς ὑμετέρους. ὑμεῖς γὰρ περὶ μὲν τῶν ἑτοίμων ὑμῖν ὑπονοεῖν εἰώθατε καὶ δυσχεραίνειν, τὰ δ' οὐκ ὄντα λογοποιεῖν ὡς ἔστιν ὑμῖν ἕτοιμα· κἂν μὲν πολεμεῖν δέῃ, τῆς εἰρήνης ἐπιθυμεῖτε, ἐὰν δέ τις ὑμῖν τὴν εἰρήνην πράττῃ, λογίζεσθε τὸν πόλεμον

διὰ ταῦθ' cum R. Turr.: *διὰ ταύτην.* — *τὸν Ἀθ.* Spengel W.: *τῶν Ἀθ.* — *ἀλλὰ δεῖν* Valck. — *λαθ. καὶ ἐξαπατ.* Hi. coll. 34.

34. *πράττῃ* Ydén Hertlein. — *τοὺς* ante *κινδύνους* om. pr. A. — *ἐξαπατῆσαι δεῖ* pr. A. — *ἔτι* ci. R.: *τι.* — *ἀπεδώκαμεν* scripsi: *ἀποδώσομεν.* — *ἡμῖν* A[d].

36 ὅσα ἀγαθὰ ὑμῖν κατειργάσατο. ὅπου καὶ νῦν ἤδη
τινὲς λέγουσιν οὐ γιγνώσκειν τὰς διαλλαγὰς αἵτι-
νές εἰσιν, τείχη καὶ νῆες εἰ γενήσονται τῇ πόλει·
τα γὰρ ἴδια τὰ σφέτερ᾽ αὐτῶν ἐκ τῆς ὑπερορίας
οὐκ ἀπολαμβάνειν, ἀπὸ δὲ τῶν τειχῶν οὐκ εἶναι
σφίσι τροφήν. ἀναγκαίως οὖν ἔχει καὶ πρὸς ταῦτ᾽
ἀντειπεῖν.
37 Ἦν γάρ ποτε χρόνος, ὦ Ἀθηναῖοι, ὅτε τείχη
καὶ ναῦς οὐκ ἐκεκτήμεθα· γενομένων δὲ τούτων
τὴν ἀρχὴν ἐποιησάμεθα τῶν ἀγαθῶν. ὧν εἰ καὶ
νῦν ἐπιθυμεῖτε, ταῦτα κατεργάσασθε. ταύτην δὲ
λαβόντες ἀφορμὴν οἱ πατέρες ἡμῶν κατειργάσαντο
τῇ πόλει δύναμιν τοσαύτην ὅσην οὔπω τις ἄλλη
πόλις ἐκτήσατο, τὰ μὲν πείσαντες τοὺς Ἕλληνας,
τὰ δὲ λαθόντες, τὰ δὲ πριάμενοι, τὰ δὲ βιασάμε-
38 νοι· πείσαντες μὲν οὖν Ἀθήνησι ποιήσασθαι τῶν
κοινῶν χρημάτων Ἑλληνοταμίας, καὶ τὸν σύλλογον
τῶν νεῶν παρ᾽ ἡμῖν γενέσθαι, ὅσαι δὲ τῶν πόλεων
τριήρεις μὴ κέκτηνται, ταύταις ἡμᾶς παρέχειν·
λαθόντες δὲ Πελοποννησίους τειχισάμενοι τὰ τείχη·
πριάμενοι δὲ παρὰ Λακεδαιμονίων μὴ δοῦναι τού-
των δίκην· βιασάμενοι δὲ τοὺς ἐναντίους τὴν ἀρχὴν
τῶν Ἑλλήνων κατειργασάμεθα. καὶ ταῦτα τὰ ἀγαθὰ
39 ἐν ὀγδοήκοντα καὶ πέντε ἡμῖν ἔτεσιν ἐγένετο. κρα-

35. ἡμῖν τὴν εἰρήνην A^d. — λογίζεσθαι A^d. — ἡμῖν κατειργ. A^d M.

37. οὐκ ἐκεκτήμεθα Hi.: οὐκ εκτήμεθα AB, οὐκ ἐκτήμεθα Bk. (ed. I.), οὐκ ἐκτώμεθα v. — γενομένων δέ, ταύτην ἀρχὴν Hi.

38. Ἑλληνοτ.] cf. Harp. (Ἀ. ἐν τῷ π. τ. εἰρήνης, εἰ γνήσιος). — λαθόντας et Πελοπονησίους pr. A. — τειχισάμενοι Emp.: ἐτειχίσαμεν. — malim ἐναντιουμένους.

τηθέντες δὲ τῷ πολέμῳ τά τε ἄλλα ἀπωλέσαμεν, καὶ τὰ τείχη καὶ τὰς ναῦς ἔλαβον ἡμῶν ἐνέχυρα Λακεδαιμόνιοι, τὰς μὲν παραλαβόντες, τὰ δὲ καθελόντες, ὅπως μὴ πάλιν ταῦτ' ἔχοντες ἀφορμὴν δύναμιν τῇ πόλει κατασκευάσαιμεν. πεισθέντες τοίνυν ὑφ' ἡμῶν Λακεδαιμόνιοι πάρεισι νυνὶ πρέσβεις αὐτοκράτορες, τά τε ἐνέχυρα ἡμῖν ἀποδιδόντες, καὶ τὰ τείχη καὶ ναῦς ἐῶντες κεκτῆσθαι, τάς τε νήσους ἡμετέρας εἶναι. τὴν αὐτὴν τοίνυν ἀρχὴν 40
ἀγαθῶν λαμβάνοντας ἥνπερ ἡμῶν ἐλάμβανον οἱ πρόγονοι, ταύτην οὐκ ἀκτέον φασὶ τὴν εἰρήνην τινὲς εἶναι. παριόντες οὖν αὐτοὶ διδασκόντων ὑμᾶς — ἐξουσίαν δ' αὐτοῖς ἡμεῖς ἐποιήσαμεν, προσθέντες τετταράκοντα ἡμέρας βουλεύσασθαι — τοῦτο μὲν τῶν γεγραμμένων εἴ τι τυγχάνει μὴ καλῶς ἔχον· ἔξεστι γὰρ ἀφελεῖν· τοῦτο δ' εἴ τίς (τι) προσθεῖναι βούλεται, πείσας ὑμᾶς προσγραψάτω. πᾶσί τε τοῖς γεγραμμένοις χρωμένοις ἔστιν εἰρήνην ἄγειν. εἰ δὲ μηδὲν ἀρέσκει τούτων, πολεμεῖν ἕτοιμον. καὶ 41
ταῦτ' ἐφ' ὑμῖν πάντ' ἐστίν, ὦ Ἀθηναῖοι, τούτων ὅ τι ἂν βούλησθε ἑλέσθαι. πάρεισι μὲν γὰρ Ἀργεῖοι καὶ Κορίνθιοι διδάξοντες ὡς ἄμεινόν ἐστι πολεμεῖν, ἥκουσι δὲ Λακεδαιμόνιοι πείσοντες ὑμᾶς εἰρήνην ποιήσασθαι. τούτων δ' ἐστὶ τὸ τέλος παρ'

39. τὰς μὲν R.: τὰ μέν. — malim cum Hi. ταύτην ἔχοντες ἀφ. sicut est § 37. — τάς τε ZM: τὰς δὲ.

40. διδασκ. ὑμᾶς Sl. Bait: διδ. ἡμᾶς. — προθέντες mal. R. — εἴ τι] ἔτι ABZM. — εἴ (τί) τις mal. Turr.: εἴ τις πρ. (τι) Sl.

41. ἐφ' ἡμῖν A[d] M. — πάντ' AB Bk.: πᾶσιν. — ἑλέσθαι ABZM Turr.: ἕλεσθε. — ποιήσασθαι Steph.: ποιήσεσθαι. —

ὑμῖν, ἀλλ᾽ οὐκ ἐν Λακεδαιμονίοις, δι᾽ ἡμᾶς. πρεσβευτὰς οὖν πάντας ὑμᾶς ἡμεῖς οἱ πρέσβεις ποιοῦμεν· ὁ γὰρ τὴν χεῖρα μέλλων ὑμῶν αἴρειν, οὗτος ὁ πρεσβεύων ἐστίν, ὁπότερ᾽ ἂν αὐτῷ δοκῇ, καὶ τὴν εἰρήνην καὶ τὸν πόλεμον ποιεῖν. μέμνησθε μὲν οὖν ὦ Ἀθηναῖοι τοὺς ἡμετέρους λόγους, ψηφίσασθε δὲ τοιαῦτα ἐξ ὧν ὑμῖν μηδέποτε μεταμελήσει. |

4.

[ΑΝΔΟΚΙΔΟΥ] ΚΑΤΑ ΑΛΚΙΒΙΑΔΟΥ.

ΥΠΟΘΕΣΙΣ.

Ἀνδοκίδης Ἀλκιβιάδου κατηγορεῖ τοῦ Κλεινίου ὡς καὶ τὰ τῆς πόλεως καὶ τὰ τῶν συμμάχων διαφθείραντος καὶ κατὰ τὸν ἴδιον βίον πλεῖστα ἡμαρτηκότος· τοῦ δὲ δήμου βουλευομένου καὶ αὐτὸν ἐξοστρακίσαι τὸν Ἀνδοκίδην πρῶτον παραγράφεται, λέγων ἤδη ἀπολελογῆσθαι καὶ ἀνεύθυνος εἶναι. εἰρήκαμεν γὰρ πολλάκις ὅτι δεῖ τὸν τοῖς αὐτοῖς ἐγκλήμασι δοκοῦντα ἐνέχεσθαι πρῶτον ἑαυτὸν ἐλευθεροῦν, εἶτα διαβάλλειν. τὴν δὲ στάσιν οἱ μέν φασιν ὁρικὴν εἶναι, οἱ δὲ πραγματικήν. ἠκριβωμένη δὲ ἡ στάσις κατὰ μὲν τὴν ἀρχὴν μετάληψίς ἐστι (παραγράφεται γάρ), ἐν δὲ τοῖς ὑστέροις πραγματική· δίκαιον γάρ φησι καὶ συμφέρον ἐξοστρακισθῆναι Ἀλκιβιάδην.

Οὐκ ἐν τῷ παρόντι μόνον γιγνώσκω τῶν πολιτικῶν πραγμάτων ὡς σφαλερόν ἐστιν ἅπτεσθαι, ἀλλὰ

δι᾽ ἡμᾶς cum R. Bk.: *δι᾽ ὑμᾶς*. — *ὁ πρεσβ. ἔσται* Dobr. — *δοκεῖ* A et pr. M. — *ποιεῖν* ABZ Bk.: *ποιῶν* (*ποιεῖσθαι* non recte Hi.). — *τοιαῦτα* AB Bk.: *ταῦτα*.

Or. IV. [*ΑΝΔΟΚΙΔΟΥ*] Turr.: *ΑΝΔΟΚΙΔΟΥ*. — *Ὑπόθ.*] *εἰρήκαμεν* cum R. Bk.: *εἴρηκε μὲν* (*εἴρηται μὲν* Z et corr. M.)

καὶ πρότερον χαλεπὸν ἡγούμην, πρὶν τῶν κοινῶν ἐπιμελεῖσθαί τινος. πολίτου δὲ ἀγαθοῦ νομίζω προκινδυνεύειν ἐθέλειν τοῦ πλήθους, καὶ μὴ καταδείσαντα τὰς ἔχθρας τὰς ἰδίας ὑπὲρ τῶν δημοσίων ἔχειν ἡσυχίαν· διὰ μὲν γὰρ τοὺς τῶν ἰδίων ἐπιμελουμένους οὐδὲν αἱ πόλεις μείζους καθίστανται, διὰ δὲ τοὺς τῶν κοινῶν μεγάλαι καὶ ἐλεύθεραι γίγνονται. ὧν εἷς ἐγὼ βουληθεὶς ἐξετάζεσθαι μεγίστοις 2
περιπέπτωκα κινδύνοις, προθύμων μὲν καὶ ἀγαθῶν ἀνδρῶν ὑμῶν τυγχάνων, δι' ὅπερ σῴζομαι, πλείστοις δὲ καὶ δεινοτάτοις ἐχθροῖς χρώμενος, ὑφ' ὧν διαβάλλομαι. ὁ μὲν οὖν ἀγὼν ὁ παρὼν οὐ στεφανηφόρος, ἀλλ' εἰ χρὴ μηδὲν ἀδικήσαντα τὴν πόλιν δέκα ἔτη φεύγειν· οἱ δ' ἀνταγωνιζόμενοι περὶ τῶν ἄθλων τούτων ἐσμὲν ἐγὼ καὶ Ἀλκιβιάδης καὶ Νικίας, ὧν ἀναγκαῖον ἕνα τῇ συμφορᾷ περιπεσεῖν.

Ἄξιον δὲ μέμψασθαι τὸν θέντα τὸν νόμον, ὃς 3
ἐναντία τῷ ὅρκῳ τοῦ δήμου καὶ τῆς βουλῆς ἐνομοθέτησεν· ἐκεῖ μὲν γὰρ ὄμνυτε μηδένα μήτε ἐξελᾶν μήτε δήσειν μήτε ἀποκτενεῖν ἄκριτον, ἐν δὲ τῷδε τῷ καιρῷ οὔτε κατηγορίας γενομένης οὔτε ἀπολογίας ἀποδοθείσης διαψηφισαμένων κρύβδην τὸν ὀστρακισθέντα τοσοῦτον χρόνον δεῖ στερηθῆναι τῆς πόλεως. εἶτα ἐν τοῖς τοιούτοις οἱ τοὺς ἑταίρους καὶ 4
συνωμότας κεκτημένοι πλέον φέρονται τῶν ἄλλων·

2. *ὧν* cum Valck. et R. Bk.: *ὧν τῶν ἀγαθῶν*, quod serv. Schi. — *μὲν καὶ* AB Bk. (ci. Steph.): *δὲ καί*. — *δι' ὧνπερ* cum Markl. mal. Bait.

3. *ὃς*] *ὡς* Dobr. — *ἀποκτενεῖν* cum Steph. R.: *ἀποκτείνειν*. — *ἀπολ. δοθείσης* Sl. — *διαψηφ.* cum Schleiermach. Bk.: *οὔτε διαψ.* An *ἀλλὰ μόνον διαψ.*?

οὐ γὰρ ὥσπερ ἐν τοῖς δικαστηρίοις οἱ λαχόντες κρί-
νουσιν, ἀλλὰ τούτου τοῦ πράγματος ἅπασιν Ἀθη-
ναίοις μέτεστι. πρὸς δὲ τούτοις τῷ μὲν ἐλλείπειν
τῷ δ' ὑπερβάλλειν ὁ νόμος μοι δοκεῖ· τῶν μὲν γὰρ
ἰδίων ἀδικημάτων μεγάλην τιμωρίαν ταύτην νομίζω,
τῶν δὲ δημοσίων μικρὰν καὶ οὐδενὸς ἀξίαν ἡγοῦ-
μαι ζημίαν, ἐξὸν κολάζειν χρήμασι καὶ δεσμῷ καὶ
5 θανάτῳ. ἔτι δ' εἴ τις διὰ τοῦτο μεθίσταται ὅτι
(πονηρὸς) πολίτης ἐστίν, οὗτος οὐδ' ἀπελθὼν ἐν-
θένδε παύσεται, ἀλλ' ὅπου ἂν οἰκῇ, ταύτην (τε)
τὴν πόλιν διαφθερεῖ, καὶ τῇδε οὐδὲν ἧττον ἐπι-
βουλεύσει, ἀλλὰ καὶ μᾶλλον (καὶ) δικαιότερον ἢ
πρὶν ἐκβληθῆναι. οἶμαι δὲ καὶ τοὺς φίλους ὑμῶν
ἐν ταύτῃ μάλιστα τῇ ἡμέρᾳ λυπεῖσθαι καὶ τοὺς
ἐχθροὺς ἥδεσθαι, συνειδότας ὡς ἂν ἀγνοήσαντες
ἐξελάσητε τὸν βέλτιστον, δέκα ἐτῶν ἡ πόλις οὐδὲν
6 ἀγαθὸν ὑπὸ τούτου τοῦ ἀνδρὸς πείσεται. ῥᾴδιον
δὲ καὶ ἐντεῦθεν γνῶναι τὸν νόμον πονηρὸν ὄντα·
μόνοι γὰρ αὐτῷ τῶν Ἑλλήνων χρώμεθα, καὶ οὐδε-
μία τῶν ἄλλων πόλεων ἐθέλει μιμήσασθαι. καίτοι
ταῦτα διέγνωσται ἄριστα τῶν δογμάτων, ἃ καὶ τοῖς
πολλοῖς καὶ τοῖς ὀλίγοις ἁρμόττοντα μάλιστα τυγ-
χάνει καὶ πλείστους ἐπιθυμητὰς ἔχει.
7 Περὶ μὲν οὖν τούτων οὐκ οἶδ' ὅ τι δεῖ μακρό-

5. (πονηρὸς) πολίτης (s. πονηρὸς) ci. Emp. (κακὸς πολίτης ci. R.). — ἐνθάδε A pr. — διαφθείρῃ AB; διαφθείρει ZM. — καὶ μᾶλλον (καὶ) δικ. ci. R. — ὑμῶν Steph.: ἡμῶν. — ὑπὸ τούτου Bk.: ἀπὸ τούτου.

6. καὶ ἐντεῦθεν AB Bk. (ci. R.): ἐντεῦθεν.

7. μακρότερα Turr. et A[d]: μακροτέρα AB; μακρότερον v. —

τερα λέγειν· πάντως γὰρ οὐδὲν ἂν πλεῖον εἰς τὸ παρὸν ποιήσαιμεν· δέομαι δ' ὑμῶν τῶν λόγων ἴσους καὶ κοινοὺς ἡμῖν ἐπιστάτας γενέσθαι, καὶ πάντας ἄρχοντας περὶ τούτων καταστῆναι, καὶ μήτε τοῖς λοιδορουμένοις μήτε τοῖς ὑπὲρ καιρὸν | χαριζομένοις ἐπιτρέπειν, ἀλλὰ τῷ μὲν θέλοντι λέγειν καὶ ἀκούειν εὐμενεῖς εἶναι, τῷ δὲ ἀσελγαίνοντι καὶ θορυβοῦντι χαλεπούς. ἀκούσαντες γὰρ ἑκάστου τῶν ὑπαρχόντων ἄμεινον βουλεύσεσθε περὶ ἡμῶν.

Ἔστι δὲ περὶ τῆς μισοδημίας καὶ τῆς στασιω- 8
τείας βραχύς μοι λόγος καταλελειμμένος. εἰ μὲν γὰρ ἄκριτος ἦν, εἰκότως ἂν τῶν (τε) κατηγορούντων ἠκροᾶσθε καὶ ἐμοὶ ἀναγκαῖον ἦν ἀπολογεῖσθαι περὶ τούτων· ἐπειδὴ δὲ τετράκις ἀγωνιζόμενος ἀπέφυγον, οὐκέτι δίκαιον ἡγοῦμαι λόγον οὐδένα περὶ τούτου γίγνεσθαι. πρὶν μὲν γὰρ κριθῆναι οὐ ῥᾴδιον [ἦν] εἰδέναι τὰς αἰτίας, οὔτ' εἰ ψευδεῖς εἰσιν οὔτ' εἰ ἀληθεῖς· ἀποφυγόντος δὲ ἢ καταγνωσθέντος τέλος ἔχει καὶ διώρισται τούτων ὁπότερόν ἐστιν.
ὥστε δεινὸν νομίζω τοὺς μὲν ἁλόντας μιᾷ ψήφῳ 9
μόνον ἀποθνήσκειν, καὶ τὰ χρήματα (ὑμᾶς) δημεύειν αὐτῶν, τῶν δὲ νικησάντων πάλιν τὰς αὐτὰς κατη-

γὰρ οὐδὲν ci. R.: οὐδὲν γάρ. — ποιήσαιμεν Bk. post mg. ald. Taylori et A[d] M (correctus fort.): ποιήσοιμεν A sec. Bk., ποιήσωμεν v.

8. στασιωτίας ABZM. — λόγος . . . . καταλελ. pr. A (λ. καὶ κατ. ut videbatur Dobsono). — ἀποφεύγοντος ABZM.

9. ὥστε Steph.: ὡς. — ὑμᾶς addidi cum R., qui etiam δημεύεσθαι ci. cum mg. ald. Taylori (δημόσι' εἶναι Cob.). Contra ἀποκτείνειν pro ἀποθνήσκειν ci. Gebauer. — τοὺς δὲ νικήσαντας cum R. (qui etiam τὸν δὲ νικήσαντα) Turr. cf. 1, 104. —

γορίας ὑπομένειν, καὶ τοὺς δικαστὰς ἀπολέσαι μὲν κυρίους εἶναι, σῶσαι δ' ἀκύρους καὶ ἀτελεῖς φαίνεσθαι, ἄλλως τε καὶ τῶν νόμων ἀπαγορευόντων δὶς περὶ τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν μὴ ἐξεῖναι δικάζεσθαι, καὶ ὑμῶν ὀμωμοκότων χρῆσθαι τοῖς νόμοις.

10 Ὧν ἕνεκα περὶ ἐμαυτοῦ παραλιπὼν Ἀλκιβιάδου τὸν βίον ἀναμνῆσαι βούλομαι. καίτοι ἀπορῶ γε διὰ τὸ πλῆθος τῶν ἁμαρτημάτων πόθεν ἄρξομαι, ἐμποδὼν ἁπάντων ὄντων. περὶ μὲν οὖν μοιχείας καὶ γυναικῶν ἀλλοτρίων ἁρπαγῆς καὶ τῆς ἄλλης βιαιότητος καὶ παρανομίας καθ' ἕκαστον εἰ δεήσειε λέγειν, οὐκ ἂν ἐξαρκέσειεν ὁ παρὼν χρόνος, ἅμα δὲ πολλοῖς ἀπεχθοίμην τῶν πολιτῶν, φανερὰς τὰς συμφορὰς ποιῶν αὐτῶν. ἃ δὲ περὶ τὴν πόλιν εἴργασται καὶ τοὺς προσήκοντας καὶ τῶν ἄλλων ἀστῶν καὶ ξένων τοὺς ἐντυγχάνοντας, ἀποδείξω.

11 Πρῶτον μὲν οὖν πείσας ὑμᾶς τὸν φόρον ταῖς πόλεσιν ἐξ ἀρχῆς τάξαι τὸν ὑπ' Ἀριστείδου πάντων δικαιότατα τεταγμένον, αἱρεθεὶς ἐπὶ τούτῳ δέκατος αὐτὸς μάλιστα διπλάσιον αὐτὸν ἑκάστοις τῶν συμμάχων ἐποίησεν, ἐπιδείξας δ' αὐτὸν φοβερὸν καὶ μέγα δυνάμενον ἰδίας ἀπὸ τῶν κοινῶν προσόδους κατεσκευάσατο. σκέψασθε δὲ πῶς ἄν τις κακὰ μείζω τούτων κατασκευάσειεν, εἰ τῆς σωτηρίας

μὴ . . . ἐξεῖναι A. — χρήσεσθαι Hi. Ros.

10. mal. ἄρξωμαι, coll. Hyp. IV, col. 4. — ἐμποδὼν] cf. Harp. s. v. (Ἀ. ἐν τῷ κατ' Ἀλκιβ.). — δεήσειε mal. Bait.: δεήσει.

11. τὸν ὑπ'] τῶν ὑπ' A. — ἐπὶ τούτων ut videtur A pr. (ἐπὶ τοῦτο ci. R.). — ἑκάστοις τῶν σ. scripsi: ἑκάστῳ τ. σ. cf. extr. §. — παρασκευάσειεν pr. A, quod praefert Fuhr. — (ἢ) εἰ Hi. — ἑκάστοις Turr.: ἑκάστης AB; ἑκάστου

ἡμῖν πάσης διὰ τῶν συμμάχων οὔσης, ὁμολογουμένως νῦν κάκιον ἢ πρότερον πραττόντων, τὸν φόρον ἑκάστοις ἐδίπλασεν. ὥστ' εἴπερ ἡγεῖσθε πο- 12
λίτην ἀγαθὸν Ἀριστείδην καὶ δίκαιον γεγονέναι, τοῦτον προσήκει κάκιστον νομίζειν ὡς τἀναντία περὶ τῶν πόλεων ἐκείνῳ γιγνώσκοντα. τοιγάρτοι διὰ ταῦτα πολλοὶ τὴν πατρίδα τὴν αὑτῶν ἀπολιπόντες φυγάδες γίγνονται καὶ εἰς Θουρίους οἰκήσοντες ἀπέρχονται. δηλώσει δὲ ἡ τῶν συμμάχων ἔχθρα, ὅταν πρῶτον ἡμῖν καὶ Λακεδαιμονίοις γένηται ναυτικὸς πόλεμος. ἐγὼ δὲ νομίζω τὸν τοιοῦτον πονηρὸν εἶναι προστάτην, ὅστις τοῦ παρόντος χρόνου (μόνον) ἐπιμελεῖται, ἀλλὰ μὴ καὶ τοῦ μέλλοντος προνοεῖται, καὶ τὰ ἥδιστα τῷ πλήθει, παραλιπὼν τὰ βέλτιστα, συμβουλεύει. Θαυμάζω δὲ τῶν πεπεισμένων Ἀλκι- 13
βιάδην δημοκρατίας ἐπιθυμεῖν, τοιαύτης πολιτείας ἣ μάλιστα κοινότητα δοκεῖ προῃρῆσθαι, οἳ οὐδ' ἀπὸ τῶν ἰδίων αὐτὸν θεῶνται, ὁρῶντες τὴν πλεονεξίαν καὶ τὴν ὑπερηφανίαν, ὃς τὴν Καλλίου γήμας ἀδελφὴν ἐπὶ δέκα ταλάντοις, τελευτήσαντος Ἱππονίκου στρατηγοῦντος ἐπὶ Δηλίῳ ἕτερα τοσαῦτα προσεπράξατο, λέγων ὡς ὡμολόγησεν ἐκεῖνος, ὁπότε παῖς αὐτῷ ἐκ τῆς θυγατρὸς γένοιτο, προσθήσειν

ZM; ἑκάστῳ v. — ἐδίπλασεν] διπλάσειεν codd. Turr.; διπλασιάσειεν R. Bk.

12. ἡγεῖσθε BZ Bk. (ci. R.): ἡγῆσθε. — ὅταν πρῶτον ci. R.: πρῶτον ὅταν.

13. ἐπιθυμ . . . . ἣ pr. A. — ἣ AB Bk.: ἣν. — προῃρῆσθαι scripsi (ᾑρῆσθαι Valck. et Sl.): εὑρῆσθαι (quo servato ante κοιν. add. διὰ cum R. Turr.). — οἳ Bk. cum A[d]: οἵ AB (sec. Bk.) M pr.; οἵαν v. (οἵαν οὐδ' ἐπὶ τ. ἰδ. αὐτὸν ἔχειν θεῶνται Ald.).

14 ταῦτα. λαβὼν δὲ τοσαύτην προῖκα ὅσην οὐδεὶς τῶν
Ἑλλήνων, οὕτως ὑβριστὴς ἦν, ἐπεισάγων εἰς τὴν
αὐτὴν οἰκίαν ἑταίρας, καὶ δούλας καὶ ἐλευθέρας,
ὥστ' ἠνάγκασε τὴν γυναῖκα σωφρονεστάτην οὖσαν
ἀπολιπεῖν, ἐλθοῦσαν πρὸς τὸν ἄρχοντα κατὰ τὸν
νόμον. οὗ δὴ μάλιστα τὴν αὑτοῦ δύναμιν ἐπεδεί-
ξατο· παρακαλέσας γὰρ τοὺς ἑταίρους, ἁρπάσας ἐκ
τῆς ἀγορᾶς τὴν γυναῖκα ᾤχετο βίᾳ, καὶ πᾶσιν ἐδή-
λωσε καὶ τῶν ἀρχόντων καὶ τῶν νόμων καὶ τῶν
15 ἄλλων πολιτῶν | καταφρονῶν. οὐ τοίνυν ταῦτα
31 μόνον ἐξήρκεσεν, ἀλλὰ καὶ λαθραῖον θάνατον ἐπε-
βούλευσε Καλλίᾳ, ἵνα τὸν οἶκον τὸν Ἱππονίκου
κατάσχοι, ὡς ἐναντίον πάντων ὑμῶν ἐν τῇ ἐκκλησίᾳ
κατηγόρει· καὶ τὰ χρήματα τῷ δήμῳ ἔδωκεν, εἴ
πως τελευτήσειεν ἄπαις, φοβούμενος μὴ διὰ τὴν
οὐσίαν ἀπόλοιτο. καίτοι ὅστις ὑβρίζει γυναῖκα τὴν
ἑαυτοῦ καὶ τῷ κηδεστῇ θάνατον ἐπιβουλεύει, τί
χρὴ προσδοκᾶν τοῦτον περὶ τοὺς ἐντυχόντας τῶν
πολιτῶν διαπράττεσθαι; πάντες γὰρ ἄνθρωποι τοὺς
οἰκείους τῶν ἀλλοτρίων ποιοῦνται περὶ πλείονος.
ἀλλὰ μὴν οὐδ' ἔρημος (ἐκεῖνος) οὐδ' εὐαδίκητός
ἐστιν, ἐπεὶ διὰ τὸν πλοῦτον ἔχει πολλοὺς τοὺς βο-
16 ηθήσοντας. Ὃ δὲ πάντων δεινότατόν ἐστι, τοιοῦτος
ὢν ὡς εὔνους τῷ δήμῳ τοὺς λόγους ποιεῖται καὶ
τοὺς ἄλλους ὀλιγαρχικοὺς καὶ μισοδήμους ἀποκαλεῖ·
καὶ ὃν ἔδει τεθνάναι διὰ τὰ ἐπιτηδεύματα, κατή-

14. ἐπεδείξατο ABZ Bk. (ci. R.): ὑπεδείξατο.
15. ταῦτα (αὐτῷ) Hi. — ἐναντίων A et pr. M. — ἐπι-
τυχόντας Hertl. coll. § 26. 37. sed cf. 10.
16. καὶ τοὺς Dobr. (vel τοὺς δ'): αὐτὸς. — ἔδει Dobr.
Turr.: δεῖ. —

γορος τῶν διαβεβλημένων ὑφ' ὑμῶν αἱρεῖται, καί φησι φύλαξ εἶναι τῆς πολιτείας, οὐδενὶ τῶν ἄλλων Ἀθηναίων οὔτ' ἴσον οὔτ' ὀλίγῳ πλέον ἀξιῶν ἔχειν· ἀλλ' οὕτω σφόδρα καταπεφρόνηκεν, ὥστε διατετέλεκεν ἀθρόους μὲν ὑμᾶς κολακεύων, ἕνα δ' ἕκαστον προπηλακίζων. ὃς εἰς τοσοῦτον ἐλήλυθε τόλμης, 17
ὥστε πείσας Ἀγάθαρχον τὸν γραφέα συνεισελθεῖν οἴκαδε τὴν οἰκίαν ἐπηνάγκαζε γράφειν, δεομένου δὲ καὶ προφάσεις ἀληθεῖς λέγοντος, ὡς οὐκ ἂν δύναιτο ταῦτα πράττειν ἤδη διὰ τὸ συγγραφὰς ἔχειν παρ' ἑτέρων, προεῖπεν αὐτῷ δήσειν, εἰ μὴ πάνυ ταχέως γράφοι. ὅπερ ἐποίησε· καὶ οὐ πρότερον ἀπηλλάγη, πρὶν ἀποδρὰς ᾤχετο τετάρτῳ μηνί, τοὺς φύλακας λαθών, ὥσπερ παρὰ βασιλέως. οὕτω δ' ἀναίσχυντός ἐστιν, ὥστε προσελθὼν ἐνεκάλει αὐτῷ ὡς ἀδικούμενος, καὶ οὐχ ὧν ἐβιάσατο μετέμελεν αὐτῷ, ἀλλ' ὅτι κατέλιπε τὸ ἔργον ἠπείλει, καὶ οὔτε τῆς δημοκρατίας οὔτε τῆς ἐλευθερίας οὐδὲν ἦν ὄφελος· οὐδὲν γὰρ ἧττον ἐδεδήκει τῶν ὁμολογουμένων δούλων. ἀγανακτῶ δ' ἐνθυμούμενος ὑμῖν μὲν οὐδὲ τοὺς 18
κακούργους ἀσφαλὲς εἰς τὸ δεσμωτήριον ὂν ἀπάγειν, διὰ τὸ χιλίας δραχμὰς τετάχθαι ἀποτεῖσαι ὃς ἂν τὸ πέμπτον μέρος μὴ μεταλάβῃ τῶν ψήφων· ὁ δὲ τοσοῦτον χρόνον εἵρξας καὶ ἐπαναγκάζων γράφειν

ὑφ' ὑμῶν Emp. S.: ὑφ' ἡμῶν. — ὥστε διὰ a corr. habet A (. . . . . . pr. A).

17. οἴκαδε del. Hi. — ἐπηνάγκαζε scripsi: ἐπηνάγκασε AB Bk. (ci. Steph.), ἀπηνάγκασε v. — παρ' ἑτέροις Dobr. (potius παρ' ἑτέρῳ). — παρὰ ante βασιλ. add. AB Bk. — ἐδεδήκει (s. ἐδεδέκει) Emp. Turr.: ἐδεδοίκει. — ὁμολογουμένως ci. R.

18. ἀποτεῖσαι scripsi: ἀποτῖσαι. —

οὐδὲν κακὸν πέπονθεν, ἀλλὰ διὰ ταῦτα σεμνότερος
δοκεῖ καὶ φοβερώτερος εἶναι. καὶ πρὸς μὲν τὰς
ἄλλας πόλεις ἐν τοῖς συμβόλοις συντιθέμεθα μὴ
ἐξεῖναι μήθ' εἶρξαι μήτε δῆσαι τὸν ἐλεύθερον· ἐὰν
δέ τις παραβῇ, μεγάλην ζημίαν ἐπὶ τούτοις ἔθεμεν·
τούτου δὲ τοιαῦτα πράξαντος οὐδεμίαν οὐδεὶς οὔτ'
19 ἰδίαν οὔτε δημοσίαν τιμωρίαν ποιεῖται. νομίζω δὲ
ταύτην εἶναι σωτηρίαν ἅπασι, πείθεσθαι τοῖς ἄρ-
χουσι καὶ τοῖς νόμοις· ὅστις δὲ ὑπερορᾷ ταῦτα,
τὴν μεγίστην φυλακὴν ἀνῄρηκε τῆς πόλεως. δεινὸν
μὲν οὖν ἐστι καὶ ὑπὸ τῶν ἀγνοούντων τὰ δίκαια
πάσχειν κακῶς, πολὺ δὲ χαλεπώτερον, ὅταν τις ἐπι-
στάμενος τὰ διαφέροντα παραβαίνειν τολμᾷ· φανε-
ρῶς γὰρ ἐνδείκνυται, ὥσπερ οὗτος, οὐκ αὐτὸς τοῖς
νόμοις τοῖς τῆς πόλεως ἀλλ' ὑμᾶς τοῖς αὑτοῦ τρό-
20 ποις ἀκολουθεῖν ἀξιῶν. Ἐνθυμήθητε δὲ Ταυρέαν,
ὃς ἀντιχορηγὸς ἦν Ἀλκιβιάδῃ παισί. κελεύοντος δὲ
τοῦ νόμου τῶν χορευτῶν ἐξάγειν ὃν ἄν τις βούλη-
ται ξένον ἀγωνιζόμενον, οὐκ ἐξὸν ἐπιχειρήσαντα
κωλύειν, ἐναντίον ὑμῶν καὶ τῶν ἄλλων Ἑλλήνων
τῶν θεωρούντων καὶ τῶν ἀρχόντων ἁπάντων παρ-
όντων ἐν τῇ πόλει τύπτων ἐξήλασεν αὐτόν, καὶ τῶν
θεατῶν συμφιλονικούντων ἐκείνῳ καὶ μισούντων
τοῦτον, ὥστε τῶν χορῶν τὸν μὲν ἐπαινούντων, τοῦ

συμβόλοις ABZ m. Ald. Bk. (ci. R.): συμβολαίοις.

19. νομίζω. ταύτην εἶν . . . . τοῖς ἄρχουσι pr. A. — φανερὸς ABMZ. — νόμοις τοῖς τῆς A[d] Bk.: ν. τοῖς A sec. Bk. B; ν. τῆς v. — αὑτοῦ Turr.: αὐτοῦ.

20. ξένον, ἀγωνιζόμενον Turr. cum Valck., qui δ' post ἀγ. inserit. cf. Dem. 21, 60. — συμφιλονικούντων B W: συμφιλονεικούντων. — τοῖν χοροῖν mal. Bk. — ὥστε κτέ.] cf. Isocr. 4, 64.

δ᾽ ἀκροάσασθαι οὐκ ἐθελόντων, οὐδὲν πλεῖον ἔπρα-
ξεν· ἀλλὰ τῶν κριτῶν οἱ μὲν φοβούμενοι οἱ δὲ 21
χαριζόμενοι νικᾶν ἔκριναν αὐτόν, περὶ ἐλάττονος
ποιούμενοι τὸν ὅρκον ἢ τοῦτον. εἰκότως δέ μοι
δοκοῦσιν οἱ κριταὶ ὑπέρχεσθαι Ἀλκιβιάδην, ὁρῶντες
Ταυρέαν μὲν τοσαῦτα χρήματα ἀναλώσαντα προ-
πηλακιζόμενον, τὸν δὲ τοιαῦτα | παρανομοῦντα μέ- 32
γιστον δυνάμενον. αἴτιοι δ᾽ ὑμεῖς, οὐ τιμωρούμενοι
τοὺς ὑβρίζοντας, καὶ τοὺς μὲν λάθρᾳ ἀδικοῦντας
κολάζοντες, τοὺς δὲ φανερῶς ἀσελγαίνοντας θαυμά-
ζοντες. τοιγάρτοι τῶν νέων αἱ διατριβαὶ οὐκ ἐν τοῖς 22
γυμνασίοις ἀλλ᾽ ἐν τοῖς δικαστηρίοις εἰσί, καὶ στρα-
τεύονται μὲν οἱ πρεσβύτεροι, δημηγοροῦσι δὲ οἱ
νεώτεροι, παραδείγματι τούτῳ χρώμενοι, ὃς τηλι-
καύτας ποιεῖται τῶν ἁμαρτημάτων ὑπερβολάς, ὥστε
περὶ τῶν Μηλίων γνώμην ἀποφηνάμενος ἐξανδρα-
ποδίζεσθαι, πριάμενος γυναῖκα τῶν αἰχμαλώτων
υἱὸν ἐξ αὐτῆς πεποίηται, ὃς τοσούτῳ παρανομωτέρως
Αἰγίσθου γέγονεν, ὥστ᾽ ἐκ τῶν ἐχθίστων ἀλλήλοις
πέφυκε, καὶ τῶν οἰκειοτάτων ὑπάρχει αὐτῷ τὰ
ἔσχατα τοὺς μὲν πεποιηκέναι τοὺς δὲ πεπονθέναι.
ἄξιον δὲ τὴν τόλμαν αὐτοῦ σαφέστερον ἔτι διελθεῖν. 23
ἐκ ταύτης γὰρ παιδοποιεῖται τῆς γυναικός, ην ἀντ᾽
ἐλευθέρας δούλην κατέστησε, καὶ ἧς τὸν πατέρα καὶ
τοὺς προσήκοντας ἀπέκτεινε, καὶ ἧς τὴν πόλιν ἀνά-
στατον πεποίηκεν, ὡς ἂν μάλιστα τὸν υἱὸν ἐχθρὸν

21. μὲν τοσαῦτα scripsi: τοσ. μὲν.
22. παρανομωτέρως R.: παρανομώτατος ABZ; παρανο-
μώτερος v.
23. ἧς ante τὴν om. pr. A.

ἑαυτῷ καὶ τῇ πόλει ποιήσειε· τοσαύταις ἀνάγκαις κατείληπται μισεῖν. ἀλλ' ὑμεῖς ἐν μὲν ταῖς τραγῳδίαις τοιαῦτα θεωροῦντες δεινὰ νομίζετε, γιγνόμενα δ' ἐν τῇ πόλει ὁρῶντες οὐδὲν φροντίζετε. καίτοι ἐκεῖνα μὲν οὐκ ἐπίστασθε πότερον οὕτω γεγένηται ἢ πέπλασται ὑπὸ τῶν ποιητῶν· ταῦτα δὲ σαφῶς εἰδότες οὕτω πεπραγμένα παρανόμως, ῥᾳθύμως
24 φέρετε. Πρὸς δὲ τούτοις τολμῶσί τινες περὶ αὐτοῦ λέγειν ὡς οὐδὲ γεγένηται οὐδεὶς πώποτε τοιοῦτος. ἐγὼ δὲ νομίζω μέγιστα κακὰ τὴν πόλιν ὑπὸ τούτου πείσεσθαι, καὶ τηλικούτων πραγμάτων εἰς τὸν λοιπὸν χρόνον αἴτιον δόξειν, ὥστε μηδένα τῶν προτέρων ἀδικημάτων μεμνῆσθαι· ἀνέλπιστον γὰρ οὐδὲν τὸν τὴν ἀρχὴν τοῦ βίου τοιαύτην κατασκευασάμενον καὶ τὴν τελευτὴν ὑπερβάλλουσαν ποιήσασθαι. ἔστι δὲ σωφρόνων ἀνδρῶν φυλάττεσθαι τῶν πολιτῶν τοὺς ὑπεραυξανομένους, ἐνθυμουμένους ὑπὸ τῶν τοιούτων τὰς τυραννίδας καθισταμένας.

25 Ἡγοῦμαι δ' αὐτὸν πρὸς ταῦτα μὲν οὐδὲν ἀντερεῖν, λέξειν δὲ περὶ τῆς νίκης τῆς Ὀλυμπίασι, καὶ περὶ πάντων μᾶλλον ἢ τῶν κατηγορηθέντων ἀπολογήσεσθαι. ἐξ αὐτῶν δὲ τούτων ἐπιδείξω αὐτὸν ἐπιτηδειότερον τεθνάναι μᾶλλον ἢ σῴζεσθαι. διη-
26 γήσομαι δ' ὑμῖν. Διομήδης ἦλθε ζεῦγος ἵππων ἄγων Ὀλυμπίαζε, κεκτημένος μὲν οὐσίαν μετρίαν, στεφανῶσαι δὲ ἀπὸ τῶν ὑπαρχόντων τὴν πόλιν

24. ἐγὼ δὲ] malim κἀγὼ δὲ. — παρασκευασάμενον pr. A. — ποιήσεσθαι mal. Bait. — ὑπεραυξανομένους AB Bk.: ὑπεραυξομένους.

25. πρὸς ταῦτα scripsi: πρὸς τοῦτο. — ἀπολογήσασθαι ABZM. — ἐπιδείξω A Turr.: ἀποδείξω.

*καὶ τὴν οἰκίαν βουλόμενος, λογιζόμενος τοὺς ἀγῶ-
νας τοὺς ἱππικοὺς τύχῃ τοὺς πλείστους κρινομένους.
τοῦτον Ἀλκιβιάδης πολίτην ὄντα καὶ (οὐ) τὸν ἐπι-
τυχόντα, δυνάμενος παρὰ τοῖς ἀγωνοθέταις τῶν
Ἠλείων, ἀφελόμενος αὐτὸς ἠγωνίζετο. καίτοι τί
ἂν ἐποίησεν, εἴ τις τῶν συμμάχων τῶν ὑμετέρων
ἀφίκετο ζεῦγος ἵππων ἔχων; ἦ που ταχέως ἐπέ-* 27
*τρεψεν ἂν ἀνταγωνίζεσθαι ἑαυτῷ, ὃς Ἀθηναῖον
ἄνδρα βιασάμενος τοῖς ἀλλοτρίοις ἐτόλμησεν ἵπποις
ἁμιλλᾶσθαι, δηλώσας τοῖς Ἕλλησι μηδὲν θαυμάζειν
ἄν τινα αὐτῶν βιάσηται, ἐπεὶ καὶ τοῖς πολίταις
οὐκ ἐξ ἴσου χρῆται, ἀλλὰ τοὺς μὲν ἀφαιρούμενος,
τοὺς δὲ τύπτων, τοὺς δὲ εἱργνύων, τοὺς δὲ χρή-
ματα πραττόμενος, οὐδενὸς ἀξίαν τὴν δημοκρατίαν
ἀποφαίνων, τοὺς μὲν λόγους δημαγωγοῦ τὰ δ'
ἔργα τυράννου παρέχων, καταμαθὼν ὑμᾶς τοῦ μὲν
ὀνόματος φροντίζοντας, τοῦ δὲ πράγματος ἀμελοῦν-
τας. τοσοῦτον δὲ διαφέρει Λακεδαιμονίων, ὥστ'* 28
*ἐκεῖνοι μὲν καὶ ὑπὸ τῶν συμμάχων ἀνταγωνιζομέ-
νων ἀνέχονται ἡττώμενοι, οὗτος δὲ οὐδ' ὑπὸ τῶν
πολιτῶν, ἀλλὰ φανερῶς προείρηκεν οὐκ ἐπιτρέψειν
τοῖς ἀντεπιθυμοῦσί τινος. εἶτ' ἐκ τῶν τοιούτων
ἀναγκαῖον τὰς πόλεις τῶν ἡμετέρων πολεμίων ἐπι-
θυμεῖν, ἡμᾶς δὲ μισεῖν. Ἵνα δὲ μὴ μόνον Διο-* 29

26. *τύχῃ*] non recte *τέχνῃ* ci. Schi. Cob. Hi. — malim *τὸ πλεῖστον*. — *οὐ* ante *τὸν ἐπιτυχ.* cum Steph. add. Turr. — (*τὸ ζεῦγος*) *ἀφελόμ.* R., *ἀφ.* (*τοὺς ἵππους*) Hi.

27. *ταχέως* (*γε*) Hi. — *Ἀθηναίων* AB Bk. — *βιάσηται* AB Bk.: *βιάζηται*. — *ἐπεὶ*] *ἐπειδὴ* pr. A. — *ἀφαιρούμενος* mg. Ald. R. Bk.: *ἀφαιρουμένους* Ald. — *ἀποφαίνει* cum R. Turr.

28. *προείρηκεν* scripsi: *εἴρηκεν*.

μήδην ἀλλὰ καὶ τὴν πόλιν ὅλην ὑβρίζων ἐπιδείξειε, τὰ πομπεῖα παρὰ τῶν ἀρχιθεωρῶν αἰτησάμενος |
33 ὡς εἰς τἀπινίκια τῇ προτεραίᾳ τῆς θυσίας χρησόμενος, ἐξηπάτησε καὶ ἀποδοῦναι οὐκ ἤθελε, βουλόμενος τῇ ὑστεραίᾳ πρότερος τῆς πόλεως χρήσασθαι τοῖς χρυσοῖς χερνιβίοις καὶ θυμιατηρίοις. ὅσοι μὲν οὖν τῶν ξένων μὴ ἐγίγνωσκον ἡμέτερα ὄντα, τὴν πομπὴν τὴν κοινὴν ὁρῶντες ὑστέραν οὖσαν τῆς Ἀλκιβιάδου τοῖς τούτου πομπείοις χρῆσθαι ἐνόμιζον ἡμᾶς· ὅσοι δὲ ἢ παρὰ τῶν πολιτῶν ἤκουον ἢ καὶ ἐπεγίγνωσκον τὰ τούτου, κατεγέλων ἡμῶν, ὁρῶντες ἕνα ἄνδρα μεῖζον ἁπάσης τῆς πόλεως δυνάμενον.

30 Σκέψασθε δὲ καὶ τὴν ἄλλην ἀποδημίαν τὴν εἰς Ὀλυμπίαν ὡς διέθετο. τούτῳ σκηνὴν μὲν Περσικὴν Ἐφέσιοι διπλασίαν τῆς δημοσίας ἔπηξαν, ἱερεῖα δὲ καὶ τοῖς ἵπποις ἐφόδια Χῖοι παρεσκεύασαν, οἶνον δὲ καὶ τὰ ἄλλα ἀναλώματα Λεσβίοις προσέταξε. καὶ οὕτως εὐτυχής ἐστιν, ὥστε τοὺς Ἕλληνας τῆς παρανομίας καὶ τῆς δωροδοκίας μάρτυρας κεκτημένος

29. Διομήδη Schi. — ἐπιδείξειε Emp. Turr. (ἐπιδείξαιτο ci. R.): ἐπιδόξειε. — τἀπινίκια Valck. (post Meursium) Bk.: τὰ πινάκια. — προτεραίᾳ Valck. (post Pierson.) Bk.: προτέρᾳ. —θυσίας cum Scal. Canter. Meurs. Tayl. Bk.: οὐσίας. — cf. Ath. 9 p. 408 D: Ἀττικοὶ χερνίβιον λέγουσιν, ὡς Λυσίας ἐν τῷ κατὰ Ἀλκιβ. λέγων οὕτως· τοῖς χρυσοῖς χερνιβίοις καὶ θυμιατηρίοις. Inde χερνιβίοις restit. cum Tayl. Valck. Turr.: χερνίβοις (χερν.ίβοις A[d]). cf. etiam Moer. Att. s. v. πομπεῖα, ubi perperam Thucydides laudatur. — τῆς Ἀλκ.] τοῖς Ἀ. A. — πομπίοις AZ et corr. M. — καὶ (αὐτοὶ) ἐπεγίγν. R. — malim ἐπεγίγνωσκον οὐκ ὄντα τούτου. — μεῖζον ἁπάσης Sl. Bk.: μείζονα πάσης, quod retin. Schi.

30. διέθετο. τούτῳ R. (διέθετο τούτῳ. St.): δ. τοῦτο. — προσέταξε ABZ Bk. (ci. Sl.): προσέταξαν.

οὐδεμίαν δέδωκε δίκην, ἀλλὰ ὁπόσοι μὲν ἄρχοντες ἐν μιᾷ πόλει γεγένηνται, ὑπεύθυνοί εἰσιν, ὁ δὲ 31 πάντων τῶν συμμάχων (ἄρχων) καὶ χρήματα λαμβάνων οὐδενὸς τούτων ὑπόδικός ἐστιν, ἀλλὰ τοιαῦτα διαπεπραγμένος σίτησιν ἐν Πρυτανείῳ ἔλαβε, καὶ προσέτι πολλῇ τῇ νίκῃ χρῆται, ὥσπερ οὐ πολὺ μᾶλλον ἠτιμακὼς ἢ ἐστεφανωκὼς τὴν πόλιν. εἰ δὲ βούλεσθε σκοπεῖν, εὑρήσετε τῶν τούτῳ πολλάκις πεπραγμένων ἕκαστον ὀλίγον χρόνον πράξαντάς τινας ἀναστάτους τοὺς οἴκους ποιήσαντας· οὗτος δ' ἐπιτηδεύων ἅπαντα πολυτελέστατα διπλασίαν οὐσίαν κέκτηται. καίτοι ὑμεῖς γε νομίζετε τοὺς 32 φειδομένους καὶ τοὺς ἀκριβῶς διαιτωμένους φιλοχρημάτους εἶναι, οὐκ ὀρθῶς γιγνώσκοντες· οἱ γὰρ μεγάλα δαπανώμενοι πολλῶν δεόμενοι αἰσχροκερδέστατοί εἰσιν. αἴσχιστον δὲ φανήσεσθε ποιοῦντες, εἰ τοῦτον μὲν ἀγαπᾶτε τὸν ἀπὸ τῶν ὑμετέρων χρημάτων ταῦτα κατεργασάμενον, Καλλίαν δὲ τὸν Διδυμίου, τῷ σώματι νικήσαντα πάντας (τοὺς) ἀγῶνας τοὺς στεφανηφόρους, ἐξωστρακίσατε πρὸς τοῦτο οὐδὲν ἀποβλέψαντες, ὃς ἀπὸ τῶν ἑαυτοῦ πόνων ἐτίμησε τὴν πόλιν. ἀναμνήσθητε δὲ καὶ τοὺς 33 προγόνους, ὡς ἀγαθοὶ καὶ σώφρονες ἦσαν, οἵτινες ἐξωστράκισαν Κίμωνα διὰ παρανομίαν, ὅτι τῇ ἀδελφῇ τῇ ἑαυτοῦ συνῴκησε. καίτοι οὐ μόνον

31. ἄρχων post Sluit., qui ἐπάρχων ci., addidit Emp. — τῶν τούτῳ πολλάκις scripsi: πολλὰ τῶν τούτῳ (πολλάκις, τ. τ. ci. Dobr.).

32. τοῦτο cum Steph. Bk.: τοῦτον v. Turr., τούτων (R.) vel τοιοῦτον Gebauer. — ὃς A Turr.: ὡς, quod mal. S.

33. Κίμωνα AB Steph. Scal.: Κόνωνα.

αὐτὸς ὀλυμπιονίκης ἦν, ἀλλὰ καὶ ὁ πατὴρ αὐτοῦ Μιλτιάδης. ἀλλ' ὅμως οὐδὲν ὑπελογίζοντο τὰς νίκας· οὐ γὰρ ἐκ τῶν ἀγώνων ἀλλ' ἐκ τῶν ἐπιτηδευμάτων ἔκριναν αὐτόν.

34 Ἀλλὰ μὴν εἰ δεῖ κατὰ γένος σκοπεῖν, ἐμοὶ μὲν οὐδαμόθεν προσήκει τούτου τοῦ πράγματος, οὐδὲ ἔστιν οὐδεὶς ὅστις ἂν ἀποδείξειε τῶν ἡμετέρων οὐδένα τῇ συμφορᾷ ταύτῃ χρησάμενον, Ἀλκιβιάδῃ δὲ μάλιστα πάντων Ἀθηναίων. καὶ γὰρ ὁ τῆς μητρὸς πατὴρ Μεγακλῆς καὶ ὁ πάππος Ἀλκιβιάδης (δὶς) ἐξωστρακίσθησαν ἀμφότεροι, ὥστ' οὐδὲν θαυμαστὸν οὐδ' ἄτοπον πείσεται τῶν αὐτῶν τοῖς προγόνοις ἀξιούμενος. καὶ μὴν οὐδ' ἂν αὐτὸς ἐπιχειρήσειεν ἀντειπεῖν, ὡς οὐ τῶν ἄλλων ἐκεῖνοι παρανομώτατοι ὄντες τούτου σωφρονέστεροι καὶ δικαιότεροι ἦσαν, ἐπεὶ τῶν γε τούτῳ πεπραγμένων οὐδ' ἂν εἷς ἀξίως κατηγορῆσαι δύναιτο.

35 Νομίζω δὲ καὶ τὸν θέντα τὸν νόμον ταύτην τὴν διάνοιαν ἔχειν· ἀποβλέψαντα τῶν πολιτῶν πρὸς τοὺς κρείττους τῶν ἀρχόντων καὶ τῶν νόμων, ἐπειδὴ παρὰ τῶν τοιούτων οὐκ ἔστιν ἰδίᾳ δίκην λαβεῖν, δημοσίαν τιμωρίαν ὑπὲρ τῶν ἀδικουμένων κατασκευάσαι. ἐγὼ (μὲν) τοίνυν ἔν τε τῷ κοινῷ κέκριμαι τετράκις, ἰδίᾳ τε οὐδένα διεκώλυσα δικάζεσθαι βουλόμενον· Ἀλκιβιάδης δὲ τοιαῦτα ἐργασάμενος οὐδεμίαν πώποτε δίκην ὑποσχεῖν ἐτόλμησεν.

34. *Ἀλκιβιάδῃ* cum Valck. et R. Bk.: *Ἀλκιβιάδης*. — *δὶς* cum Markl. add. Turr. coll. Lys. 14, 39.
35. *ἐγὼ* (*μὲν*) mal. Bk. — *ἰδίαν* pr. A. — *οὐδένα* AZ (ci. Luz. R.): *οὐδὲν*.

οὕτω γὰρ χαλεπός ἐστιν, ὥστε οὐ περὶ τῶν παρε- 36
ληλυθότων ἀδικημάτων αὐτὸν τιμωροῦνται ἀλλ'
ὑπὲρ τῶν μελλόντων φοβοῦνται, καὶ τοῖς μὲν πε-
πονθόσι κακῶς ἀνέχεσθαι λυσιτελεῖ, τούτῳ δὲ οὐκ
ἐξαρκεῖ, εἰ μὴ καὶ τὸ λοιπὸν ὅ τι ἂν βούληται |
διαπράξεται. καίτοι οὐ δήπου ὦ Ἀθηναῖοι ὀστρα- 34
κισθῆναι μὲν ἐπιτήδειός εἰμι, τεθνάναι δὲ οὐκ
ἄξιος, οὐδὲ κρινόμενος μὲν ἀποφυγεῖν, ἄκριτος
δὲ φεύγειν, οὐδὲ τοσαυτάκις ἀγωνιζόμενος νικήσας
δικαίως ἂν πάλιν δόξαιμι δι' ἐκεῖνα ἐκπεσεῖν.
ἀλλὰ γὰρ ἴσως μετὰ μικρᾶς διαβολῆς ἢ φαύλων 37
κατηγόρων ἢ διὰ τῶν ἐπιτυχόντων ἐχθρῶν ἐκιν-
δύνευον, ἀλλ' οὐ διὰ τῶν ἐρρωμενεστάτων καὶ
λέγειν καὶ πράττειν, οἵ τινες δύο τῶν τὴν αὐτὴν
αἰτίαν ἐχόντων ἐμοὶ ἀπέκτειναν. οὔκουν τοὺς τοι-
ούτους δίκαιον ἐκβάλλειν, οὓς πολλάκις ἐλέγχοντες
εὑρίσκετε μηδὲν ἀδικοῦντας, ἀλλὰ τοὺς μὴ θέλον-
τας ὑποσχεῖν τῇ πόλει περὶ τοῦ βίου λόγον. δει- 38
νὸν δέ μοι δοκεῖ εἶναι, εἰ μέν τις ἀπολογεῖσθαι
ἀξιώσειεν ὑπὲρ τῶν ἀποθανόντων ὡς ἀδίκως ἀπο-
λώλασιν, οὐκ (ἂν) ἀνασχέσθαι τῶν ἐπιχειρούντων·
εἰ δέ τις τῶν ἀποφυγόντων πάλιν περὶ τῆς αὐτῆς

36. *αὐτὸν*] *αὐτῶν* ZM et pr. A[d]. — *διαπράξεται* cum Bk. Turr.: *διαπράξηται*. — *φεύγειν, οὐδὲ* R. post Tayl.: *φεύγειν, ὁ δέ*, quod serv. cum G. Hermanno Schi., interrogationis signo post *ἐκπ.* posito. — *τοσαύτας* pr. A. — *νικήσας δικαίως ἂν*] *καὶ νικ. δικ.* cum R. Turr., qui desiderant *ἄν*; *δικαίως καὶ νικήσας* v.

37. *ἢ (ὑπὸ) φαύλων* ci. R.

38. *οὐκ (ἂν) ἀνασχ.* cum R. Bk. *ὑμᾶς* non necessarium esse docet Gebauer coll. Dem. 20, 111. — *ἐπιχειρ . . . . . . των* pr. A.

αἰτίας κατηγορεῖ, πῶς οὐ δίκαιον περὶ τοὺς ζῶντας
καὶ τοὺς τεθνηκότας τὴν αὐτὴν γνώμην ἔχειν;
39 ἔστι μὲν οὖν Ἀλκιβιάδου μήτε αὐτὸν τῶν νόμων
καὶ τῶν ὅρκων φροντίζειν, ὑμᾶς τε παραβαίνειν
ἐπιχειρεῖν διδάσκειν, καὶ τοὺς μὲν ἄλλους ἐκβάλλειν
καὶ ἀποκτείνειν ἀνηλεῶς, αὐτὸν δὲ ἱκετεύειν καὶ
δακρύειν οἰκτρῶς. καὶ ταῦτα μὲν οὐ θαυμάζω·
πολλῶν γὰρ αὐτῷ κλαυμάτων ἄξια εἴργασται· ἐν-
θυμοῦμαι δὲ τίνας ποτὲ καὶ πείσει δεόμενος, πό-
τερα τοὺς νεωτέρους, οὓς πρὸς τὸ πλῆθος διαβέ-
βληκεν ἀσελγαίνων καὶ τὰ γυμνάσια καταλύων καὶ
παρὰ τὴν ἡλικίαν πράττων, ἢ τοὺς πρεσβυτέρους,
οἷς οὐδὲν ὁμοίως βεβίωκεν, ἀλλὰ τῶν ἐπιτηδευμά-
40 των αὐτῶν καταπεφρόνηκεν; Οὐ μόνον δὲ αὐτῶν
ἕνεκα τῶν παρανομούντων, ἵνα δίκην διδῶσιν,
ἐπιμελεῖσθαι ἄξιον, ἀλλὰ καὶ τῶν ἄλλων, ὅπως
τούτους ὁρῶντες δικαιότεροι καὶ σωφρονέστεροι
γίγνωνται. ἐμὲ μὲν τοίνυν ἐξελάσαντες τοὺς βελ-
τίστους περιδεεῖς καταστήσετε, τοῦτον δὲ κολάσαν-
τες τοὺς ἀσελγεστάτους νομιμωτέρους ποιήσετε.
41 Βούλομαι δ᾽ ὑμᾶς ἀναμνῆσαι τῶν ἐμοὶ πεπραγ-
μένων. ἐγὼ γὰρ πρεσβεύσας εἰς Θετταλίαν καὶ
Μακεδονίαν καὶ εἰς Μολοττίαν καὶ εἰς Θεσπρωτίαν
καὶ εἰς Ἰταλίαν καὶ εἰς Σικελίαν τοὺς μὲν διαφό-

39. πότερα . . . . τοὺς A pr.
40. τούτους] κολαζομένους addi mal. R. „vel deest participium vel lege τοῦτο“ Dobr. — vv. τοὺς βελτ. — κολάσαντες add. ABP Bk. — περιδεεστέρους Ros. — ἀσελγεστάτους S. Emp.: ἀσελγεστέρους.
41. γὰρ post ἐγὼ add. A Bk. — καὶ (εἰς) Μακεδ. S. — Μολοττίαν scripsi: Μολοσσίαν (μολοσίαν BZM). — malim διαφόρους (ὑμῖν) ὄντας (ἡμῖν subaudiri iubet R.). —

ρους ὄντας διήλλαξα, τοὺς δ' ἐπιτηδείους ἐποίησα, τοὺς δ' ἀπὸ τῶν ἐχθρῶν ἀπέστησα. καίτοι εἰ τῶν πρεσβευόντων ἕκαστος τὰ αὐτὰ ἐποίησεν, ὀλίγους ἂν πολεμίους εἴχετε καὶ πολλοὺς συμμάχους ἐκέκτησθε. περὶ δὲ τῶν λειτουργιῶν οὐκ ἀξιῶ με- 42
μνῆσθαι, πλὴν κατὰ τοσοῦτον, ὅτι τὰ προσταττόμενα δαπανῶ οὐκ ἀπὸ τῶν κοινῶν ἀλλ' ἀπὸ τῶν ἰδίων. καίτοι τυγχάνω νενικηκὼς εὐανδρίᾳ καὶ λαμπάδι καὶ τραγῳδοῖς, οὐ τύπτων τοὺς ἀντιχορηγοῦντας, οὐδ' αἰσχυνόμενος εἰ τῶν νόμων ἔλαττον δύναμαι. τοὺς οὖν τοιούτους τῶν πολιτῶν πολὺ μᾶλλον ἐπιτηδείους ἡγοῦμαι μένειν ἢ φεύγειν.

πρεσβευόντων Luzac.: πρωτευόντων.
42. εὐανδρίᾳ ABZ Bk. (ci. Tayl.): ἐν ἀνδρίᾳ. cf. Harp. s. v. (Ἀνδ. ἐν τῷ κατ' Ἀλκιβ.).

FRAGMENTA.

IIS. I. ΣΥΜΒΟΥΛΕΥΤΙΚΟΣ.

Eandem orationem et hac inscriptione et ea quae est πρὸς τοὺς ἑταίρους designari Kirchhoffius (Herm. I, 6) recte fortasse coniecit.

2 1. εὐωχεῖν ἀντὶ τοῦ εὐωχεῖσθαι Ἀνδ. Συμβουλευτικῷ. Antiattic. B. A. 94, 21.

3 2. Ναυκρατίαν Ἀνδ. Συμβουλευτικῷ. Phot. p. 288, 23.

III II. ΠΡΟΣ ΤΟΥΣ ΕΤΑΙΡΟΥΣ.

V. quae adnotata sunt ad or. I. Epistulam Quadringentorum tempore ad Pisandrum eiusque socios conscriptam intellegunt Ruhnkenius et Sauppius; mihi recte Kirchhoffius ad a. 420—418 rettulisse videtur. cf. ad fr. 4 et 5.

4 3. Καὶ τάφον μὲν αὐτοῦ (Themistoclis) λαμπρὸν ἐν τῇ ἀγορᾷ Μάγνητες ἔχουσι· περὶ δὲ τῶν λειψάνων οὔτ' Ἀνδοκίδῃ προσέχειν ἄξιον ἐν τῷ

Or. I S. περὶ τῆς ἐνδείξεως (Harp. s. v. ζητηταί, Pseudoplut. § 14) mihi cum Tayloro (quamquam aliter Valesio, Sluitero, Sauppio visum est) non diversa a prima nostra fuisse videtur. Cf. ad Vit. l. c., ubi etiam de orat. adv. Phaeacem, quam commemorat biographus, adnotatum est.

πρὸς τοὺς ἑταίρους λέγοντι φωράσαντας τὰ λείψανα διαρρῖψαι τοὺς Ἀθηναίους· ψεύδεται γὰρ ἐπὶ τὸν δῆμον παροξύνων τοὺς ὀλιγαρχικούς. Plut. Themist. c. 32.

III. ΑΠΑΡΑΣΗΜΑ. IV

4. σκάνδικα οὖν λάχανα οὐ τὰ ἐκ τῶν κηπίων, 5
ἀλλὰ τὰ αὐτομάτως φυόμενα, ὥς φησιν Ἀνδοκίδης· μὴ γὰρ ἴδοιμέν ποτε πάλιν ἐκ τῶν ὀρέων τοὺς ἀνθρακευτὰς ἥκοντας εἰς τὸ ἄστυ, καὶ πρόβατα καὶ βοῦς καὶ τὰς ἁμάξας καὶ γύναια . . . ., καὶ πρεσβυτέρους ἄνδρας καὶ ἐργάτας ἐξοπλιζομένους· μηδὲ ἄγρια λάχανα καὶ σκάνδικας ἔτι φάγοιμεν. Suid. 2, 2 p. 780, ex scholio ad Ar. Ach. 477 eis quae nunc habemus pleniore.

5. Ἀνδοκίδης φησὶ τοίνυν· περὶ Ὑπερβόλου 6
λέγειν αἰσχύνομαι, οὗ ὁ μὲν πατὴρ ἐστιγμένος ἔτι καὶ νῦν ἐν τῷ ἀργυροκοπείῳ δουλεύει τῷ δημοσίῳ, αὐτὸς δὲ ξένος ὢν καὶ βάρβαρος λυχνοποιεῖ. Schol. Ar. Vesp. 1007 cf. Schol. Lucian. p. 46 ed. Jacobitz.

4. Ad orat. πρὸς τοὺς ἑταίρους referunt Kirchhoff S.: quamquam, si ab illa diversa συμβουλευτικός, huius quoque fuisse potest. Apparet ante occupatam Deceleam haec verba scripta esse, quae depingunt statum Atticae primis Peloponnesiaci belli temporibus. cf. S. et Kirchh. l. c. — vv. εἰς τὸ ἄστυ ex S. coniectura huc transposui: legebantur v. post τὰς ἁμάξας. Porro S. ci.: ἄστυ, καὶ γύναια (καὶ παῖδας) καὶ πρόβ. καὶ βοῦς καὶ τὰς ἁμάξας (ἄγοντας), καὶ πρεσβ. κτέ. Bernhardy et in articulo qui est ante ἁμάξας offendit et participium desiderat, quod praegresso ἥκοντας referatur: velut συγκομιζομένους. — 5. Recte admonent S. et Kirchh. haec

6. *ἀρετὴ* *Ἀνδοκίδης καὶ Θουκυδίδης ἀντὶ τοῦ εὐδοξία.* Suid. I, 1 p. 706.

7 7. *Αὐτόπτης ὡς Ἀνδοκίδης, καὶ σύνοπτον καὶ σύνοπτα.* Poll. 2, 58.

verba esse scripta ante a. 417/6 (418 Kirchh.), quo anno Hyperbolus in exilium pulsus est. *αὐτὸς* Sl. S.: *ὁ* Meineke, *ὡς* v. — 7. S. secundum vulg. ante Bekk. lectionem ita locum exhibet: *καὶ σύνοπτον ὡς Ἀνδ. καὶ σύνοπτα.*

INDEX
NOMINUM ET RERUM MEMORABILIUM.

A.

E.

Z.

H.

Θ.

N.

P.

Σ.

T.

Υ.

Φ.

Χ.

ADDENDA.

Ad praefat. p. III sqq. De libris manuscriptis qui minores oratores Atticos continent nuper diligenter egit Victor Jernstedt in praefatione editionis Antiphontis, quae prodiit Petropoli a. MDCCCLXXX. Is codicem Z ex M, M ex L, L ex B, B ex A descriptum putat, Aldinam quoque editionem ex L derivatam esse. — Praeter ABLMPZ Chisianum quendam codicem recentem Andocidis exstare ex Montfauconi auctoritate commemorat. — Notas Hamburgenses (v. p. IV) ex Leydensi exemplari descriptas esse perhibet; correctorem codicis A (v. p. IV, v. 3) recentissimum esse, namque eundem in primo folio quaedam e libris Gallicis, qui circa principium huius saeculi impressi sunt, desumpta adscripsisse. — Coniecturas in Andocidem partim in praefatione quam dixi partim in commentatione quae inscripta est: Observationes Antiphonteae (Petrop. 1878, e diario „Journal des Ministeriums der Volksaufklärung") profert hasce: I, 12 del. *καὶ* ante *τὸν Μελήτου*. — 127 *Χρυσίλλης* (recte ut videtur). — IV, 31 *τῶν τούτῳ πάλαι πεπραγμένων*. (IV, 40 verba *τοὺς βελτίστους . . κολάσαντες* nequaquam in P, sed in Q exstare affirmat.)

Antiphon, the or
Orationes e

DATE	N
Nov 17/39	R E Smith

